2. *Πρότερον οὔπω σεισθεῖσα*] καὶ μὴν Ἡρόδοτος λέγει ὅτι ἐκινήθη ἐν τοῖς Μηδικοῖς. — 3. *Ἀφ' οὗ Ἕλληνες μέμνηνται*] ἀφ' οὗ διὰ μνήμης ἐστὶ τὸ τῶν Ἑλλήνων ὄνομα. (λ. Λύγ.) — 4. *Σημῆναι*] σημεῖον εἶναι. (λ. Λύγ.) — *Τοιουτότροπον*] ὁποῖον ἐν Δήλῳ, ἤγουν διοσημείαν. — 5. *Ἀνεζητεῖτο*] ἀνεσκοπεῖτο. (λ. Λύγ.) — *Ἡ δὲ εὔνοια παραπολὺ ἐποίει τῶν ἀνθρ. ἐς τοὺς Λακεδ.*] περιφραστικῶς, ἀντὶ τοῦ εὐνοϊκῶς εἶχον τοῖς Λακεδαιμονίοις. — 6. *Μᾶλλον*] τῶν Ἀθηναίων. (λ. Λύγ.) — 8. *Ἐρρώτο τε πᾶς*] ἀντὶ τοῦ προεθυμεῖτο· οὐ γὰρ ἐπὶ ἰσχύος κεῖται, ἀλλ' ἐπὶ σπουδῆς. — 10. *Αὐτοῖς*] τοῖς Λακεδαιμονίοις. — *Κεκωλῦσθαι ἐδόκει ἑκάστῳ — —*] ἕκαστος, φησὶν, ᾤετο ἐμποδισθήσεσθαι τῶν Λακεδαιμονίων τὸ ἔργον,

hoc et Cass. conspirantibus *ἐλέγοντο* affertur, hoc in illis quoque libris reperiri coniiceremus. De plurali vid. l. 1. p. 98. add. V, 75. VI, 62. et ad Xen. Anab. 1, 2, 23. Vulgo et apud Haack. et Bekk. *ἐλέγετο*.

Πολεμήσειν. C. *πολεμῆσειν*.

Καὶ ἐν ταῖς. Cod. Bas. *καὶ ταῖς*.

3. *Ὀλίγον* Cl. F. It. Vat. H. Gr. D. I. Laur. E. Vind. Bekk. In C. *ὀλίγων*. Bas. om. Vulgo *ὀλίγῳ*, sane aeque bene, idque cum Cass. Aug. Pal. Reg. Haack, retinere fortasse satius ducas.

Ἄλλο. D. *ἄλλον*.

4. *Παραπολύ*. E. *πολλή*.

Ἐποίει Cass. Aug. C. F. Pal. It. Vat. Reg. (G.) Laur. B. aliique; nam haec ante Gottl., qui ex Mosqu. Ar. Chr. Dan. marg. Ald. Vin. et marg. Steph., quibuscum E. et Tusan. faciunt, *ἐπῄει* recepit, vulgata fuit scriptura, quam Bekk. restituit. Res utique dubia. Vid. not. (cum imitatorum locis.)

Πόλις Cass. Aug. Cl. Pal. Reg. Gr. Vind. Ar. Chr. Ald. Bas. et plerique Parr. Ante Gottl. *πολίτης*, quod H, Vat. It. servant. „Fortassis praeferendum est *πόλις*; nam Thucydides *ἰδιώτῃ* magis opponit *πάλιν*, quam *πολίτην*. Vid. I, 124. et 144. II, 65.“ DUK. *Ἰδιώτας τοὺς πολίτας· οὕτως Θουκυδίδης*, Phot. p. 79. Cf. Suid.

Καὶ λόγῳ — αὐτοῖς. „Thom. Mag. in *συλλαμβάνει*.“ DUK.

Ἐν τούτῳ τε. Pro *τε* Gr. *δέ*.

Κεκωλῦσθαι Pal. Bekk. Vulgo *κεκωλύσθαι*, ut *μεμηνύσθαι* I, 20., contra regulas prosodicas. Caeterum conf. not.

Ἐδόκει ἑκάστῳ. C. *ἑκάστῳ ἐδόκει*. It. *ἑκάστῳ* post *πράγμ.* reiicit.

Digitized by Google

γματα, ᾧ μή τις αὐτὸς παρέσται. 5. οὕτως [ἐν] ὀργῇ εἶχον οἱ πλείους τοὺς Ἀθηναίους, οἱ μὲν, τῆς ἀρχῆς ἀπολυθῆναι βουλόμενοι, οἱ δὲ, μὴ ἀρχθῶσι φοβούμενοι. 6. παρασκευῇ μὲν οὖν καὶ γνώμῃ τοιαύτῃ ὥρμηντο.

(4. Ξύμμαχοι ἑκατέρων. Κεφ. Θ'.)

Θ'. Πόλεις δὲ ἑκάτεροι τάσδ' ἔχοντες ξυμμάχους ἐς τὸν πόλεμον καθίσταντο. 2. Λακεδαιμονίων μὲν οἵδε ξύμμαχοι· Πελοποννήσιοι μὲν οἱ ἐντὸς Ἰσθμοῦ πάντες, πλὴν Ἀργείων καὶ Ἀχαιῶν· (τούτοις δ' ἐς ἀμφοτέρους φιλία ἦν· Πελληνῆς δὲ Ἀχαιῶν μόνοι ξυνεπολέμουν τὸ

τουτέστι τὸν πόλεμον, ἐὰν μὴ παραγένηται αὐτός. δηλοῖ δὲ τὴν μεγίστην προθυμίαν αὐτῶν. — 1. Ὀργῇ εἶχον οἱ πλείους τοὺς Ἀθηναίους] ὠργίζοντο τοῖς Ἀθηναίοις. (λ. Αὐγ.)

Θ'. 5. Πόλεις δὲ ἑκάτεροι —] ὁ κατάλογος τῶν συμμάχων ἑκατέροις. (Αὐγ.) — 9. Πελληνεῖς] δώδεκα πόλεις εἶχεν ἡ Ἀχαΐα, ὧν μία ἦν ἡ Πελλήνη. — Ξυνεπολέμουν] τοῖς Λακεδαιμονίοις.

Ὡι. In Reg. rec. man. super ᾧ script. ἐν.

5. Ἐν ὀργῇ. Ἐν, quod in libris deest, inseruimus. Vid. not.

Πλείους Cass. Aug. F. Pal. It, Vat. H. Reg. (G.) Gr. I. Laur. Vind. m. Ar. Chr. Dan. Ald. Flor. ed. Bas. Steph. 1. Haack. Bekk. Vulgo πλέονς, male. Vid. I. 1. p. 223.

Ἀρχθῶσι. Cass. ἀχθῶσι.

6. Καὶ γνώμῃ τοιαύτῃ. It. Vat. H. Reg. (G.) Ald. Flor. Bas. (ed., non cod. Bas.) Steph. 1. Bekk. τοιαύτῃ καὶ γνώμῃ. Nos uni secundae codd. classi contra primam, tertiam et quartam parendum non putavimus. F. τοιαύτῃ om.

Cap. IX. Πόλεις. C. πόλις.

Δὲ ἑκάτεροι Cass. Aug. C. F. G. D. E. Ar. m. Vulgo δ' ἑκάτ.

2. Πελοποννήσιοι μέν. Pro μέν Gr. Laur. E. δέ.

Ἐντὸς Ἰσθμοῦ. E. ἐντ. τοῦ ἰσθμοῦ. sed hoc nomen articulo non raro caret. Vid. Ind. verb.

Πάντες πλὴν Ἀργ. Pal. post πάντες pergit Πελλήνης δὲ πλὴν Ἀργ. καὶ Ἀχαιῶν. μόνοι ξυνεπολέμουν.

Τούτοις — Ἀχαιῶν. Ob repetitum Ἀχαιῶν om. H., sed al. man. suppl. Om. etiam Vat.

Ἐς ἀμφοτέρους. Chr. Dan. ἐπ' ἀμφοτέρους. Mosqu. m. Ar. ἐπ' ἀμφοτέροις.

Πελληνῆς et deinde Μεγαρῆς, Φωκῆς, Πλαταιῆς, Δωριῆς sine ῑ, quod vulgo subscribitur, cum Bekk. edenda curavimus. Plerique codd., ut Cass. Aug. F. Reg. (G.) Bas. Mosqu. Ar. Chr. Dan., et in plurimis nominibus, si non in omnibus, etiam D. E. I. εις exhibent. In Gr. scriptura fluctuari videtur. Ex H. Gail. tam Μεγαρῆς, Φωκῆς, quam Μεγαρεῖς protulit. Pal. Μεγαρῆς, Φωκῆς. Cf. I. 1. p. 221. sq. Pellenensium nomen per unum λ perperam scrib. Aug. (in quo man. rec. alterum λ superscr.) Gr. E.

Digitized by Google

πρῶτον, ἔπειτα δὲ ὕστερον καὶ ἅπαντες·) ἔξω δὲ Πελοποννήσου Μεγαρῆς, Φωκῆς, Λοκροὶ, Βοιωτοὶ, Ἀμπρακιῶται, Ἀευκάδιοι, Ἀνακτόριοι. 3. τούτων ναυτικὸν παρείχοντο Κορίνθιοι, Μεγαρῆς, Σικυώνιοι, Πελληνῆς, Ἠλεῖοι, Ἀμπρακιῶται, Ἀευκάδιοι· ἱππέας δὲ Βοιωτοὶ, Φωκῆς, Λοκροί· αἱ δ' ἄλλαι πόλεις πεζὸν παρεῖχον. αὕτη Λακεδαιμονίων ξυμμαχία. 4. Ἀθηναίων δὲ, Χῖοι, Λέσβιοι, Πλαταιῆς, Μεσσήνιοι οἱ ἐν Ναυπάκτῳ, Ἀκαρνάνων οἱ πλείους, Κερκυραῖοι, Ζακύνθιοι, καὶ ἄλλαι πόλεις αἱ ὑποτελεῖς οὖσαι ἐν ἔθνεσι τοσοῖσδε· Καρία ἡ ἐπὶ θαλάσσῃ, Δωριῆς Καρσὶ πρόσοικοι, Ἰωνία, Ἑλλήσποντος, τὰ ἐπὶ Θράκης, νῆσοι ὅσαι ἐντὸς Πελοποννήσου

1. Ἅπαντες] οἱ Ἀχαιοὶ. οὐ γὰρ οἱ Ἀργεῖοι. — 10. Αἱ ὑποτελεῖς οὖσαι] τοῖς Ἀθηναίοις. — Ἡ ἐπὶ θαλάσσῃ] ἡ παραθαλασσία. — 11. Δωριεῖς] Δωρίδες νῆσοι Ῥόδος, Κῶς, Κνίδος. — 12. Τὰ ἐπὶ Θράκης] οἷον Βυζάντιον, Περίνθος. — ** Νῆσοι ὅσαι π. τ. λ.] αἱ περὶ τὰ δυτικά. (Κασσ. Ἀνγ.) — Ἐντὸς Πελοποννήσου —] οὐ λέγει

Φωκῆς, Λοκροὶ, Βοιωτοί. Hunc ordinem dederunt Cass. Pal. It. Vat. H. Reg. Bekk. At Βοιωτοὶ, Λοκρ. Φωκ. Laur. E. (qui praecedens Μεγαρ. om.) m. Dan. quae collocatio situi sane aptior esset. Vulgo (et Haack.) Λοκρ. Βοιωτ. Φωκ., qui ordo Locros a Phocensibus interpositis Boeotis non bene separat. Mox §. 3. sequitur Βοιωτοὶ, Φωκῆς, Λοκροὶ, quod etiam hic optimum fuisset.

Φωκῆς. D. E. Φωκεῖς. (nisi potius Φωκεῖς.)

Ἀμπρακιῶται. Pal. Vat. D. Ἀμβρακιῶται, quod in m. supra script. C. Ἀβρακιῶται. De β et μ vid. I, 2. p. 140. (add. ad Xen. Anab. I, 7, 18.)

Ἀευκάδιοι om. D.

3. Φωκῆς de. Vat. It. in H. s. v. al. man.

Αἱ δ' ἄλλαι. Gr. αἵ τε ἄλλαι.

Παρεῖχον. D. παρῆχον.

Αὕτη Λακεδ. Vulgo (et Haack.) αὕτη μὲν Λακεδ., satis bene, sed μέν de. Cass. Aug. Pal. It. Vat. H. Reg. (ubi rec. man. int. vers. script.) Bekk.

4. Ἀθηναίων δέ. Laur. Ἀθηναῖοι δέ. Mosqu. Ar. Chr. Dan. Ἀθηναίων δὲ οἵδε.

Πλαταιῆς. F. G. Πλαταεῖς. D. Πλατεεῖς.

Μεσσήνιοι. Cass. Reg. Ar. Chr. Μεσήνιοι, quod de Cass. et Reg. commemorare debebamus I, 2. p. 531., ubi Μεσσ. apud Thuc. praeferendum esse docuimus. Statim οἱ om. Gr.

Πλείους. Ar. Chr. Dan. πλεῖστοι.

Ζακύνθιοι. Gr. I. καὶ Ζακ.

Καὶ ἄλλαι. Καί om. Ar. Chr.

Αἱ ὑποτελεῖς. Αἱ s. v. al. man. H., om. Vat.

Ἡ ἐπί. E. οἱ ἐπί.

Τὰ ἐπί. Τά om. Cass. Aug. It. Vat. H. Reg. (G.), uncis inclusit Bekk., sed quo iure abesse possit non intelligimus. Vid. I, 59. 68. cet.

Ὅσαι. Cl. ὅσοι.

Ἐντός. Cass. Aug. Cl. ἦσαν ἐντός. Vind. ἐντὸς περὶ τὰ δυτι-

Digitized by Google

καὶ Κρήτης πρὸς ἥλιον ἀνίσχοντα, πᾶσαι αἱ ἄλλαι Κυκλάδες, πλὴν Μήλου καὶ Θήρας. 5. τούτων ναυτικὸν παρείχοντο Χῖοι, Λέσβιοι, Κερκυραῖοι, οἱ δ' ἄλλοι πεζὸν καὶ χρήματα. 6. ξυμμαχία μὲν αὕτη ἑκατέρων καὶ παρασκευὴ ἐς τὸν πόλεμον ἦν.

(5. Πρώτη ἐσβολὴ ἐς τὴν Ἀττικήν. Κεφ. ι' — κδ'. α') Οἱ Λακεδαιμόνιοι παρασκευάζονται ὡς ἐσβολὴν ποιησόμενοι ἐς τὴν Ἀττικήν. Κεφ. ι' — ιβ'. Ὁ στρατὸς αὐτῶν ἀθροίζεται. Κεφ. ι'.

ι'. Οἱ δὲ Λακεδαιμόνιοι μετὰ τὰ ἐν Πλαταιαῖς εὐθὺς περιήγγελλον κατὰ τὴν Πελοπόννησον καὶ τὴν ἔξω ξυμμαχίαν στρατιὰν παρασκευάζεσθαι ταῖς πόλεσι τά τε ἐπιτήδεια, οἷα εἰκὸς ἐπὶ ἔξοδον ἔκδημον ἔχειν, ὡς ἐσβαλοῦντες ἐς τὴν Ἀττικήν. 2. ἐπειδὴ δὲ ἑκάστοις ἕτοιμα γίγνοιτο κατὰ τὸν χρόνον τὸν εἰρημένον, ξυνῆσαν τὰ

ἐντὸς Κρήτης καὶ Πελοποννήσου, πρὸς ἀνίσχοντα ἥλιον, ἀλλὰ δεῖ στίζαι εἰς τὸ Πελοποννήσου, καὶ ἀπὸ κοινοῦ τὸ ὅσαι λαβεῖν, ἵν' ᾖ, καὶ ὅσαι τῆς Κρήτης πρὸς ἥλιον ἀνίσχοντα, οἷον Κάρπαθος, Κάσος, Χάλκη καὶ ὅσαι ἄλλαι.

ι'. 7. Ἔξω] τῆς Πελοποννήσου. — 9. Ἔκδημον] ὑπερόριον, μακρὸν πόλεμον. — 11. Κατὰ τὸν χρόνον τὸν εἰρημένον] ὡς τῶν Λακεδαιμονίων ὁρισάντων τὴν προθεσμίαν τῆς συνάξεως. — Ξυνῆεσαν τὰ δύο μέρη] ἵνα ἑκάστη πόλις τὸ μὲν δίμοιρον στρατεύσῃ, τὸ δὲ τρίτον ἑαυτῆς κατάσχῃ πρὸς φυλακήν. αὐτοὶ γὰρ οἱ Λακεδαιμόνιοι τὰς πόλεις ἐμέριζον εἰς τρία μέρη, καὶ τὸ τρίτον ἐῶν ἐν ταῖς πόλεσιν, ἵνα μὴ, πάντων ἐξελθόντων εἰς τὸν πόλεμον, ἐρήμους εὑρόντες οἱ Ἀθηναῖοι τὰς πόλεις χειρώσωνται.

κώτερα Πελοποννήσου, ex inepto interpr.

Πελοποννήσου. Post hoc nomen Schol. interpungi iubet. At vid. not.

Ἄλλαι de. E. Ar. Chr. Dan.

5. Παρείχοντο. Laur. E. παρεῖχον. cf. §. 3.

Cap. X. Πλαταιαῖς. Alibi in singulari Πλάταια Thucyd. dicit, sed huius loci immemores erasmus I, 2. p. 279.

Περιήγγελλον. E. προήγγελλον.

Κατά. Reg. (G.) παρά, sed man. rec. supra scr. κατά.

Ξυμμαχίαν Cass. Aug. C. F. Pal. It. Vat. H. G. cod. Bas. Gr. I. Bekk. Vulgo ξυμμαχίδα, quod a librariis profectum esse Haackius non verisimile putat. Sed terminationes ΔΑ et ΑΝ confundi constat.

Παρασκευάζεσθαι. G. (?) παρασκευάσασθαι, ζε s. σα al. man.

Τά τε ἐπιτήδεια. Aut ad παρασκευάζ. referas, aut commate post εἰκὸς posito ad ἔχειν, sed illud aptius.

2. Ἕτοιμα. C. ἕτοιμοι, α̅ s. οι al. man. idem deinde γίγνοιντο. In optativo si haereas, vid. Matth. Gr. §. 521.

Digitized by Google

δύο μέρη ἀπὸ πόλεως ἑκάστης ἐς τὸν Ἰσθμόν. 3. καὶ ἐπειδὴ πᾶν τὸ στράτευμα ξυνειλεγμένον ἦν, Ἀρχίδαμος ὁ βασιλεὺς τῶν Λακεδαιμονίων, ὅσπερ ἡγεῖτο τῆς ἐξόδου ταύτης, ξυγκαλέσας τοὺς στρατηγοὺς τῶν πόλεων πασῶν καὶ τοὺς μάλιστα ἐν τέλει καὶ ἀξιολογωτάτους παρεῖναι, τοιάδε ἔλεξεν.

(Λόγος Ἀρχιδάμου πρὸς τὸν στρατόν.)

ια. „Ἄνδρες Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι, καὶ οἱ πατέρες ἡμῶν πολλὰς στρατείας καὶ ἐν αὐτῇ Πελοποννήσῳ καὶ ἔξω ἐποιήσαντο, καὶ αὐτῶν ἡμῶν οἱ πρεσβύτεροι οὐκ ἄπειροι πολέμων εἰσίν· ὅμως δὲ τῇδε οὔπω μείζονα παρασκευὴν ἔχοντες ἐξήλθομεν· ἀλλὰ καὶ ἐπὶ πόλιν δυνατωτάτην νῦν ἐρχόμεθα, καὶ αὐτοὶ πλεῖστοι

1. Ἐς τὸν Ἰσθμόν] ὁ γὰρ Ἰσθμὸς καὶ μέσος τόπος καὶ πλησίον τῆς Ἀττικῆς. — 5. Ἐν τέλει] τέλη τὰ ἀξιώματα καὶ οἱ ἄρχοντες.

ια. 7. Ἄνδρες Πελοποννήσιοι] ἡ στάσις πραγματική, ἄγραφος, συμβουλευτικοῦ εἴδους, κεφάλαιον ἔχουσα τὸ συμφέρον. — 12. Αὐτοί]

Ἑκάστης. Cass. a pr. man. ἑκάστοις.

3. Στρατηγούς. B. στρατιγούς.

Τέλει. Ar. τάξει.

Ἀξιολογωτάτους. Ar. Chr. Dan. ἀξιοτάτους. Laur. Vind. m. ἀξιωτάτους. Quod probat Steph., ut inde pendeat παρεῖναι. „Sed quid opus est emendatione, quum infinitivus referri possit ad ξυγκαλέσας. [Cf. Matth. Gr. §. 414.] Ἀξιολογώτατοι *sunt viri gravissimi, evocati ut praesentes essent.*“ GOTTL.

Τοιάδε ἔλεξεν. Cass. Aug. Gr. τοιάδ' ἔλεξεν. F. ἔλεξε τοιάδε, quod facile placeat. Vid. I, 67. 72. 79. 119. 139. II, 34. 59. III, 8.

Cap. XI. Οἱ ξύμμαχοι. Οἱ om. Laur. E. Vind. Mosqu. Ar. Chr. Dan. ut III, 9. ὦ ἄνδρες Λακεδ. καὶ ξύμμαχοι.

Καὶ οἱ πατέρες. Καί om. It. Laur. et, ut videtur, etiam C. in quo μέν deesse tradit Gail. In Aug. man. rec. addit.

Ἡμῶν. „Apud Hermog. περὶ ἰδεῶν I. ὑμῶν et mox καὶ ὑμῶν οἱ πρεσβύτ.“ Edit. Lips.

Αὐτῇ Πελοποννήσῳ Cass. Cl. C. Pal. It. Vat. H. Reg. Gr. Laur. E. Mosqu. Vulgo αὐτῇ τῇ Πελοπ., quod male retinuerunt Haack. et Bekk. Vid. Krüg. l. l. p. 454. sq. et Ind. verb. in αὐτός tam Thuc. quam Xen. Anab.

Αὐτῶν ἡμῶν Cass. C. F. Pal. It. Vat. H. Reg. (G.) cod. Bas. Gr. D. I. Mosqu. Bekk. Vulgo et apud Haack. (sed ipso invito) ἡμῶν αὐτῶν, quod non *nostrum ipsorum*, sed simpliciter *nostrum* significaret, sequitur tamen mox §. 2.

Οὐκ ἄπειροι. It. s. v. al. man.

Τῇδε οὔπω. Gr. οὔπω τῇδε. I. οὔπω τῇ δε. Ar. Chr. Dan. τῇδε οὔτε.

Digitized by Google

καὶ ἄριστοι στρατεύοντες. 2. δίκαιον οὖν ἡμᾶς μήτε τῶν πατέρων χείρους φαίνεσθαι, μήτε ἡμῶν αὐτῶν τῆς δόξης ἐνδεεστέρους. ἡ γὰρ Ἑλλὰς πᾶσα τῇδε τῇ ὁρμῇ ἐπῄρται, καὶ προσέχει τὴν γνώμην, εὔνοιαν ἔχουσα διὰ τὸ Ἀθηναίων ἔχθος, πρᾶξαι ἡμᾶς ἃ ἐπινοοῦμεν. 3. οὔκουν χρὴ, εἴ τῳ καὶ δοκοῦμεν πλήθει ἐπιέναι, καὶ ἀσφάλειαν πολλὴ εἶναι μὴ ἂν ἐλθεῖν τοὺς ἐναντίους ἡμῖν διὰ μάχης, τούτου ἕνεκα ἀμελέστερόν τι παρεσκευασμένους χωρεῖν, ἀλλὰ καὶ πόλεως ἑκάστης ἡγεμόνα καὶ στρατιώτην τὸ καθ' αὑτὸν ἀεὶ προσδέχεσθαι ἐς κίνδυνόν τινα ἥξειν. 1
4. ἄδηλα γὰρ τὰ τῶν πολέμων, καὶ ἐξ ὀλίγου τὰ πολλὰ καὶ δι' ὀργῆς αἱ ἐπειχειρήσεις γίγνονται· πολλάκις τε τὸ ἔλασσον πλῆθος, δεδιὸς, ἄμεινον ἠμύναντο τοὺς πλέονας,

ἡμεῖς δηλονότι. — 3. Τῇδε τῇ ὁρμῇ] τῇ ἡμετέρᾳ. — 4. † Εὔνοιαν ἔχουσα] † τὸν σκοπόν. — 5. Οὔκουν χρή] τὸ ἐξῆς, οὔκουν χρὴ ἀμελέστερον χωρεῖν· τὰ δὲ ἄλλα διὰ μέσου. — 10. Προσδέχεσθαι] ἀπὸ κοινοῦ τὸ χρή. — 11. Καὶ ἐξ ὀλίγου τὰ πολλά] Ὅμηρος· Ἧτ' ὀλίγη μὲν πρῶτα κορύσσεται. — 12. Δι' ὀργῆς αἱ ἐπιχειρήσεις γίγνονται] τουτέστιν ὅτι ὀργισθέντες οἱ Ἀθηναῖοι πάντως ἐξελεύσονται.

2. Ἡμᾶς. Marg. Ald. Vinar. ὑμᾶς.

Ἡμῶν. Gr. ὑμῶν ex emendat.

Προσέχει. H. s. v. al. man. προέχει. Paullo ante Pal. et haud dubie etiam alii ἐπῄρται cum ῑ subscr. quod cum Buttm. in talibus sprevimus de Art. crit. ap. Thuc. c. 12.

Εὔνοιαν. Inutilis coniectura ἔννοιαν. Vid. not.

Ἡμᾶς. Ar. ὑμᾶς.

3. Οὔκουν. Pal. οὐκοῦν. Gr. οὐκ οὖν.

Δοκοῦμεν — καί Dan. ob superius καί om., sed in marg. suppl.

Ἀσφάλεια πολλή. Cass. It. Vind. ἀσφαλείᾳ πολλῇ, unde εἶναι delendum coniicias, quod cod. Bas. ignorare videtur. Πολλή om. Ar. Chr.

Μὴ ἄν. Bas. ex emend. ὥςτε μὴ ἄν. Etiam in m. ὥςτε supra scr. Ἐν ἀσφαλεῖ εἶναι τοῦ μή dixit Xen. Cyr. II, 4, 13.

Ἐλθεῖν. Cod. Bas. ἔχειν. Bar. Ald. Flor. Bas. ed. ἐθέλειν, quod Reg. int. vers. praefixo γρ. adnotatum habet.

Τούτου Cass. (qui alteram scripturam τούτων rec. man. adscriptam habet) Cl. C. F. It. Vat. H. G. cod. Bas. Gr. I. Mosqu. Ar. Chr. Dan. marg. Ald. Vin. Haack. Bekk. Vulgo τούτων.

Αὐτὸν ἀεί. Pal. αὐτὸν αἰεί. De posteriore vid. l. 1. p. 211.

Προσδέχεσθαι. B. προδέχ.

4. Τὰ πολλά E. s. v. al. man. Comma post πολλά cum Bekk. delevimus.

Τε τὸ ἔλασσον. F. δὲ ἔλαττον.

Δεδιὸς, ἄμεινον ἠμύν. Gr. δεδιὸς ἀμύνον, ἠμύν.

Πλέονας. Reg. (G.) H. Vat. πλείονας. cf. I. 1. p. 228. et 476.

Digitized by Google

διὰ τὸ καταφρονοῦντας ἀπαρασκεύους γενέσθαι. 5. χρὴ δὲ ἀεὶ ἐν τῇ πολεμίᾳ τῇ μὲν γνώμῃ θαρσαλέους στρατεύειν, τῷ δὲ ἔργῳ δεδιότας παρασκευάζεσθαι· οὕτω γὰρ πρός τε τὸ ἐπιέναι τοῖς ἐναντίοις εὐψυχότατοι ἂν εἶεν, πρός τε τὸ ἐπιχειρεῖσθαι ἀσφαλέστατοι. 6. ἡμεῖς δὲ οὐδ' ἐπὶ ἀδύνατον ἀμύνεσθαι οὕτω πόλιν ἐρχόμεθα, ἀλλὰ τοῖς πᾶσιν ἄριστα παρεσκευασμένην· ὥστε χρὴ καὶ πάνυ ἐλπίζειν διὰ μάχης ἰέναι αὐτοὺς, εἰ μὴ καὶ νῦν ὥρμηνται, ἐν ᾧ οὔπω πάρεσμεν, ἀλλ' ὅταν ἐν τῇ γῇ ὁρῶσιν ἡμᾶς δηοῦντάς τε καὶ τἀκείνων φθείροντας. 7. πᾶσι γὰρ ἐν τοῖς ὄμμασι καὶ ἐν τῷ παραυτίκα ὁρᾶν πάσχοντά τι ἄηθες ὀργὴ προσπίπτει· καὶ οἱ λογισμῷ ἐλάχιστα χρώμενοι, θυμῷ πλεῖστα ἐς ἔργον καθίστανται. 8. Ἀθηναίους δὲ καὶ πλέον τι τῶν ἄλλων εἰκὸς τοῦτο δρᾶσαι, οἳ ἄρχειν τε τῶν ἄλλων ἀξιοῦσι, καὶ ἐπιόντες τὴν τῶν πέλας δηοῦν μᾶλλον, ἢ τὴν ἑαυτὸν ὁρᾶν. 9. ὡς

2. Ἐν τῇ πολεμίᾳ] τῇ γῇ δηλονότι. — 8. Ἐλπίζειν] φοβεῖσθαι. (λ. Ἀύγ.) — 9. Ἐν ᾧ] τόπῳ δηλονότι. (λ. Ἀύγ.) — 10. Καὶ τἀκείνων φθείροντας] ὁρμηθήσονται δηλονότι. (λ. Ἀύγ.) — 11. Ὁρᾶν πάσχοντάς τι — —] καὶ οἱ ὀργιζόμενοι, ἅτε δὴ ἧττον λογιζόμενοι, μᾶλλον δὲ θυμούμενοι, εἰς τὸ πολεμεῖν ἐπείγονται ῥιψοκινδύνως. §. [καὶ πάνυ ἀόργητες, ἐπειδὰν τὰ αὐτοῦ θεάσηται ὑφ' ἑτέρου φθειρόμενα, πρὸς ὀργὴν διεγείρεται, καὶ ἀμύνειν ἐπείγεται. (Βασ.)] Σημείωσαι τὸ σχῆμα, πᾶσι πάσχοντας, ἀντὶ τοῦ πάσχουσιν. — 16. Ὡς οὖν ἐπὶ

5. Ἀεὶ ἐν τῇ om. B.

Ἐν τῇ πολεμίᾳ. Marg. Ald. Vinar. ἐν πολεμίᾳ τῇ γῇ, ex interpr.

Δεδιότας. I. ὡς δεδιότας.

Παρασκευάζεσθαι Cass. Aug. Cl. C. Pal. It. Vat. H. Reg. (G.) Cam. (sed de Bas. tacetur,) Gr. D. I. E. m. Ar. Chr. Dan. marg. Steph. Haack. Bekk. Vulgo παρεσκευάσθαι.

Εὐψυχότατοι. Cass. et ex emend. Gr. εὐψυχώτατοι, male.

Ἐπιχειρεῖσθαι. Mosqu. ἐπιχειρῆσαι.

6. Οὐδ' ἐπί. Gr. οὐ πί, et a correct. οὐκ ἐπί.

Παρεσκευασμένην. Si κατεσκευασμ. exspectes, vid. not.

Ἰέναι. F. ἡμῖν ἰέναι.

Οὔπω πάρεσμεν. Pal. οὔπω γὰρ πάρεσμεν.

Τἀκείνων. F. Gr. Ar. Chr. Dan. τὰ ἐκείνων, ut II, 53.

7. Πᾶσι — προσπίπτει. Bekk. Anecdd. I. p. 169. Cf. adnot.

Πάσχοντά τι. Cass. a pr. man. (nam deinde emend. τι) Dan. πάσχοντά τε. Laur., ut videtur, πάσχοντά τε.

Ὀργή. Pal. ὀργῇ.

8. Επιόντες. Gr. I. ἐπιόντας.

Ἑαυτῶν. Laur. E. Ar., Chr. Dan. αὐτῶν, in postremo tamen corr.

9. Ὡς οὖν. Gr. ὡς μὲν οὖν.

Digitized by Google

οὖν ἐπὶ τοσαύτην πόλιν στρατεύοντες, καὶ μεγίστην δόξαν οἰσόμενοι τοῖς τε προγόνοις καὶ ἡμῖν αὐτοῖς ἐπ' ἀμφότερα ἐκ τῶν ἀποβαινόντων, ἕπεσθε ὅπη ἄν τις ἡγῆται, κόσμον καὶ φυλακὴν περὶ παντὸς ποιούμενοι, καὶ τὰ παραγγελλόμενα ὀξέως δεχόμενοι. κάλλιστον γὰρ τόδε καὶ ἀσφαλέστατον, πολλοὺς ὄντας ἐνὶ κόσμῳ χρωμένους φαίνεσθαι."

(*Λακεδαιμόνιοι μάτην ἐς Ἀθήνας ἐπικηρυκευσάμενοι ὁρμῶνται.*)

ιβ'. Τοσαῦτα εἰπὼν καὶ διαλύσας τὸν ξύλλογον ὁ Ἀρχίδαμος, Μελήσιππον πρῶτον ἀποστέλλει ἐς τὰς Ἀθήνας τὸν Διακρίτου, ἄνδρα Σπαρτιάτην, εἴ τι ἄρα μᾶλλον ἐνδοῖεν οἱ Ἀθηναῖοι, ὁρῶντες ἤδη σφᾶς ἐν ὁδῷ ὄντας. 2. οἱ δὲ οὐ προσεδέξαντο αὐτὸν ἐς τὴν πόλιν οὐδ' 1

τὴν ἄλλην πόλιν] οἱ ἐπίλογοι ἐντεῦθεν. — 2. *Ἐπ' ἀμφότερα*] δόξα ἐπ' ἀμφότερα καὶ εὐκλείας καὶ δυσκλείας. (*Καισ. Αὐγ. Ροστγ.*) — 3. *Ὅπη ἄν τις ἡγῆται*] στρατηγὸς δηλονότι. — 5. *Ὀξέως*] συντόμως. (*λ. Αὐγ.*)

Τοσαύτην. F. *τὴν τοσαύτην*. It. Vat. H. Reg. (G.) marg. Steph. Schol. *τὴν ἄλλην*, sed Reg. in marg. rec. man. *τοσαύτην* et It. Vat. *γρ. τοσαύτην, ὃ καὶ βέλτιον*. Ar. Chr. Dan. *τοσαύτην*. In Cass. quidem *τοσαύτην*, sed in marg. *γρ. ὡς οὖν ἐπὶ τοσαύτην πόλιν, ὃ καὶ βέλτιον*, unde apparet, in libro, e quo haec descripta sunt, aliter exaratum fuisse. In Aug. *τοσαύτην*, sed, ut videtur, correctum ab ant. man.

Οἰσόμενοι. Vat. *οἰόμενοι*. Mox post *αὐτοῖς* comma cum Bekk. delevimus. Vid. not.

Ἕπεσθε Aug. Cl. C. F. Reg. (G.) H. cod. vet. Steph. Gr. I. m. Male vulgo (Haack. Bekk.) *ἕπεσθ'*. Vid. I. 1. p. 218. Cass. *ἕπαισθε*. E. *ἔσεσθε*.

Ὅπη Cass. Aug. Cl. F. Pal. It. Vat. H. Reg. (G.) cod. Bas. Gr. I. Laur. E. marg. Steph. Haack. Bekk., nisi quod *ι* subscr. addunt. Vulgo *ὅποι*. *Ἕπεσθαι ᾗ* (non *οἱ*) *ἄν τις ἡγῆται* dixit Xen. Cyr. II, 2, 23. cf. supra I, 78. Neque hic *quo*, sed *qua ratione* requiritur. I subscr. quum in aliis locis libri ignorent, ex Buttm. praeceptis omisimus.

Τίς. Ar. Chr. Dan. *τὶς στρατηγός*. „Quod haud dubie glossema est. In Cass. pro scholio adscriptum erat *στρατηγὸς δηλονότι*, itidem ut in Schol. edito." DUK.

Cap. XII. *Τοσαῦτα*. Marg. Ald. Vin. *ταῦτα*. F. *ὁ μὲν οὖν Ἀρχίδ. τοσαῦτα εἰπὼν καὶ διαλ. τ. ξυλλ. Μελ.*

Μελήσιππον. Cass. et Vat. hic et paullo post *Μέλλησ*.

Διακρίτου. Gr. D. *Δακρίτου*.

Ἤδη σφᾶς. D. Laur. m. Ar. Chr. Dan. *σφᾶς ἤδη*.

Digitized by Google

ἐπὶ τὸ κοινόν. ἦν γὰρ Περικλέους γνώμη πρότερον νενεικηκυῖα, κήρυκα καὶ πρεσβείαν μὴ προσδέχεσθαι Λακεδαιμονίων ἐξεστρατευμένων. ἀποπέμπουσιν οὖν αὐτὸν πρὶν ἀκοῦσαι, καὶ ἐκέλευον ἐκτὸς ὅρων εἶναι αὐθημερόν, τό τε λοιπὸν ἀναχωρήσαντας ἐπὶ τὰ σφέτερα αὐτῶν, ἤν τι βούλωνται, πρεσβεύεσθαι. ξυμπέμπουσί τε τῷ Μελησίππῳ ἀγωγοὺς, ὅπως μηδενὶ ξυγγένηται. 3. ὁ δ' ἐπειδὴ ἐπὶ τοῖς ὁρίοις ἐγένετο, καὶ ἔμελλε διαλύσεσθαι, τοσόνδε εἰκὼν ἐπορεύετο, ὅτι ἤδη ἡ ἡμέρα τοῖς Ἕλλησι μεγάλων κακῶν ἄρξει. 4. ὡς δὲ ἀφίκετο ἐς τὸ στρατόπεδον, καὶ ἔγνω ὁ Ἀρχίδαμος ὅτι οἱ Ἀθηναῖοι οὐδέν πω ἐνδώσουσιν, οὕτω δὴ ἄρας τῷ στρατῷ προυχώρει ἐς τὴν γῆν αὐτῶν. 5. Βοιωτοὶ δὲ μέρος μὲν τὸ σφέτερον καὶ τοὺς ἱπ-

ιβ'. 1. *Τὸ κοινόν*] βουλευτήριον δηλονότι. (λ. Αὐγ.) — *Γνώμη*] βουλή. (λ. Αὐγ.) — *Πρότερον*] πρὸ τῆς πρεσβείας. — 3. *Ἐξεστρατευμένων*] κατὰ τῶν Ἀθηναίων. — 4. *Πρὶν ἀκοῦσαι*] μὴ ἀκούσαντες αὐτοῦ ἃ ἔλεγεν. — 6. ** *Πρεσβεύεσθαι*] τὸ ἐκέλευον ἀπὸ κοινοῦ. (Αὐγ.) — 7. *Ἀγωγούς*] ὁδηγούς. — 8. *Ἐπὶ τοῖς ὁρίοις*] ὅρια λέγει τὴν ἀρχὴν τῆς Βοιωτίας. — *Διαλύεσθαι*] ἀφίστασθαι τῶν ἀγωγῶν. (λ. Αὐγ.) — 10. *Κακῶν ἄρξει*] ἀρχὴ γενήσεται. (λ. Αὐγ.) — *Ἐς τὸ στρατόπεδον*] τῶν Λακεδαιμονίων. (λ. Αὐγ.) — 11. *Ἐνδώσουσι*] ταπεινωθήσονται. (λ. Αὐγ.) — 13. *Μέρος μὲν τὸ σφέτερον*] τὸ δίμοιρον, ὡς καὶ πρότερον εἴρηται.

2. *Πρότερον* νεν. C. *πρότ. πρὸ τῆς πρεσβείας* νεν. ex Schol.

Προσδέχεσθαι. Laur. *δέχεσθαι*.

Ἀποπέμπ. οὖν. Οὖν om. B.

Ἐκέλ. ἐκτὸς. Laur. E. m. Ar. Chr. Dan. *ἐκέλ. αὐτὸν ἐκτός*.

Αὐθημερόν. De accentu vocabuli vid. Duk. ad VII, 39.

Ἀναχωρήσαντας. Errore typogr. edit. Duk. *ἀναχωρήσαντες*, quod repetiit edit. Lips.

Βούλωνται. Gr. et a pr. man. Cass. *βούλονται*.

Ξυμπέμπουσι. I. *ξυμπέπουσι*, *μ* s. *π* ead. man. C. *ξυμπέσουσι*, sed al. man. corr. *ξυμπέμπουσι*.

3. *Ὁ δ' ἐπειδή* Cass. Aug. Pal. Gr. D. E. Ar. Chr. Ald. Flor. Bas. Steph. 1. Vulgo (etiam Haack. Bekk.) *ὃ δὲ, ἐπειδή*.

Διαλύεσθαι Cass. Aug. Cl. F. It. H. Reg. (G.) Gr. I. Vind. m. Ar. Chr. marg. Ald. Vinar. Haack. Bekk. Vulgo *διαλύεσθαι*. Quae tempora post *μέλλειν* saepissime confunduntur.

Ἐπορεύετο de. Cass. Aug. Mosqu. sed in Aug. man. ant., ut videtur, superscr. in Mosqu. ad marg. scriptum est *γρ. εἶπεῖν*.

Ἥδε — ἄρξει. Huc respicere complures scriptores declarabunt adnott.

4. *Ἐνδώσουσιν*. H. I. *ἐκδώσ.*, sed in H. *εν s. εκ* al. man.

Προυχώρει. C. *ἐχώρει*.

Digitized by Google

πέας παρείχοντο Πελοποννησίοις ξυστρατεύειν, τοῖς δὲ λειπομένοις ἐς Πλάταιαν ἐξιόντες, τὴν γῆν ἐδήουν.

(β'. Ἀντιπαρασκευαὶ Ἀθηναίων. Κεφ. ιγ' — ιζ'. Περικλῆς καθίστησί τε πολλὰ, καὶ τοὺς Ἀθηναίους παραθαρσύνει, ἐξαριθμῶν τὴν αὐτῶν δύναμιν. Κεφ. ιγ'.)

ιγ'. Ἔτι δὲ τῶν Πελοποννησίων ξυλλεγομένων τε ἐς τὸν Ἰσθμὸν, καὶ ἐν ὁδῷ ὄντων, πρὶν ἐσβαλεῖν ἐς τὴν Ἀττικὴν, Περικλῆς ὁ Ξανθίππου, στρατηγὸς ὢν Ἀθηναίων δέκατος αὐτὸς, ὡς ἔγνω τὴν ἐσβολὴν ἐσομένην, ὑποτοπήσας, ὅτι Ἀρχίδαμος αὐτῷ ξένος ὢν ἐτύγχανε, μὴ πολλάκις, ἢ αὐτὸς ἰδίᾳ βουλόμενος χαρίζεσθαι, τοὺς ἀγροὺς αὐτοῦ παραλίπῃ, καὶ μὴ δηώσῃ, ἢ καὶ, Λακεδαιμονίων κελευσάντων, ἐπὶ διαβολῇ τῇ αὐτοῦ γένηται τοῦτο, (ὥσπερ καὶ τὰ ἄγη ἐλαύνειν προεῖπον ἕνεκα ἐκείνου,) προηγόρευε τοῖς Ἀθηναίοις ἐν τῇ ἐκκλησίᾳ, ὅτι Ἀρχίδαμος μέν οἱ ξένος εἴη, οὐ μέντοι ἐπὶ κακῷ γε τῆς πόλεως γένοιτο· τοὺς δ' ἀγροὺς τοὺς ἑαυτοῦ καὶ οἰκίας ἦν ἄρα μὴ δηώσωσιν οἱ πολέμιοι, ὥσπερ καὶ τὰ τῶν ἄλλων, ἀφίησιν αὐτὰ δημόσια εἶναι, καὶ μηδεμίαν οἱ ὑποψίαν κατὰ ταῦτα γίγνεσθαι. 2. παρήνει δὲ καὶ περὶ

ιγ'. 3. Ἔτι δέ] πάλιν ἀνωτέρω ἐπανατρέχει. — 4. Ἐν ὁδῷ ὄντων] ἑτοίμων ὄντων ἰέναι. (λ. Αὐγ.) — 8. Ἰδίᾳ] ἀντὶ τοῦ ἐξ ἰδίας προαιρέσεως. — 14. Γένοιτο] ἀντὶ τοῦ ἐγένετο. (λ. Αὐγ.) — 17. Κατὰ ταῦτα] διὰ τὸ μὴ δηῶσαι. (λ. Αὐγ.)

5. Τοῖς δὲ λειπ. C. τὴν δὲ λειπ. Πλάταιαν. Laur. Πλαταιέων.

Cap. XIII. Ξυλλεγομ. C. ξυλεγομ., $\overline{\lambda}$ s. $\overline{\lambda}$.

Τοὺς ἀγρούς. C. τοὺς δὲ ἀγρ., nisi ita potius infra pro τοὺς δ' ἀγρ. exhibet.

Αὐτοῦ om. Cl. Contra τοὺς αὐτοῦ. E., nisi id quoque potius ad τοὺς ἀγροὺς τοὺς ἑαυτοῦ referendum. Αὐτοῦ scripsit Bekk.

Παραλίπῃ. Pal. παραλείπῃ.

Τῇ αὐτοῦ Cass. Aug. Cl. F. It. H. Reg. (G.) Gr. Haack. Vulgo τῇ ἑαυτοῦ, quod servavit Bekk. In Pal., si recte inspectus, τῇ αὐτοῦ. Cf. Farr. script. discr.

Τὰ ἄγη. Ar. Chr. Dan. τὸ ἄγος, et sane Cyloneum potissimum ad Periclem spectat. Vid. I, 127.

Ἐκείνου. Ar. Chr. τούτου.

Προηγόρευε. Ar. προηγόρευσε.

Μέν οἱ. Pal. μέντοι. D. μὲν εἰ.

Γέ om. F. I.

Ἀφίησιν. F. ἀφίημι.

Μηδεμίαν. Cass. C. μηδὲ μίαν. Cf. l. 1. p. 466.

Οἱ om. Cass. (cui man. rec. addidit,) Aug. Cl. Gr. Mosqu. Pro eo τοί It. Vat.

Κατὰ ταῦτα. Marg. Steph. διὰ ταῦτα, ex interpr.

Digitized by Google

τῶν παρόντων ἅπερ καὶ πρότερον, παρασκευάζεσθαί τε ἐς τὸν πόλεμον, καὶ τὰ ἐκ τῶν ἀγρῶν ἐσκομίζεσθαι, ἔς τε μάχην μὴ ἐπεξιέναι, ἀλλὰ τὴν πόλιν ἐσελθόντας φυλάσσειν, καὶ τὸ ναυτικὸν, ἧπερ ἰσχύουσιν, ἐξαρτύεσθαι, τά τε τῶν ξυμμάχων διὰ χειρὸς ἔχειν, λέγων τὴν ἰσχὺν αὐτοῖς ἀπὸ τούτων εἶναι τῶν χρημάτων τῆς προσόδου, τὰ δὲ πολλὰ τοῦ πολέμου γνώμῃ καὶ χρημάτων περιουσίᾳ κρατεῖσθαι. 3. θαρσεῖν τε ἐκέλευε, προσιόντων μὲν ἑξακοσίων ταλάντων ὡς ἐπὶ τὸ πολὺ φόρου κατ' ἐνιαυτὸν ἀπὸ τῶν ξυμμάχων τῇ πόλει ἄνευ τῆς ἄλλης προσόδου, ὑπαρχόντων δὲ ἐν τῇ ἀκροπόλει ἔτι τότε ἀργυρίου ἐπισήμου ἑξακισχιλίων ταλάντων· (τὰ γὰρ πλεῖστα τριακοσίων ἀποδέοντα μύρια ἐγένετο, ἀφ' ὧν ἔς τε τὰ προπύλαια τῆς ἀκροπόλεως καὶ τἆλλα οἰκοδομήματα, καὶ ἐς Ποτίδαιαν, ἀπανηλώθη.) 4. χωρὶς δὲ, χρυσίου ἀσήμου

4. Ἧπερ] ἐν ᾧ. (λ. Ἀὐγ.) — 5. Διὰ χειρός] δι' ἐπιμελείας, ἵνα μὴ ἀποστῶσι. — Τὴν ἰσχύν] τὸ ἐξῆς, τὴν ἰσχὺν ἀπὸ τῶν χρημάτων τῆς προσόδου. — 7. Τοῦ πολέμου] λέγων δηλονότι. (λ. Ἀὐγ.) — Γνώμῃ] γνώσει. (λ. Ἀὐγ.) — 8. Κρατεῖσθαι] νικᾶσθαι. (λ. Ἀὐγ.) — 10. Τῆς ἄλλης προσόδου] οἷον τῆς εὐφορίας τῆς γῆς, καὶ τῶν καταδικαζομένων, καὶ τῶν λιμένων, καὶ μετάλλων, καὶ ἄλλων. — 12. Ἐπισήμου] οἷον σημεῖον ἔχοντος βασιλικόν. — Τριακοσίων ἀποδέοντα μύρια] τουτέστιν ἐννεακισχίλια ἑπτακόσια. — 15. Χρυσίου ἀσήμου] μὴ ἔχοντος σημεῖον, οἷον † μαζία † τινά.

2. Ἐσκομίζεσθαι. Ar. ἐκκομίζεσθαι. At vid. 14, 1.

Ἔς τε μάχην Cass. Aug. C. F. Pal. Reg. (G.) H. Gr. I. Laur. B. m. Ar. Chr. Dan. Haack. Bekk. Male vulgo ἔς τε τὴν μάχην. Cf. c. 23. et script. discrep. ad I, 64.

Ἐσελθόντας. D. I. ἐλθ.

Ἧπερ. D. εἴπερ, ᾗ s. ει al. man.

Περιουσίᾳ. Laur. E. Vind. παρουσίᾳ.

3. Προσιόντων μέν. Μέν om. D.

Ὡς ἐπὶ τὸ πολύ. Τό om. C. F. Cf. I. 1. p. 457.

Ὑπαρχόντων — ἀπανηλώθη. „Descripsit Schol. Aristoph. Plut. v. 1196., ubi pro ἔτι τότε ἀργύρ. legit ἀπὸ τοῦ ἀργύρ.; pro μύρια ἐγένετο, περιεγένετο; pro ἀφ' ὧν ἔς τε, ἀφ' ὧν τε; denique καὶ ἐς τἆλλα, et εἰς Ποτίδαιαν ἐπανηλώθη." WASS. G. ὑπαρχόντων τε.

Ἀκροπόλεως. E. Vind. Ar. Chr. πόλεως. Sic etiam m., in quo supra script. ἀκρο. Et πόλεως nomine quanquam nonnumquam *arcem* indicari in not. ad c. 15. intelligemus, id tamen hic neque commodum neque praestantioribus libris congruum.

Τἆλλα. D. I. Ar. Chr. Dan. τὰ ἄλλα. At vid. I. 1. p. 214.

Ἀπανηλώθη. In ἀπαναλώθη invitis omnibus libris temere mutavit Haack. Vid. I. 1. p. 226. et Buttm. Gr. max. in Ind. verb.

Digitized by Google

καὶ ἀργυρίου, ἔν τε ἀναθήμασιν ἰδίοις καὶ δημοσίοις, καὶ ὅσα ἱερὰ σκεύη περί τε τὰς πομπὰς καὶ τοὺς ἀγῶνας, καὶ σκῦλα Μηδικά, καὶ εἴ τι τοιοῦτότροπον, οὐκ ἐλάσσονος † ἦν † ἢ πεντακοσίων ταλάντων. 5. ἔτι δὲ καὶ τὰ ἐκ τῶν ἄλλων ἱερῶν προσετίθει χρήματα οὐκ ὀλίγα, οἷς χρήσεσθαι αὐτούς· καὶ ἢν πάνυ ἐξείργωνται πάντων, καὶ αὐτῆς τῆς θεοῦ τοῖς περικειμένοις χρυσίοις· ἀπέφαινε δ' ἔχον τὸ ἄγαλμα τεσσαράκοντα τάλαντα σταθμὸν χρυσίου ἀπέφθου, καὶ περιαιρετὸν εἶναι ἅπαν, χρησαμένους τε ἐπὶ σωτηρίᾳ ἔφη χρῆναι μὴ ἐλάσσω ἀντικαταστῆσαι πάλιν. 6. χρήμασι μὲν οὖν οὕτως ἐθάρσυνεν αὐτούς. ὁπλίτας δὲ τρισχιλίους καὶ μυρίους εἶναι ἄνευ τῶν ἐν τοῖς φρουρίοις καὶ τῶν παρ' ἔπαλξιν ἑξακισχιλίων καὶ μυρίων. (7. τοσοῦτοι γὰρ ἐφύλασσον τὸ πρῶτον, ὁπότε οἱ πολέμιοι ἐσβάλοιεν, ἀπό τε τῶν πρεσβυτάτων καὶ τῶν νεωτάτων, καὶ μετοίκων ὅσοι ὁπλῖται

3. *Σκῦλα Μηδικά*] τὸν ἀργυρόπυδα θρόνον καὶ τὸν ἀκινάκην τὸν χρυσοῦν. — 4. *Ἢ πεντακοσίων*] τὸ ἢ περιττόν. (λ. Αὐγ.) — 7. *Αὐτῆς τῆς θεοῦ*] τῆς Ἀθηνᾶς. — 8. *Τὸ ἄγαλμα*] ὅπερ ὁ Φειδίας κατεσκεύασε μετὰ τὰ Μηδικά. — 9. *Ἀπέφθου*] πολλάκις ἐψηθέντος, ὥστε γενέσθαι ὄβρυζον. — *Ἅπαν*] τὸ κόσμιον τοῦ ἀγάλματος. — 10. *Χρῆναι*] χρεὼν εἶναι. (λ. Αὐγ.) — 15. *Οἱ πολέμιοι ἐσβάλοιεν*] ἀντὶ τοῦ ἐσέβαλον οἱ Λακεδαιμόνιοι. — *Ἀπό τε πρεσβυτάτων*] οἱ γὰρ ἐν τοῖς φρουρίοις γέροντες καὶ νέοι ἦσαν ἅμα.

Parenthesis signa verbis *τὰ γὰρ — ἀπανηλώθη* primus Gottl. addidit.

4. *Σκῦλα.* Pal. male *σκύλα.*

Ἐλάσσονος. Gr. a man. sec. *ἔλασσον*, et sic Chr. ac marg. Steph. Quod placet Steph. At vid. not.

Ἦν ab Abresch. et Kistemak. impugnatum uncinis circumscripserunt Haack. et Bekk. Vid. not.

5. *Χρυσίοις.* Gr. *χρυσείοις.*

Ἀπέφαινε. C. *ἀπέφηνε.*

Τάλαντα. I. marg. al. man. *ταλάντων.*

Εἶναι. Hoc ad *ἀπέφαινε* relatum potius *ὄν* (sicut praecedit *ἔχον*,) esse debebat. Quare post *ἅπαν* pro colo comma posuimus, ut scriptor iam proximum verbum *ἔφη* in mente habuerit.

Χρησαμένους τε. Vind. *χρησαμένου τε.* D. om. *τε.*

Ἐλάσσω. Vind. *ἐλάσσων.*

6. *Μὲν οὖν. Οὖν* om. I.

7. *Ὁπότε.* E. *ὅτε.*

Ἐσβάλοιεν. C.F. marg. Steph. *ἐσβεβλήκοιεν.*

Καὶ τῶν νεωτάτων. Reg. (G.) *καὶ νεωτ.* ne id quidem male. Vid. I. 1. p. 196., sed etiam I, c. 105. In Dan. *καὶ τῶν νεῶν.* Gr. haec tria vocab. plane om.

Digitized by Google

ἦσαν. τοῦ τε γὰρ Φαληρικοῦ τείχους στάδιοι ἦσαν πέντε καὶ τριάκοντα πρὸς τὸν κύκλον τοῦ ἄστεος, καὶ αὐτοῦ τοῦ κύκλου τὸ φυλασσόμενον τρεῖς καὶ τεσσαράκοντα. ἔστι δὲ αὐτοῦ ὃ καὶ ἀφύλακτον ἦν, τὸ μεταξὺ τοῦ τε μακροῦ καὶ τοῦ Φαληρικοῦ. τὰ δὲ μακρὰ τείχη πρὸς τὸν Πειραιᾶ, τεσσαράκοντα σταδίων, ὧν τὸ ἔξωθεν ἐτηρεῖτο. καὶ τοῦ Πειραιῶς ξὺν Μουνυχίᾳ ἑξήκοντα μὲν σταδίων ὁ ἅπας περίβολος, τὸ δ' ἐν φυλακῇ ὂν, ἥμισυ τούτου.) 8. ἱππέας δ' ἀπέφαινε διακοσίους καὶ χιλίους ξὺν ἱπποτοξόταις, ἑξακοσίους δὲ καὶ χιλίους τοξότας, καὶ τριήρεις τὰς πλωΐμους τριακοσίας. 9. ταῦτα γὰρ ὑπῆρχεν Ἀθηναίοις καὶ οὐκ ἐλάσσω ἕκαστα τούτων, ὅτε ἡ ἐσβολὴ

2. *Πρὸς τὸν κύκλον*] ἕως τοῦ κύκλου. — *Αὐτοῦ*] τοῦ κύκλου. — 4. *Ὃ καὶ ἀφύλακτον*] [*μέρος δηλονότι.* (*λ. Ἀνγ.*)] *τουτέστι σταδίοι δεκαεπτά· ὁ γὰρ ὅλος κύκλος σταδίων ἦν ἑξήκοντα.* — 6. *Ὧν*] *τῶν μακρῶν τειχῶν.* — *Τὸ ἔξωθεν ἐτηρεῖτο*] *τὸ γὰρ μέσον οὐκ ἐδεῖτο.* (*Ἀνγ.*) — 8. *Τὸ δ' ἐν φυλακῇ ὄν*] τοῦ *Πειραιέως* (*λ. Ἀνγ.*) [*τὸ νεῦον ἐς τὴν ἤπειρον.* (*Κασσ. Ἀνγ.*)]

Φαληρικοῦ. E. Vind. m. Ar. Chr. *Φαλληρ.* hic et paullo inferius (nisi quod ibi *Φαλλερ.* ex E. enotatur). Proxima in D. ob repetitum nomen *Φαληρ.* de. usque ad *τὰ δὲ μακρά*, sed al. man. suppl.

Ἄστεος Cass. C. It. Vat. H. Reg. Gr. I. B. m. Ar. Chr. Steph. Neoph. Ducas, Alter. Haack. Bekk. Cf. I. 1. p. 221. Duk. et Gottl. *ἄστεως*.

Ἔστι. H. et Gr. int. vers. *ἔτι*.

Αὐτοῦ. Reg. (G.) *τοῦ κύκλου αὐτοῦ*.

Φαληρικοῦ. D. *Φαλαρ.*

Πειραιῶς Cass. Aug. Pal. Reg. (G. H. Vat. It., si quid valet editorum silentium,) Ar. Chr. Tus. Ante Gottl. (et in C. F. Laur. B.) male *Πειραιέως*. „Dedi *Πειραιῶς*. Vid. Thom. M. p. 700. et Moer. p. 314. Ita constanter apud nostrum [scriptorem], v. c. I, 93. II, 93. 94. VIII, 90. 92." GOTTL. D. I. *Πειρεως*, in I. ᾱι s. ē al. man.

Ἅπας. Laur. E. Ar. Chr. Dan. *πᾶς*.

Τὸ δὲ ἐν Cass. C. F. Pal. G. H. Gr. I. Mosqu. pro vulg. (Haack. Bekk.) *τὸ δ' ἐν*.

Ἥμισυ. Quod huic vulgo praefigitur *ἦν*, om. Aug. Pal. It. H. Reg. (G., in quo man. rec. int. vers. script.) Laur. Ar. Chr. Dan. Uncis notavit Haack. cf. not. ad §. 4. Cum uno Vat. Bekk. deleto *ὄν* retinuit *ἦν*.

8. *Ἱπποτοξόταις*. D. *ὑποτοξ.* (ut *ἵππαρχος* et *ὕπαρχος* alibi confund.)

Ἑξακοσίους. Mosqu. *διακοσ.*

Πλωΐμους. Aug. Pal. It. Vat. Reg. (G.) Gr. Vind. Bekk. *πλοΐμους*. Vid. not. ad I, 6.

Τριακοσίας. Reg. *διακοσίας*, sed in marg. recte *τριακοσίας*. Vid. not. Gr. *τριακοσίους*, et sic etiam Aug., nisi lectorem fallit Gottl.

Digitized by Google

τὸ πρῶτον ἔμελλε Πελοποννησίων ἔσεσθαι, καὶ ἐς τὸν πόλεμον καθίστασαν. ἔλεγε δὲ καὶ ἄλλα, οἷάπερ εἰώθει, Περικλῆς ἐς ἀπόδειξιν τοῦ περιέσεσθαι τῷ πολέμῳ.

(Ἀθηναῖοι ἐκ τῶν ἀγρῶν ἀποφεύγουσιν.)

ιδ'. Οἱ δὲ Ἀθηναῖοι ἀκούσαντες ἀνεπείθοντό τε, καὶ ἐξεκομίζοντο ἐκ τῶν ἀγρῶν παῖδας καὶ γυναῖκας καὶ τὴν ἄλλην κατασκευὴν ἥ κατ' οἶκον ἐχρῶντο, καὶ αὐτῶν τῶν οἰκιῶν καθαιροῦντες τὴν ξύλωσιν· πρόβατα δὲ καὶ ὑποζύγια ἐς τὴν Εὔβοιαν διεπέμψαντο καὶ ἐς τὰς νήσους τὰς ἐπικειμένας. 2. χαλεπῶς δὲ αὐτοῖς, διὰ τὸ ἀεὶ εἰωθέναι τοὺς πολλοὺς ἐν τοῖς ἀγροῖς διαιτᾶσθαι, ἡ ἀνάστασις ἐγίγνετο.

(Παρέκβασις περὶ τοῦ τρόπου, ὃν τὸ πάλαι ἡ Ἀττικὴ ᾠκεῖτο. Κεφ. ιε'.)

ιε'. Ξυνεβεβήκει δὲ ἀπὸ τοῦ πάνυ ἀρχαίου ἐτέρων μᾶλλον Ἀθηναίοις τοῦτο. ἐπὶ γὰρ Κέκροπος καὶ τῶν πρώτων βασιλέων ἡ Ἀττικὴ ἐς Θησέα ἀεὶ κατὰ πόλεις

ιδ'. 7. Τὴν ξύλωσιν] [τὴν ἀπὸ ξύλων κατασκευήν. (λ. Κασσ.)] σημείωσαι ξύλωσιν· ἰδία λέξις τοῦ Θουκυδίδου αὐτη. — 10. Ἡ ἀνάστασις] ἡ μετοίκησις. (λ. Αὐγ.)

ιε'. 12. Ἀπὸ τοῦ πάνυ ἀρχαίου] ἐξ ἀρχῆς. — Ἑτέρων] Ἑλλήνων. — 13. Τοῦτο] τὸ ἐν ἀγροῖς δίαιταν ἔχειν. — 14. Ἐς Θησέα] ἀντὶ τοῦ ἕως Θησέως. — Ἀεὶ κατὰ πόλεις] ἀδιαστάτως. (λ. Αὐγ.)

Cap. XIV. *Κατασκευήν.* E. Vind. Dan. edit. Bas. (sed non cod. Bas.) marg. Steph. *παρασκ.* Male. Vid. not.

Ἐχρῶντο om. E.

Πρόβατα. E. *προυατα.*

Εὔβοιαν. Vind. *Εὔοιαν.*

Διεπέμψαντο. E. *διέπεμψαν.* At *sua iumenta transmiserunt* recte dicitur *διεπέμψαντο ὑποζύγια*, etsi medii *διαπέμπεσθαι* aliam significationem attulit Schneid. in Lex. Gr.

Καὶ ἐς. Καί om. D., *ἐς* Laur. E. Ar. Chr. Dan.

2. *Αὐτοῖς.* D. *αει οις.* Sic etiam I., sed *αὐτοῖς* s. v. al. man.

Ἀεί. Pal. *αἰεί.* Cf. I. 1. p. 211.

Ἀνάστασις. Ἀπανάστασις scriptum cupias. Vid. not. ad I, 2. *Μετανάστασις* c. 16. (cf. interea I. 1. p. 235.)

Cap. XV. *Ξυνεβεβήκει.* Vat. *συνεπεβεβήκει.* Aug. quidem *συνεβεβήκει*, sed ibi quoque antea *συνεπεβεβήκει* fuisse videtur, quod erasae sunt litterae quaedam.

Ἐπί. Cod. Bas. *ἀπό*, ex emend.

Πρώτων. Gr. Mosqu. *ἄλλων*, sed in illo ab emend. int. vers. *πρώτων.*

Ἀεί. Pal. rursus *αἰεί.*

Digitized by Google

ὠκεῖτο, πρυτανεῖά τε ἔχουσα καὶ ἄρχοντας· καὶ ὁπότε
108. μή τι δείσειαν, οὐ ξυνήεσαν βουλευσόμενοι ἐς τὸν βα-
σιλέα, ἀλλ' αὐτοὶ ἕκαστοι ἐπολιτεύοντο καὶ ἐβουλεύοντο·
καί τινες καὶ ἐπολέμησάν ποτε αὐτῶν, ὥςπερ καὶ Ἐλευ-
σίνιοι μετ' Εὐμόλπου πρὸς Ἐρεχθέα. 2. ἐπειδὴ δὲ Θη-
σεὺς ἐβασίλευσε, γενόμενος μετὰ τοῦ ξυνετοῦ καὶ δυνα-
τὸς, τά τε ἄλλα διεκόσμησε τὴν χώραν, καὶ καταλύσας
τῶν ἄλλων πόλεων τά τε βουλευτήρια καὶ τὰς ἀρχὰς, ἐς
τὴν νῦν πόλιν οὖσαν, ἓν βουλευτήριον ἀποδείξας καὶ
πρυτανεῖον, ξυνῴκισε πάντας· καὶ νεμομένους τὰ αὑτῶν
ἕκάστους, ἅπερ καὶ πρὸ τοῦ, ἠνάγκασε μιᾷ πόλει ταύτῃ
χρῆσθαι, ἣ ἁπάντων ἤδη ξυντελούντων ἐς αὐτὴν, μεγάλη
γενομένη, παρεδόθη ὑπὸ Θησέως τοῖς ἔπειτα· καὶ ξυνοί-
κια ἐξ ἐκείνου Ἀθηναῖοι ἔτι καὶ νῦν τῇ θεῷ ἑορτὴν δη-
μοτελῆ ποιοῦσι. 3. τὸ δὲ πρὸ τούτου ἡ ἀκρόπολις ἡ νῦν

1. *Πρυτανεῖά τε ἔχουσα*] πρυτανεῖόν ἐστιν οἶκος μέγας, ἔνθα αἱ σιτήσεις ἐδίδοντο τοῖς πολιτευομένοις. ἐκαλεῖτο δὲ οὕτως, ἐπειδὴ ἐκεῖ ἐκάθηντο οἱ Πρυτάνεις, οἱ τῶν ὅλων πραγμάτων διοικηταί. ἄλλοι δέ φασιν ὅτι τὸ πρυτανεῖον πυρὸς ἦν ταμιεῖον, ἔνθα καὶ ἦν ἄσβεστον πῦρ καὶ ἠΰχοντο. — *Ὁπότε μή τι δείσειαν*] ἀντὶ τοῦ ὅτε μὴ εἰς φόβον τινὰ ἔλθοιεν καὶ κίνδυνον, οὐκ ἤρχοντο πρὸς τὸν βασιλέα. — 3. *Αὐτοὶ ἕκαστοι*] καθ' ἑαυτούς. — 5. *Μετ' Εὐμόλπου*] ἀφ' οὗ Εὐμολπίδαι φυλὴ ἐν τῇ Ἀττικῇ. (λ. Ἀγ.) — 10. *Ξυνῴκισε*] τὸ ξυνῴκισεν οὐκ ἔστιν ἐπὶ τοῦ ὁμοῦ ξυνοικισθῆναι ἐποίησεν, ἀλλ' ἐπὶ τοῦ μίαν πόλιν, τουτέστι μητρόπολιν, ἔχειν αὐτήν. — 14. *Ἐξ ἐκείνου*] ὁ δὲ μὴν ἐκεῖνος ὠνομάσθη Μεταγειτνιών. — *Τῇ θεῷ*] τῇ Ἀθηνᾷ· ἀπροσδιορίστως γὰρ οὕτω φασὶν οἱ Ἀθηναῖοι, καὶ τὸν Ἀπόλλωνα ὁμοίως.

Πρυτανεῖά τε. Ta om. Laur. m. Ar. Chr.
Ἄρχοντας. Cl. ἀρχάς. E. ἀρχίας.
Μή om. Mosqu. Ar.
Ξυνήεσαν. Cass. Pal. *ξυνίεσαν.*
Ὡς. Ar. *ἐς.*
Ἐπολιτεύοντο. Laur. Vind. *ἐπολίτευον*, quod si maiorem auctoritatem haberet, ipsum defendi posset. Cf. Ind. verb. *Καὶ ἐβουλεύοντο* om. Ar.
Ποτὲ αὐτῶν. Reg. *ποτὲ καὶ αὐτ.*
Ὥςπερ καί. Καί de. Laur. E. m. Dan.
2. *Χώραν.* Ar. Chr. Dan. *πόλιν.*
Πόλεων om. Gr.
Ξυνῴκισε. Pal. a pr. man. *ξυνῴκησε.*
Αὐτῶν Cass. Pal. Gr. m. Ar. Chr. Vulgo (Haack. Bekk.) *αὐτῶν.* Cf. Farr. discrep. script.
Ἤδη. I. *ἔδει.*
Τῇ θεῷ ἑορτήν. C. *ἑορτ. τῇ θεῷ.*
3. *Τούτου.* Reg. a pr. man. (nam deinde emendat. *τούτου*) Laur. E. Vind. m. Ar. Chr. Dan. *τοῦ*, ex praecedd. Caeterum de

Digitized by Google

οὖσα, πόλις ἦν, καὶ τὸ ὑπ' αὐτὴν πρὸς νότον μάλιστα ἐστραμμένον. 4. τεκμήριον δὲ· τὰ γὰρ ἱερὰ ἐν αὐτῇ τῇ ἀκροπόλει καὶ ἄλλων θεῶν ἐστί, καὶ τὰ ἔξω πρὸς τοῦτο τὸ μέρος τῆς πόλεως μᾶλλον ἵδρυται, τό τε τοῦ Διὸς τοῦ Ὀλυμπίου, καὶ τὸ Πύθιον, καὶ τὸ τῆς Γῆς, καὶ τὸ ἐν Λίμναις Διονύσου, ᾧ τὰ ἀρχαιότερα Διονύσια τῇ δωδεκάτῃ ποιεῖται ἐν μηνὶ Ἀνθεστηριῶνι, ὥςπερ καὶ οἱ ἀπ' Ἀθηναίων Ἴωνες ἔτι καὶ νῦν νομίζουσιν. ἵδρυται δὲ καὶ ἄλλα ἱερὰ ταύτῃ ἀρχαῖα. 5. καὶ τῇ κρήνῃ τῇ νῦν μὲν, τῶν τυράννων οὕτω σκευασάντων, Ἐννεακρούνῳ καλουμένῃ, τὸ δὲ πάλαι, φανερῶν τῶν πηγῶν οὐσῶν, Καλ-

3. Πρὸς τοῦτο τὸ μέρος] τὸ νότιον. — 5. Τῆς Γῆς] τῆς Δήμητρος. — Ἐν Λίμναις] Λίμναι τόπος ἐν τῇ ἀκροπόλει τῶν Ἀθηνῶν. — 6. Τὰ ἀρχαιότερα] ἀρχαιότερα εἶπε, διότι ἔστι καὶ νεώτερα ἄλλα. (λ. Αὐγ.) — Τῇ δωδεκάτῃ] τοῦ μηνός. (Αὐγ.) — 7. Καὶ οἱ ἀπ' Ἀθην.] καὶ οἱ ἄποικοι τῶν Ἀθηναίων. (λ. Αὐγ.) — 8. Νομίζουσι] κατὰ νόμον ποιοῦσι. (λ. Αὐγ.) — 9. Ταύτῃ] πρὸς νότον. (Αὐγ.) — 10. Τῶν τυράννων] τῶν Πεισιστρατιδῶν. — 11. Τῶν πηγῶν] τῶν ἀναδόσεων τοῦ ὕδατος. —

discrimine, quod proprie inter πρὸ τοῦ et πρὸ τούτου statuendum sit, vid. Buttm. ad Plat. Alcib. I. c. 14.

Νότον. *Aquilonem* haud dubie errore interpretatus est Valla. Cf. I. 2. p. 240.

4. Ἱερά om. C.

Καὶ ἄλλων. Cod. Bas. τῆς τε Ἀθηνᾶς καὶ ἄλλων, ad explicandam vim nom. ἄλλων.

Μᾶλλον de. Ar. Chr. Dan.

Λίμναις. Ar. Chr. *Λίμνῃ*. At vid. I. 2. p. 241. G. peius *Λήμναις* et *Διονυσίου*, si vera tradit Gail.

Ἀνθεστηριῶνι. F. Ἀνθετηριῶνι. Laur. Ἀνθεστεριῶνι. Vind. Ἀνθεπηριῶνι.

Ἀπ' Ἀθην. Ἀπ' om. Ar. Chr.

Ἔτι καὶ νῦν. Reg. ἔτι νῦν (quod νῦν ἔτι diceretur). marg. Steph. μέχρι καὶ ν.

Ταύτῃ ἀρχαῖα Cass. Aug. C. F. Pal. It. Vat. H. Reg. (G.) Gr. D. Laur. B. E. Ar. Chr. Dan. Ald. Flor. Bas. Haack. Bekk. Vulgo ἀρχαῖα ταύτῃ.

5. Σκευασάντων. C. F. D. Hesych. (in Ἐννεάκρουνος) κατασκευασάντων, quod utique usitatum de talibus verbum, sed interpretationem redolet. D. I. κατασκευασθέντων. Laur. Vind. m. Ar. Chr. Dan. Ald. Flor. Bas. marg. Steph. male κελευσάντων. In Aug. σκευασάντων — ἐκείνῃ τε ἐγγύς de.

Φανερῶν. Cf. not.

Τῶν πηγῶν οὐσῶν. Chr. οὐ οὐσῶν τῶν πηγ.

Καλλιρόη. Καλλιῤῥόη ex Reg. et Chr. scripsit Gottl., quem secuti sunt Haack. et cum It. Bekk. Nos in nomine prisco formam hexametro aptiorem et longe plurimis libris stabilitam deserere noluimus. Cf. I. 2. p. 244. Pal. Καληρόη. Ar. Καλλιρόῳ.

Digitized by Google

λιρόη ὠνομασμένη, ἐκείνη τε ἐγγὺς οὖση τὰ πλείστου ἄξια ἐχρῶντο, καὶ νῦν ἔτι ἀπὸ τοῦ ἀρχαίου πρό τε γαμικῶν καὶ ἐς ἄλλα τῶν ἱερῶν νομίζεται τῷ ὕδατι χρῆσθαι. 6. καλεῖται δὲ διὰ τὴν παλαιὰν ταύτῃ κατοίκησιν καὶ ἡ ἀκρόπολις μέχρι τοῦδε ἔτι ὑπὸ Ἀθηναίων πόλις.

(Ἀθηναῖοι ἄχθονται τοὺς ἀφοὺς ἀπολείποντες)

ις'. Τῇ τε οὖν ἐπὶ πολὺ κατὰ τὴν χώραν αὐτονόμῳ οἰκήσει μετεῖχον οἱ Ἀθηναῖοι, καὶ ἐπειδὴ ξυνῳκίσθησαν, διὰ τὸ ἔθος ἐν τοῖς ἀγροῖς ὅμως οἱ πλείους τῶν [τε] ἀρχαίων καὶ τῶν ὕστερον μέχρι τοῦδε τοῦ πολέμου παν-
10 οικησίᾳ γενόμενοί τε καὶ οἰκήσαντες, οὐ ῥᾳδίως τὰς μετανασταίσεις ἐποιοῦντο, ἄλλως τε καὶ ἅρτι ἀνειληφότες

1. Ἐγγὺς οὖσα] τῆς ἀκροπόλεως δηλονότι. — Τὰ πλείστου ἄξια ἐχρῶντο] λείπει ἡ εἰς, ἵν' ᾖ, εἰς τὰ πλείστου ἄξια. τὸ δὲ ἑξῆς, τῇ κρήνῃ τὰ πλείστου ἄξια ἐχρῶντο. — 3. Καὶ ἐς ἄλλα τῶν ἱερῶν] καὶ γὰρ ὁ γάμος ἱερός. — 4. Διὰ τὴν παλαιὰν ταύτην] τὴν εἰρημένην δηλονότι.

ις'. 6. Τῇ τε οὖν] ** ἐπανάληψις. (Λύγ.) ἀντίπτωσις, ἀντὶ τοῦ τῆς τε οὖν. (λ. Λύγ.) — Αὐτονόμῳ οἰκήσει] αὐτονόμου οἰκήσεως. (λ. Κασσ. Λύγ.) — 7. Ξυνῳκίσθησαν] εἰς μίαν πόλιν συνῆλθον. (λ. Κασσ. Λύγ.) — 9. Πανοικησίᾳ] πανοικησίᾳ καὶ οὐ πανοικίᾳ λέγεται.

Ὠνομασμένη. Ar. Chr. Dan. καλουμένη.

Ἐκείνη. „Aptius videtur ἐκεῖνοι." BEKK.

Τὰ πλείστου ἄξια. „In Reg. super haec verba manu vetusta scriptum erat εἰς, et in Cass. rec. man. λείπει εἰς. Mihi valde dura videtur haec ellipsis." DUK. At vid. Matth. §. 413. not. 4. Τὰ πλεῖστα ἄξια Vat. E.

Πρό τε. Reg. πρός τε.

6. Καλεῖται δέ. Δέ de. Gr.

Ταύτῃ Cass. Aug. C. F. Pal. It. Vat. Reg. (G.) Bekk. Vulgo (et Haack.) ταύτην. Cf. Krüg. l. l. p. 306.

Ὑπὸ Ἀθην. Ita Cass. Aug. F. Pal. G. Gr. Mosqu. Vulgo (Haack. Bekk.) ὑπ' Ἀθην.

Cap. XVI. Τῇ τε. Gr. τῇ σε, et super σε script. γάρ. De dativo cf. not.

Ἐπὶ πολύ. Ἐπί s. v. ead. man. D.

Τὴν χώραν. Τήν de. et rec. man. addit. Reg. (G.)

Μετεῖχον. Supra μετεῖχον in Gr. scribitur μετοικέων.

Οἱ Ἀθην.. Οἱ om. Cl.

Τῶν τε. Τε de. Cass. a pr. man. (deinde adscript.) Pal. It. Vat. Ar. Chr. Dan. Bekk.

Πανοικησίᾳ. C. D. E. πανοικεσίᾳ, in D. tamen η̄ s. ε̄ ead. man. „Πανοικησίᾳ — οἰκήσαντες Thom. Mag., qui πανοικεσίᾳ scribit, uti fere recentiores." WASS. Cf. ad III, 57.

Μετανασταίσεις. Aug. (in quo να rec. man. superscr.) Cl. C. Dan. μεταστάσεις. Laur. E. ἀνα-

Digitized by Google

τὰς κατασκευὰς μετὰ τὰ Μηδικά. 2. ἐβαρύνοντο δὲ καὶ χαλεπῶς ἔφερον οἰκίας τε † καταλιπόντες † καὶ ἱερὰ, ἃ διαπαντὸς ἦν αὐτοῖς ἐκ τῆς κατὰ τὸ ἀρχαῖον πολιτείας πάτρια, δίαιτάν τε μέλλοντες μεταβάλλειν, καὶ οὐδὲν ἄλλο ἢ πόλιν τὴν αὐτοῦ ἀπολείπων ἕκαστος.

(Ἐν τῷ ἄστει κακῶς διαιτῶνται.)

ιζ'. Ἐπειδή τε ἀφίκοντο ἐς τὸ ἄστυ, ὀλίγοις μέν τισιν ὑπῆρχον οἰκήσεις καὶ παρὰ φίλων τινὰς ἢ οἰκείων καταφυγή· οἱ δὲ πολλοὶ τά τε ἔρημα τῆς πόλεως ᾤκησαν, καὶ τὰ ἱερὰ καὶ τὰ ἡρῷα πάντα, πλὴν τῆς ἀκροπόλεως, καὶ τοῦ Ἐλευσινίου, καὶ εἴ τι ἄλλο βεβαίως κλῃστὸν ἦν· τό τε Πελασγικὸν καλούμενον τὸ ὑπὸ τὴν ἀκρόπολιν, ὃ καὶ ἐπάρατόν τε ἦν μὴ οἰκεῖν, καί τι καὶ Πυθικοῦ μαντείου ἀκροτελεύτιον τοιόνδε διεκώλυε, λέγον

1. Ἐβαρύνοντο] καλῶς εἶπεν ἐβαρύνοντο. οὐ δεῖ γὰρ λέγειν ὅτι ἐβαροῦντο, ἢ βαροῦμαι, ἢ βαρούμενος, οὐδὲ ἄλλην τινὰ κλίσιν ποιεῖσθαι τοῦ βαροῦμαι ῥήματος· ἀλλὰ βαρύνομαι, καὶ βαρυνόμενος, καὶ τὰ ἄλλα ὁμοίως [κλινόμενα. (λ. Κασσ. Αὐγ.)] —

ιζ'. 6. Ὀλίγοις μέν τισιν] τοῖς πλουσιωτέροις. — 7. Ὑπῆρχον οἰκήσεις] ἰδίᾳ δηλονότι. — 8. Τά τε ἔρημα] τὰ ὀλιγάνθρωπα. — 10. Κλειστὸν ἦν] πανταχόθεν κλείεσθαι ἠδύνατο. — 11. Τό τε Πελασγικὸν καλούμενον] οἱ γὰρ Πελασγοὶ αὐτὸ οἰκήσαντες, ἐπεβούλευσαν τοῖς Ἀθηναίοις· οὓς διώξαντες πάλιν οἱ Ἀθηναῖοι κατηράσαντο τὸν τόπον μὴ οἰκισθῆναι. — 13. Ἀκροτελεύτιον τοιόνδε] κατάσεις, ut c. 14. Sed noli quidquam mutare. Vid. ibi monita.

2. Καταλιπόντες. Vind. καταλείποντες, quod placet ob sequentia partic. et quod non aegre ferebant, quod reliquerant, sed inviti relinquebant.

Οὐδέν. Vat. οὐδέ.

Αὐτοῦ. Reg. Ar. Bekk. αὐτοῦ. Vid. Farr. discrep. script.

Ἀπολείπων. Pal. Laur. E. ἀπολιπών. Mosqu. ἀπολείπειν.

Ἕκαστος s. v. al. man. G.

Cap. XVII. Ἐπειδή τε Cass. C. F. Pal. It. Vat. H. Reg. (G.) D. I. Bekk. Vulgo (et Haack.) ἐπειδὴ δέ.

Τινάς. F. τινῶν. Gr. ex emend. τισί.

Ἦ οἰκ. Ἦ om. E.

Καταφυγή. Vind. καταφυγαί.

Τά τε. Τε om. I.

Ὤικησαν. Laur. οἴκησαν.

Κλῃστόν. Ante Gottl. κληϊστόν. Cass. Aug. Cl. Reg. Vind. Mosqu. Ar. Chr. Dan. et haud dubie plerique Parr. et Itt. κλειστόν, quod receperunt Gottl. Haack. Bekk. In C. κλησιόν. Pal. κλῆστον. Unde facile κλησιόν eruitur, quod usus Thuc. postulat. Vid. I. 1. p. 212. sq.

Πελασγικόν. G. Πελαγικόν, σ s. v.

Ὑπό. Cod. Bas. ὑπέρ.

Ὃ καί. Gr. ὅ τε.

Τοιόνδε διεκώλυε. E. διεκώλυε τοιόνδε.

Digitized by Google

ὡς „τὸ Πελασγικὸν ἀργὸν ἄμεινον", ὅμως ὑπὸ τῆς παραχρῆμα ἀνάγκης ἐξφκήθη. (2. καί μοι δοκεῖ τὸ μαντεῖον τοὐναντίον ξυμβῆναι ἢ προσεδέχοντο· οὐ γὰρ διὰ τὴν παράνομον ἐνοίκησιν αἱ ξυμφοραὶ γενέσθαι τῇ πόλει, ἀλλὰ διὰ τὸν πόλεμον ἡ ἀνάγκη τῆς οἰκήσεως· ὃν οὐκ ὀνομάζον τὸ μαντεῖον προήδει μὴ ἐπ' ἀγαθῷ ποτὲ αὐτὸ κατοικισθησόμενον.) 3. κατεσκευάσαντο δὲ καὶ ἐν τοῖς πύργοις τῶν τειχῶν πολλοί, καὶ ὡς ἕκαστός που ἐδύνατο. οὐ γὰρ ἐχώρησε ξυνελθόντας αὐτοὺς ἡ πόλις, ἀλλ' ὕστερον δὴ τά τε μακρὰ τείχη ᾤκησαν κατανειμάμενοι, καὶ τοῦ Πειραιῶς τὰ πολλά. 4. ἅμα δὲ καὶ τῶν πρὸς τὸν πόλεμον ἥπτοντο, ξυμμάχους τε ἀγείροντες, καὶ τῇ Πελοποννήσῳ ἑκατὸν νεῶν ἐπίπλουν ἐξαρτύοντες. 5. καὶ οἱ μὲν ἐν τούτῳ παρασκευῆς ἦσαν.

λῶς τὸ ἀκροτελεύτιον ἀντὶ τοῦ τὸ ἄκρον, τὸ τέλος τοῦ στίχου. καλεῖται δὲ καὶ ἄκρον ἡ ἀρχὴ τοῦ στίχου. — 3. Προσεδέχοντο] *ἐνόμιζον.* (λ. *Αὐγ.*) — 7. *Κατεσκευάσαντο*] *κατασκευὰς ἐποιήσαντο.* (λ. *Αὐγ.*) ** *οἴκημά τι. ἢ ἀντὶ τοῦ κατέλυσαν τὰ σκεύη· ὧν ἐναντίον τὸ ἀνεσκευάσαντο.* (*Βας.*) — 10. *Τά τε μακρὰ τείχη*] *ἐπάνω τῶν τειχῶν.* (*Αὐγ.*)

Πελασγικόν. Laur. *Πελαργικόν.* Cf. I. 2. p. 245.

Καί τι. Tus. *καί τοι.*

Ἀργόν. Vat. ἄργος (v. *Ἄργος.*)

Ἐξφκήθη. F. Pal. marg. Ald, Vind. *ἐξφκίσθη.* Paulo ante post *ἄμεινον* ante Haack. pessime punctum legebatur.

2. *Καί μοι δοκεῖ.* Totam hanc paragr., quo clarius argumentationis nexus appareat, in parenthesim redegimus.

Τὸ μαντεῖον τοὐναντίον. I. *τοὐν. μαντ.* B. *τοὐν.* s. v.

Ἢ. Vat. It. ᾗ.

Προσεδέχοντο. Pal. Vind. marg. Ald. Vinar. *προσεδέχετο.*

Ἐνοίκησιν. C. F. cod. Bas. Gr. marg. Steph. *οἴκησιν.*

Ὃν. Pal. It. Vat. H. Bas. cod. Gr. Laur. ὅ.

Ὀνομάζον. Laur. *ὠνόμαζον.*

Ποτὲ om. E.

Αὐτό. Pal. Laur. *αὐτῷ.*

Κατοικισθησόμενον. Gr. *κατοικησθησόμενον.*

3. *Κατεσκευάσαντο.* Inutilis Palmerii coniectura *κατεσκηνώσαντο.* Vid. not. Pro *κατεσκηνώσαντο* Thucydides *ἐσκηνήσαντο* dixisset. Vid. cap. 52. Mox pro *ἐδύνατο* E. *ἐδύναντο.*

Ὤκησαν. Mosqu. *ᾤκισαν.*

Πειραιῶς ex Cass. Aug. Cl. Reg. Mosqu. Ar. Chr. primus Gottl. restituit, quocum Pal. plerique Parr. et Itt. facere videntur. Prius *Πειραιέως*, ut C. F. (qui insuper *τοῦ* om.) Laur. Cf. 13, 7. In I. *Πειρεως*, *αι* s. *ε* al. man.

4. *Τὸν πόλεμον.* *Τόν* de. Ar. Chr. Dan.

Ἀγείροντες. E. Vind. Ar. Chr. Dan. *ἐγείρ.*

Νεῶν ἐπίπλουν ἐξαρτ. „Suid. in *ἐπίπλους*, et legit *νηῶν* Ionico more." WASS. „Etiam CL.

Digitized by Google

(γ'. Οἱ Πελοποννήσιοι, Οἰνόης πρῶτον πειράσαντες, ἐς τὴν Ἀττικὴν ἐσβάλλουσι, καὶ μέχρι Ἀχαρνῶν προελθόντες, καὶ τῶν Ἀθηναίων ἀπειπόντος τοῦ Περικλέους ἐς μάχην οὐκ ἐπεξελθόντων, τῆς γῆς ἔτεμον. — Κεφ. κβ'. Πρῶτον μὲν οὖν μέχρι Οἰνόης προέρχονται. Σχολαιότης Ἀρχιδάμου. Κεφ. ιή'.)

ιή. Ὁ δὲ στρατὸς τῶν Πελοποννησίων προϊὼν ἀφίκετο τῆς Ἀττικῆς ἐς Οἰνόην πρῶτον, ὅπερ ἔμελλον ἐσβαλεῖν. καὶ ὡς ἐκαθέζοντο, προσβολὰς παρεσκευάζοντο τῷ τείχει ποιησόμενοι μηχαναῖς τε καὶ ἄλλῳ τρόπῳ. 2. ἡ γὰρ Οἰνόη, οὖσα ἐν μεθορίοις τῆς Ἀττικῆς καὶ Βοιωτίας, ἐτετείχιστο, καὶ αὐτῷ φρουρίῳ οἱ Ἀθηναῖοι ἐχρῶντο, ὁπότε πόλεμος καταλάβοι. τάς τε οὖν προσβολὰς εὐτρεπίζοντο, καὶ ἄλλως ἐνδιέτριψαν χρόνον περὶ αὐτήν. 3. αἰτίαν τε οὐκ ἐλαχίστην Ἀρχίδαμος ἔλαβεν ἀπ' αὐτοῦ, δοκῶν καὶ ἐν τῇ ξυναγωγῇ τοῦ πολέμου μαλακὸς εἶναι καὶ τοῖς Ἀθηναίοις ἐπινήδειος, οὐ παραινῶν προθύμως πολεμεῖν· ἐπειδή τε ξυνελέγετο ὁ στρατὸς, ἥ τε ἐν τῷ

ιή. 2. Ἐς Οἰνόην] Οἰνόη δῆμος τῆς Ἀττικῆς, ὅριον οὖσα Ἀθηναίων καὶ Βοιωτῶν. — 4. Τῷ τείχει] τῆς Οἰνόης. — 9. Ἀπ' αὐτοῦ] τοῦ βράδους. — 10. Δοκῶν] νομιζόμενος. (λ. Ἀϋγ.) — Ἐν τῇ ξυναγωγῇ] ὅτε ἀπέτρεπε τὸ πολεμεῖν.

naves dicit pro centum. Vid. infr. c. 23. Videtur addidisse L. Corcyraeas c. 25." DUK. „Suid. vitiose ρ' νεῶν. N numerum quinquagenarium notans ortum videtur ex sequ. νεῶν." GOTTL. Phavor. plene ἑκατὸν πεντήκοντα νηῶν. C. ἐπίπτουν, sed τ ead. man. mutatum in λ.

Cap. XVIII. Ὁ δὲ στρατὸς — ἐσβαλεῖν. „Locum adducit Suid. in ἀφίκετο." WASS. „Sed omittit haec τῶν Πελοποννησίων. προϊὼν et πρῶτον, et pro ἐς, εἰς, pro ἐσβαλεῖν, εἰσβαλεῖν habet. Addit deinde aliquid de syntaxi, quod satis obscurum est." DUK. „Suid. notat syntaxin, οὕτω φησὶ Θουκυδ. τὴν σύνταξιν, quod a singulari ἀφίκετο transit ad pluralem ἔμελλον." GOTTL. Pro στρατὸς Mosqu. στρατηγός, pro πρῶτον Ar. τὸ πρῶτ.

Ποιησόμενοι μηχαναῖς. Ar. Chr. Dan. ποιησάμενοι μηχανάς.

2. Μεθορίοις. Cod. Bas. μεθορίῳ.

Καὶ Βοιωτίας om. I.

Εὐτρεπίζοντο Laur. Vulgo (Haack. Bekk.) ἠύτρεπ. Vid. I. 1. p. 227.

Χρόνον. Frustra τινά aut πολύν desiderat Steph. Vid. not.

3. Αἰτίαν τε. D. Laur. E. Ar. Chr. αἰτίαν δέ.

Καὶ ἐν. G. H. Vat. καὶ τὰ ἐν.

Ἐπειδή τε. Τε de. Dan.

Ἥ τε — αὐτόν. „Laudat Suid. in σχολαιότερον, et ἡ δέ, et γνομ. ἐπιμονή, et καὶ ἡ κατὰ τὴν legit, positura haud improbanda." WASS. Sed in talibus nulla grammaticis fides. Vid. de Art. crit. ap. Thuc. c. 8.

Digitized by Google

Ἰσθμῷ ἐπιμονὴ γενομένη καὶ κατὰ τὴν ἄλλην πορείαν ἦ σχολαιότης διέβαλεν αὐτὸν, μάλιστα δὲ ἡ ἐν τῇ Οἰνόῃ ἐπίσχεσις. 4. οἱ γὰρ Ἀθηναῖοι ἐςεκομίζοντο ἐν τῷ χρόνῳ τούτῳ, καὶ ἐδόκουν οἱ Πελοποννήσιοι, ἐπελθόντες ἂν διατάχους, πάντα ἔτι ἔξω καταλαβεῖν, εἰ μὴ διὰ τὴν ἐκείνου μέλλησιν. 5. ἐν τοιαύτῃ μὲν ὀργῇ ὁ στρατὸς τὸν Ἀρχίδαμον ἐν τῇ καθέδρᾳ εἶχεν. ὁ δὲ προςδεχόμενος, ὡς λέγεται, τοὺς Ἀθηναίους, τῆς γῆς ἔτι ἀκεραίου οὔσης, ἐνδώσειν τι, καὶ κατοκνήσειν περιϊδεῖν αὐτὴν τμηθεῖσαν, ἀνεῖχεν.

(Ἐςβαλόντες ἐς τὴν Ἀττικὴν μέχρι Ἀχαρνῶν προχωροῦσιν.)

ιθ'. Ἐπειδὴ μέντοι προςβαλόντες τῇ Οἰνόῃ, καὶ πᾶσαν ἰδέαν πειράσαντες, οὐκ ἐδύναντο ἑλεῖν, οἵ τε Ἀθηναῖοι οὐδὲν ἐπεκηρυκεύοντο, οὕτω δὴ ὁρμήσαντες ἀπ' αὐτῆς, μετὰ τὰ ἐν Πλαταίᾳ τῶν ἐςελθόντων Θηβαίων γενόμενα ἡμέρᾳ ὀγδοηκοστῇ μάλιστα, τοῦ θέρους καὶ τοῦ σίτου ἀκμάζοντος, ἐςέβαλον ἐς τὴν Ἀττικήν. ἡγεῖτο

Ὀλ. πζ'. ἔτ. β'. πρὸ Χρ. υλα'. μ. Ἰουλ. ς'.

1. Ἐπιμονή] ἀργία. (λ. Αὐγ.) — Ἐπιμονὴ γενομένη] ὅτε τὸν Μελήσιππον ἔπεμψε. — 2. Ἐπίσχεσις] ἀργία. (λ. Αὐγ.) — 3. Ἐν τῷ χρόνῳ τούτῳ] τῆς βραδύτητος δηλονότι. — 5. Διὰ τὴν ἐκείνου μέλλησιν] ἐβράδυναν δηλονότι. (λ. Αὐγ.) — 7. Ἐν τῇ καθέδρᾳ] τῇ ἀργίᾳ τῆς πολιορκίας δηλονότι. (λ. Αὐγ.) — 10. Ἀνεῖχεν] αὐτοὺς δηλονότι. (λ. Αὐγ.)

ιθ'. 11. Πᾶσαν ἰδέαν πειράσαντες] πάσης ἰδέας πολεμικῆς πεῖραν ἐπαγαγόντες. (λ. Αὐγ.)

Ἐπιμονή. E. ἐπι, om. μονή.

Καὶ κατά. Καί om. Laur. E., κατά Ar. Chr. Dan., in quo deinde pro κατά int. vers. scriptum εἰς.

Διέβαλεν. Gr. Mosqu. διέβαλλεν.

4. Ἔτι ἔξω. C. F. ἔξω ἔτι. Cl. Mosqu. τὰ ἔξω.

Καταλαβεῖν. Gr. λαβεῖν, sed emend. καταλαβ.

Μέλλησιν. C. μέλησιν.

5. Εἶχεν. Ar. Chr. εἶχον.

Ἀκεραίου. Gr. ἀκεραίας.

Καὶ κατοκν. — τμηθεῖσαν. „Thom. Mag. in βούλομαι [p. 165.], qui μὴ κατοκν. male." WASS. Thomae scripturam mirum est placere potuisse Levesquio.

Cap. XIX. Οἵ τε. E. οὔτε.

Ἐπεκηρυκεύοντο. Vat. It. Dan. ἀπεκηρ. G. ἐπεκη (ρυ s. v.) κώοντο.

Ἀπ' αὐτῆς. E. Vind. ἐπ' αὐτ.

Τοῦ θέρους. Τοῦ om. Laur. E.

Digitized by Google

δὲ Ἀρχίδαμος ὁ Ζευξιδάμου, Λακεδαιμονίων βασιλεύς. 111.
2. καὶ καθεζόμενοι ἔτεμνον πρῶτον μὲν Ἐλευσῖνα καὶ τὸ Θριάσιον πεδίον, καὶ τροπήν τινα τῶν Ἀθηναίων ἱππέων περὶ τοὺς Ῥείτους καλουμένους ἐποιήσαντο· ἔπειτα προυχώρουν, ἐν δεξιᾷ ἔχοντες τὸ Αἰγάλεων ὄρος, διὰ Κρωπειᾶς, ἕως ἀφίκοντο ἐς Ἀχαρνάς, χῶρον μέγιστον τῆς Ἀττικῆς τῶν δήμων καλουμένων. καὶ καθεζόμενοι ἐς αὐτὸν, στρατόπεδόν τε ἐποιήσαντο, χρόνον τε πολὺν † ἐμμείναντες † ἔτεμνον.

(*Αἰτίαι, δι' ἃς Ἀρχίδαμος οὐκ ἐπορεύθη ἐς τὸ προσωτέρω.*)

κ'. Γνώμῃ δὲ τοιᾷδε λέγεται τὸν Ἀρχίδαμον περί τε τὰς Ἀχαρνὰς ὡς ἐς μάχην ταξάμενον μεῖναι, καὶ ἐς τὸ πεδίον ἐκείνῃ τῇ ἐσβολῇ οὐ καταβῆναι. 2. τοὺς γὰρ

2. *Ἔτεμνον*] τὰ δένδρα δηλονότι. — 4. *Ῥείτους*] *Ὄρος Ῥειτός, Ἡρωδιανὸς Ῥίτος.* — 5. *Αἰγάλεων*] *ἀρσενικὸν ὁ Αἰγάλεως, ὡς Μενέλεως. ἄλλοι δὲ οὐδετέρως φασίν.*

κ'. 12. *Ἐκείνῃ τῇ ἐσβολῇ*] [*τῇ πρώτῃ ἐφόδῳ.* (*λ. Ἀγ.*)] *ἐποίησαν γὰρ καὶ ἄλλας ἐσβολὰς εἰς τὴν Ἀττικὴν οἱ Λακεδαιμόνιοι.*

Ἀρχίδαμος. Cass. Aug. Pal. It. ὁ Ἀρχίδ. male. Vid. II, 47. III, 1. Matth. §. 273. Non negligenda tamen quae Krueger. de Authent. Xenoph. Anab. p. 61. adnotavit. Cf. nos ad Anab. VI, 4. 13.

Ὁ Ζευξιδ. Ὁ om. C. cod. Bas. Gr. At vid. Il. Il.

2. Ἔτεμνον πρῶτον. Pal. ἔτεμνον ἔνεδρα (fort. ex τὰ δένδρα, vid. Schol.) πρῶτ.

Πεδίον om. Gr. Vind. Cf. I. 2. p. 256.

Ῥείτους. Pal. Ar. Ῥήτους. Vind. Ῥείκτους. Accentus nominis in dubium vocatur. Cf. I. 2. p. 255.

Προυχώρουν. F. ἐχώρουν.

Ἐν δεξιᾷ. Reg. (G.) ἐν τῇ δεξ., minus recte.

Αἰγάλεων. Gr. Αἰγαλέων. C. Αἰγέλεων, ᾱ s. γε al. man. F. Αἰγάλεον. Ar. Αἰγάλεω. Omnia male.

Κρωπειᾶς Cass. Aug. Cl. C. F. It. Vat. H. Reg. (in quo man. rec. emendav. Κεκροπ.) Haack. Bekk. In Pal. Κρωπίας, quod Steph. Byz. commendare videtur. Vulgo Κεκροπίας. Vind. Κεκρωπίας. Laur. Ar. Chr. Κεκρωπείας. Ita etiam m., in cuius marg. γρ. Κρωπείας. Cf. I. 2. p. 259.

Χῶρον Cass. (ex quo deinde χωρίον factum,) Aug. Cl. C. Reg. (G.) Vat. cod. Bas. Haack. Vulgo χωρίον, quod servavit Bekk. „Cap. 20. med. de iisdem Acharnis: ὁ χῶρος ἐπιτήδειος ἐφαίνετο ἐνστρατοπεδεύσαι.“ HAACK.

Δήμων. Ed. Bas. δὴ μέν.

Αὐτόν Cass. Aug. Cl. C. It. Reg. (G.) cod. Bas. Laur. E. m. Dan. Haack. Vulgo (et Bekk.) αὐτό. Chr. αὐτά. Ar. αὐτάς.

Ἐμμείναντες. m. Ar. Chr. ἐμμένοντες, quod si maiorem auctoritatem haberet, non spernendum esset.

Cap. XX. Οὐ καταβ. Pro οὐ Ar. μή.

Digitized by Google

Ἀθηναίους ἤλπιζον, ἀκμάζοντάς τε νεότητι πολλῇ, καὶ παρεσκευασμένους ἐς πόλεμον ὡς οὔπω πρότερον, ἴσως ἂν ἐπεξελθεῖν, καὶ τὴν γῆν οὐκ ἂν περιϊδεῖν τμηθῆναι. 3. ἐπειδὴ οὖν αὐτῷ ἐς Ἐλευσῖνα καὶ τὸ Θριάσιον πεδίον οὐκ ἀπήντησαν, πεῖραν ἐποιεῖτο, περὶ τὰς Ἀχαρνὰς καθήμενος, εἰ ἐπεξίασιν. 4. ἅμα μὲν γὰρ αὐτῷ ὁ χῶρος ἐπιτήδειος ἐφαίνετο ἱππικοπεδεῦσαι, ἅμα δὲ καὶ οἱ Ἀχαρνῆς, μέγα μέρος ὄντες τῆς πόλεως, (τριςχίλιοι γὰρ ὁπλῖται ἐγένοντο,) οὐ περιόψεσθαι ἐδόκουν τὰ σφέτερα διαφθαρέντα, ἀλλ' ὁρμήσειν καὶ τοὺς πάντας ἐς μάχην· εἴ τε καὶ μὴ ἐπεξέλθοιεν ἐκείνῃ τῇ ἐσβολῇ οἱ Ἀθηναῖοι, ἀδεέστερον ἤδη ἐς τὸ ὕστερον τὸ πεδίον τεμεῖν, καὶ πρὸς αὐτὴν τὴν πόλιν χωρήσεσθαι. τοὺς γὰρ Ἀχαρνέας, ἐστερημένους τῶν σφετέρων, οὐχ ὁμοίως προθύμους ἔσεσθαι ὑπὲρ τῆς τῶν ἄλλων κινδυνεύειν, στάσιν δὲ ἐνέσεσθαι τῇ γνώμῃ. 5. τοιαύτῃ μὲν διανοίᾳ ὁ Ἀρχίδαμος περὶ τὰς Ἀχαρνὰς ἦν.

3. Ἐπεξελθεῖν] ἐπὶ τιμωρίᾳ. (λ. Ἀὐγ.) — 6. Εἰ ἐπεξίασιν] εἰ ἐπεξελεύσονται οἱ Ἀθηναῖοι πρὸς πόλεμον. — Αὐτῷ] τῷ Ἀρχιδάμῳ. — 9. Ἐδόκουν] ἐνομίζοντο. — 11. Ἐκείνῃ] τῇ πρώτῃ. — 14. Τῶν σφετέρων] κτημάτων. — Προθύμους ἔσεσθαι] ἀπὸ κοινοῦ τὸ ἐδόκουν. — 15. Ὑπὲρ τῆς τῶν ἄλλων] γῆς δηλονότι. (λ. Ἀὐγ.).

2. *Καὶ παρεσκευασμ.* E. *καὶ* om. et cum H. et I. *παρασκευασμ.* scribit.

Ὡς οὔπω πρότερον om. Ar.

Τμηθῆναι. Cod. Bas. *γρ. τμηθεῖσαν.* Quo non opus. Vid. Matth. §. 550. not. 3.

3. *Καὶ τό.* Ar. Chr. *κατὰ τό.*

4. *Ἀχαρνῆς* Pal. Bekk. Vulgo *Ἀχαρνῆς.* Cass. Aug. F. Reg. (G.) cod. Bas. E. Mosqu. m. Ar. Chr. *Ἀχαρνεῖς*, quod in Pal. rec. man. superscr. Cf. I. 1. p. 221. sq.

Μέρος. Ald. Flor. Steph. 1. marg. Steph. 2. *μένος*, quod iure damnavit Steph.

Καὶ τούς. Mosqu. *ἂν τούς.* Ar. Chr. Dan. *αὐτούς.*

Πάντας. Gr. *ἅπαντας.*

Εἴτε καί. *Καί* in Gr. ex emend. Prius ei deerat.

Ἐπεξέλθοιεν. Pal. *ἐπεξέλθοι ἔν.*

Τὸ πεδίον Cass. Aug. Cl. C. F. It. Vat. H. Reg. (G.) Gr. D. I. m. Ar. Chr. Dan. Haack. Bekk. Vulgo *τό τε πεδ.*

Τεμεῖν. Gr. D. I. male *ταμεῖν.*

Πρός Cass. Aug. Cl. C. F. It. Vat. H. Reg. (G.) Cam. (sed de Bas. tacetur) Gr. I. Vind. m. Ar. Chr. Dan. Haack. Bekk. Male vulgo *ἐς.*

Τοὺς γάρ. Laur. om. *γάρ.*

Στάσιν. In Cass. *πᾶσιν* erat, sed emendatum.

Δέ. Gr. *τέ.*

Digitized by Google

(Ἀθηναῖοι τὴν γῆν δηουμένην ὁρῶντες ἀγανακτοῦσι καὶ ἐπεξιέναι ζητοῦσιν.)

κά. Ἀθηναῖοι δὲ, μέχρι μὲν οὗ περὶ Ἐλευσῖνα καὶ τὸ Θριάσιον πεδίον ὁ στρατὸς ἦν, καί τινα ἐλπίδα εἶχον ἐς τὸ ἐγγυτέρω αὐτοὺς μὴ προϊέναι, μεμνημένοι καὶ Πλειστοάνακτα τὸν Παυσανίου, Λακεδαιμονίων βασιλέα, ὅτε ἐσβαλὼν τῆς Ἀττικῆς ἐς Ἐλευσῖνα καὶ Θρίωζε στρατῷ Πελοποννησίων, πρὸ τοῦδε τοῦ πολέμου τέσσαρσι καὶ δέκα ἔτεσιν, ἀνεχώρησε πάλιν, ἐς τὸ πλέον οὐκέτι προελθών· (διὸ δὴ καὶ ἡ φυγὴ αὐτῷ ἐγένετο ἐκ Σπάρτης, δόξαντι χρήμασι πεισθῆναι τὴν ἀναχώρησιν·) 2. ἐπειδὴ δὲ περὶ Ἀχαρνὰς εἶδον τὸν στρατὸν ἐξήκοντα σταδίους τῆς πόλεως ἀπέχοντα, οὐκέτι ἀνασχετὸν ἐποιοῦντο· ἀλλ' 112. αὐτοῖς, ὡς εἰκὸς, γῆς τεμνομένης ἐν τῷ ἐμφανεῖ, (ὃ

Ἰδ. Βιβλ. α. κεφ. ριδ'.

Ὀλ. πγ'. ἔτ. γ'. πρὸ Χρ. υμέ'.

κά. 4. Παυσανίου] τοῦ προδόταν, τοῦ ἐν Πλαταιαῖς στρατηγοῦ. — 3. Μεμνημένοι καὶ Πλειστοάνακτα — ἀνεχώρησε] σημείωσαι τὴν σύνταξιν, ὅτι Θουκυδιδεία ἐστί. — 7. Ἐς τὸ πλεῖον] ἐς τὸ περαιτέρω. (λ. Ἀὐγ.) — 8. Αὐτῷ] τῷ Πλειστοάνακτι. — 9. Χρήμασι πεισθῆναι] μετὰ πειθοῦς χρημάτων ποιῆσαι τὴν ἀναχώρησιν. (λ. Ἀὐγ.) — 12. Ὡς εἰκός] ὡς ἐστιν εἰκάσαι. — Ἐν τῷ ἐμφανεῖ] φανερῶς.

Cap. XXI. Ἀθηναῖοι δέ. D. δέ om.

Μέχρι μὲν οὗ. D. μέχρι om. Pro οὗ Cass. Aug. Cl. F. Reg. (G.) Vat. D. Mosqu. οὖν, in Cass. tamen man. rec. correct.

Ἐς τό. Gr. ἐς τόν. F. om. τό, Mosqu. Ar. Chr. Dan. om. ἐς τό. Aut cum his aut cum F. facit etiam Laur.

Προϊέναι. Gr. προσιέναι.

Τῆς Ἀττικῆς etc. In cod. Bas. τῆς Ἀττικῆς Ἐλευσῖνα δὲ καὶ Θρίωζε δέ a corr. addit.

Θρίωζε. Cass. Ἐθρίωζε, male.

Πλεῖον Cass. Aug. C. Pal. It. Vat. Reg. (G.) Gr. Mosqu. Bekk. Vulgo (et Haack.) πλέον, per se non deterius. Cf. I. 1. p. 223.

Οὐκέτι Reg. (G.) οὐ.

Διὸ δή Cass. Aug. Cl. C. It. Vat. H. Reg. Gr. I. B. Haack. Bekk. Vulgo διὸ δέ. Δέ om. Laur. E. Ar. Chr. Dan., fortasse etiam m., in quo καί deesse traditur. Caeterum parenthesis signa verbis διὸ — ἀναχώρησιν recte addidit Bekk.

2. Γῆς. Vulgo (et Haack.) τῆς γῆς, sed τῆς om. Cass. Aug. Cl. C. Pal. It. Vat. H. Reg. Gr. I. Laur. B. Mosqu. m. Ar. Chr. Dan. Ald. Flor. Bas. Bekk., cui tanto consensui reniti noluimus, quanquam alibi saepissime τέμνειν (δηοῦν, λητεύειν) τὴν γῆν (ut modo 20, 2. cf. Ind.) legitur. Post praepositiones ubi γῆ generali sensu dicatur, articulum omitti vidimus I, 52. Sed etiam de Attica rursus cap. 54. γῆς δηουμένης. Cf. cap. 74. init.

Ἐμφανεῖ. Ἐμ. G. s. v.

Digitized by Google

οὔπω ἑωράκεσαν οἵ γε νεώτεροι, οὐδ' οἱ πρεσβύτεροι, πλὴν τὰ Μηδικά,) δεινὸν ἐφαίνετο· καὶ ἐδόκει τοῖς τε ἄλλοις, καὶ μάλιστα τῇ νεότητι, ἐπεξιέναι, καὶ μὴ περιορᾶν. κατὰ ξυστάσεις τε γιγνόμενοι, ἐν πολλῇ ἔριδι ἦσαν, οἱ μὲν, κελεύοντες ἐξιέναι, οἱ δέ τινες, οὐκ ἐῶντες. 3. χρησμολόγοι τε ἦδον χρησμοὺς παντοίους, ὧν ἀκροᾶσθαι ὡς ἕκαστος ὥργητό. οἵ τε Ἀχαρνῆς, ολόμενοι παρὰ σφίσιν αὐτοῖς οὐκ ἐλαχίστην μοῖραν εἶναι Ἀθηναίων, ὡς αὐτῶν ἡ γῆ ἐτέμνετο, ἐνῆγον τὴν ἔξοδον μάλιστα. παντί τε τρόπῳ ἀνηρέθιστο ἡ πόλις, καὶ τὸν Περικλέα ἐν ὀργῇ εἶχον, καὶ ὧν παρήνεσε πρότερον ἐμέμνητο οὐδέν, ἀλλ' ἐκάκιζον ὅτι στρατηγὸς ὢν οὐκ ἐπεξάγοι, αἴτιόν τε σφίσιν ἐνόμιζον πάντων ὧν ἔπασχον.

(*Περικλῆς τὴν ὁρμὴν αὐτῶν ἐπέχει, ἐκπέμπει γε μὴν ἱππέας, καὶ γίγνεται ἱππομαχία.*)

κβ'. Περικλῆς δὲ, ὁρῶν μὲν αὐτοὺς πρὸς τὸ παρὸν χαλεπαίνοντας, καὶ οὐ τὰ ἄριστα φρονοῦντας, πιστεύων

3. *Τῇ νεότητι*] τῷ πλήθει τῶν νέων. — *Ἐπεξιέναι*] κατὰ τῶν πολεμίων δηλονότι. (λ. *Αὐγ.*) — 4. *Κατὰ ξυστάσεις*] οἷον κατὰ συστήματα καὶ πλήθη [γινόμενοι οἱ Ἀθηναῖοι. (λ. *Αὐγ.*)] — 7. *Ὡς ἕκαστος*] τῶν Ἀθηναίων δηλονότι. (λ. *Αὐγ.*) — 9. *Ἐτέμνετο*] ἠφανίζετο. — *Ἐνῆγον*] παρεκίνουν. — 10. *Ἀνηρέθιστο*] διηγείρετο. — 12. *Οὐκ ἐπεξάγοι*] οὐκ ἐπιφέροι τὸ στράτευμα κατὰ τῶν πολεμίων.

Οἱ πρεσβύτεροι. *Οἱ* om. I.

Κελεύοντες. C. *κελεύοντος.*

Ἐξιέναι Cass. Aug. Cl. C. It. Vat. H. Reg. cod. Bas. Gr. I. Haack. Bekk. Vulgo *ἐπεξιέναι*, quod utique paullo ante de eadem re adfuit et cap. 22. rursus sequitur.

3. *Ἀκροᾶσθαι* pro olim vulg. *ἠκροᾶτο* Gottl. primus recepit e Cass. Aug. Cl. Reg. cod. Bas. Gr. marg. Steph., quibuscum Pal. plerique Parr. et Itt. consentire videntur. Sic etiam Tus. *Ἠκροᾶτο* servant Laur. E. B. m. in C. s. v. al. man. notatum.

Ὡς om. Aug. C. F. Pal. G. H. Vat. cod. Bas. I. Laur. marg. Ald. Vin. Tus., sed amat hanc formulam Thucyd. (vid. not. ad I, 3.), et *ὡς* si defuisset, *ἀκροᾶσθαι* quomodo in *ἠκροᾶτο* transire potuisset, non intelligeretur.

Ὥργητο Cass. (in quo rec. man. correxit *ὥρμητο*,) Aug. Cl. (ubi in marg. *ὥρμητο*,) It. Vat. H. (in quo s. v. γρ. *ὥρμητο*,) Reg. Mosqu. Haack. Bekk. Cf. not. Vulgo *ὥρμητο*. F. *ὥρμηντο*.

Ἀχαρνῆς. I subscr. rursus cum Bekk. omisimus. Cass. Aug. Cl. Reg. Gr. Mosqu. m. rursus *Ἀχαρνεῖς*. Vid. c. 20.

Αὐτῶν ἡ γῆ. Mosq. *ἡ γῆ αὐτῶν.*

Cap. XXII. *Δὲ ὁρῶν* s. v. ead. man. I.

Μὲν om. C.

Καὶ οὐ. Οὐ s. v. G.

Digitized by Google

δὲ ὀρθῶς γιγνώσκειν περὶ τοῦ μὴ ἐπεξιέναι, ἐκκλησίαν τε οὐκ ἐποίει αὐτῶν, οὐδὲ ξύλλογον οὐδένα, τοῦ μὴ ὀργῇ τι μᾶλλον ἢ γνώμῃ ξυνελθόντας ἐξαμαρτεῖν, τήν τε πόλιν ἐφύλασσε, καὶ δι' ἡσυχίας μάλιστα ὅσον ἐδύνατο εἶχεν. 2. Ἱππέας μέντοι ἐξέπεμπεν ἀεὶ, τοῦ μὴ προδρόμους ἀπὸ τῆς στρατιᾶς ἐσπίπτοντας ἐς τοὺς ἀγροὺς τοὺς ἐγγὺς τῆς πόλεως κακουργεῖν. καὶ ἱππομαχία τις ἐνεγένετο βραχεῖα ἐν Φρυγίοις τῶν τε Ἀθηναίων τέλει ἑνὶ τῶν ἱππέων καὶ Θεσσαλοῖς μετ' αὐτῶν πρὸς τοὺς Βοιωτῶν ἱππέας· ἐν ᾗ οὐκ ἔλασσον ἔσχον οἱ Ἀθηναῖοι καὶ Θεσσαλοὶ, μέχρι οὗ, προσβοηθησάντων τοῖς Βοιωτοῖς τῶν ὁπλιτῶν, τροπὴ ἐγένετο αὐτῶν, καὶ ἀπέθανον τῶν Θεσσαλῶν καὶ Ἀθηναίων οὐ πολλοί· ἀνείλοντο μέντοι αὐτοὺς αὐθημερὸν ἄσπόνδους. καὶ οἱ Πελοποννήσιοι τρο- 113

κβ'. 1. *Γιγνώσκειν*] κρίνειν. — 3. *Ξυνελθόντας*] συστάντας. — 4. *Δι' ἡσυχίας εἶχεν*] ἡσύχαζε. (λ. Αὐγ.) — 5. *προδρόμους*] τῶν Λακεδαιμονίων. — 7. *Κακουργεῖν*] ληστεύειν. (λ. Αὐγ.) — 8. *Ἐν Φρυγίοις*] τόπος τῆς Ἀττικῆς. — *Τέλει ἑνί*] τάγματι ἑνί. — 9. *Θεσσαλοῖς*] οἱ γὰρ Θεσσαλοὶ σύμμαχοι πάλιν ἐγένοντο τοῖς Ἀθηναίοις. — *Μετ' αὐτῶν*] τῶν Ἀθηναίων. (λ. Αὐγ.) — *Πρὸς τοὺς Βοιωτῶν ἱππέας*] κατὰ τῶν Βοιωτῶν. — 12. *Τροπὴ ἐγένετο αὐτῶν*] τῶν Ἀθηναίων δηλονότι. (λ. Αὐγ.) — 14. *Ἀσπόνδους*] ὅ ἐστι, μὴ δεηθέντες

Ἐδύνατο Cass. Aug. Pal. It. Vat. Reg. cod. Bas. Gr. Dionys. p. 850. Haack. Bekk. Vulgo *ἠδύνατο*. Cf. I. 1. p. 226.

2. *Ἱππέας — ἔστησαν*. „Dion. Hal. p. 114. [850. R.]" WASS.

Μέντοι. Dion. *μέντοι τινάς*.

Ἐσπίπτοντας. E. Vind. Ar. Chr. Dan. *ἐμπίπτ*. Mosqu. Dion. *ἐπιπίπτ*.

Ἐγγὺς τῆς πόλεως. F. *τῆς πόλ. ἐγγύς*. Ar. Chr. artic. om.

Ἐνεγένετο Cass. Aug. It. Vat. Bekk. Vulgo (et Haack.) *ἐγένετο*. H. *ἐγεγένετο*. Sed nostrum, quo proelium non *apud* Phrygia, sed *in* ipso vico commissum esse significatur, nemo temere excogitasset.

Ἐν om. Dan.

Φρυγίοις. Reg. (G.) *Φρυγίᾳ*. At Steph. Byz. *Ἔστι*, inquit, *καὶ τὰ Φρύγια οὐδετέρως* etc.

Μέχρι οὗ Cass. C. H. Gr. I. Haack. Bekk. Vulgo *μέχρις οὗ*. At vid. I. 1. p. 225.

Προσβοηθησάντων. Gr. *προβοηθ*.

Οὐ πολλοί. E. Vind. Ar. Chr. Dan. Ald. Flor. ed. Bas. Steph. 1. *οἱ πολλοί*. „*Οἱ πολλοί* praeferendum videbatur Kistemakero propter sequens *μέντοι*. Sed hoc referri potest ad (*τροπὴ ἐγένετο αὐτῶν καὶ*) *ἀπέθανον*; tum res ipsa docet, non plerosque Atheniensium occisos esse, quod *ἀσπόνδους* eos sustulerunt." HAACK.

Τροπαῖον. Pal. Gr. Dion. rursus *τρόπαιον*. Cf. I. 1. p. 214.

Digitized by Google

παῖον τῇ ὑστεραίᾳ ἔστησαν. 3. ἡ δὲ βοήθεια αὕτη τῶν Θεσσαλῶν κατὰ τὸ παλαιὸν ξυμμαχικὸν ἐγένετο τοῖς Ἀθηναίοις· καὶ ἀφίκοντο παρ' αὐτοὺς Λαρισαῖοι, Φαρσάλιοι, [Παράσιοι,] Κρανάνιοι, Πυράσιοι, Γυρτώνιοι, Φεραῖοι. ἡγοῦντο δὲ αὐτῶν, ἐκ μὲν Λαρίσης, Πολυμήδης καὶ Ἀριστόνους, ἀπὸ τῆς † στάσεως ἑκάτερος †, ἐκ δὲ Φαρσάλου, Μένων· ἦσαν δὲ καὶ τῶν ἄλλων κατὰ πόλεις ἄρχοντες. Ιδ. Βιβλ. α. κεφ. ϙ'.

(δ'. Ἀθηναίων ναυτικὸν ἐς Πελοπόννησον ἀποστειλάντων οἱ Πελοποννήσιοι ἀναχωροῦσιν.)

κγ'. Οἱ δὲ Πελοποννήσιοι, ἐπειδὴ οὐκ ἐπεξήεσαν αὐτοῖς οἱ Ἀθηναῖοι ἐς μάχην, ἅραντες ἐκ τῶν Ἀχαρνῶν,

σπονδῶν αἰτησιν παρὰ Πελοποννησίων. οὐδὲ γὰρ ἦσαν πάνυ ἡττηθέντες, ὥςτε καὶ δεηθῆναι σπονδῶν, ἵνα θάψωσιν αὐτούς. — 3. Παρ' αὐτούς] τοὺς Ἀθηναίους δηλονότι. (λ. Ἀνγ.) — 4. Παράσιοι] Παῤῥάσιοι, Ἀρκάδες, Παράσιοι, Θεσσαλοί. — 5. Ἐκ μὲν Λαρίσης — —] ἡ Λάρισσα ἐστασίασε πρὸς ἑαυτήν· διὸ ἑκατέρα μερὶς ἄρχοντα εἶχε. λέγει δὲ ὅτι ἑκατέρα στάσις δύναμιν Ἀθηναίοις ἀπέστειλεν. οἱ μὲν γὰρ δημοκρατίαν ἦγαγον, οἱ δὲ ὀλιγαρχίαν.

3. *Αὕτη τῶν Θεσσαλῶν.* E. *τῶν Θεσσ. αὖτη.*

Λαρισαῖοι Cass. Gr. etiam Pal., nisi quod *Λαρίσιοι* exhibet, et mox *Λαρίσης* Cass. Mosqu. Vulgo (Haack. Bekk.) *Λαρισσαῖοι, Λαρίσσης.* At vid. I. 1. p. 210.

Φαρσάλιοι — Παράσιοι om. Vind. *Φαρσσάλιοι* exarat B.

Παράσιοι. Thessaliae Parasios Scholiastes sibi ipse excogitavit. Nomen corruptum delendum videri docuimus I. 2. p. 310. Invitis libris omnibus *Παράλιοι* scripserat Gottl., quod licet hic Meliensium populus huc non pertineat, retinuit Haack., cum *Παράσιοι* rursus commutavit Bekk. In Reg. (G.) *Παῤῥάσιοι.* Vat. *Περάσιοι.* Mosq. quidem *Παράσιοι*, sed ante *Κρανώνιοι.*

Πυράσιοι. Veram scripturam soli Cass. debemus. Vulgo (Haack. Bekk.) *Πειράσιοι.* Vid. I. 2. p. 311. Nominat quidem, Stephanus Byz. *Πειρασίαν* urbem, sed eam Magnesiae eiusque cives *Πειρασιεῖς* ὡς *Τδριεῖς* et *Πειρέσιοι* (cf. Holsten.) scribit.

Ἀριστόνους. Gr. *Ἀριστέους.*

Ἀπὸ τῆς στάσεως ἑκάτερος. Verba dubitationibus obnoxia. Pro *ἑκάτερος* Reg. ex emend. man. rec. et marg. Steph. *ἑκατέρας*, quod etiam Scholiastam habuisse suspiceris, et nobis arrisit in Obss. critt. Valla ita vertit, quasi legeretur *ἀπὸ τῆς ἑαυτοῦ στάσεως ἑκάτερος* vel *ἀπὸ τῆς ἰδίας στάσεως.* Add. not.

Ἦσαν δέ. F. om. *δέ.*

Καὶ τῶν. Ar. *καὶ ἐκ τῶν.*

Cap. XXIII. *Ἐπεξήεσαν.* Cass. Aug. *ἐπεξίασιν.* F. *ἐπεξίεσαν.* D. *ἐξῆσαν.*

Οἱ Ἀθην. Οἱ om. Dan.

Ἐς. Mosqu. *πρός.* At alterum

Digitized by Google

ἐδήουν τῶν δήμων τινὰς ἄλλους τῶν μεταξὺ Πάρνηθος καὶ Βριλησσοῦ ὄρους. 2. ὄντων δὲ αὐτῶν ἐν τῇ γῇ, οἱ Ἀθηναῖοι ἀπέστειλαν τὰς ἑκατὸν ναῦς περὶ Πελοπόννησον, ἅσπερ παρεσκευάζοντο, καὶ χιλίους ὁπλίτας ἐπ' αὐτῶν καὶ τοξότας τετρακοσίους. ἐστρατήγει δὲ Καρκῖνός τε ὁ Ξενοτίμου, καὶ Πρωτέας ὁ Ἐπικλέους, καὶ Σωκράτης ὁ Ἀντιγένους. καὶ οἱ μὲν ἄραντες, τῇ παρασκευῇ ταύτῃ περιέπλεον. 3. οἱ δὲ Πελοποννήσιοι χρόνον ἐμμείναντες ἐν τῇ Ἀττικῇ ὅσου εἶχον τὰ ἐπιτήδεια, ἀνεχώρησαν διὰ Βοιωτῶν, οὐχ ἥπερ ἐξέβαλον. παριόντες δὲ Ὠρωπὸν, τὴν γῆν τὴν * Γραϊκὴν * καλουμένην, ἣν νέμονται Ὠρώπιοι Ἀθηναίων ὑπήκοοι, ἐδήωσαν. ἀφικόμενοι δὲ ἐς Πελοπόννησον, διελύθησαν κατὰ πόλεις ἕκαστοι.

(ἑ. Διατάγματα Ἀθηναίων περὶ τοῦ λοιποῦ πολέμου.)

κδ'. Ἀναχωρησάντων δὲ αὐτῶν, οἱ Ἀθηναῖοι φυλακὰς κατεστήσαντο κατὰ γῆν καὶ κατὰ θάλασσαν, ὥσπερ

κγ'. 1. Πάρνηθος] ὁ Πάρνης ὄνομα ὄρους. (λ. Αὐγ.) — 2. Αὐτῶν] τῶν Ἀθηναίων δηλονότι. — 6. Καὶ Σωκράτης] ἄλλος Σωκράτης ὁ Σωφρονίσκου. — 7. Καὶ οἱ μέν] οἱ στρατηγοὶ τῶν Ἀθηναίων. — Ἄραντες] τὰς ναῦς δηλονότι. — Τῇ παρασκευῇ ταύτῃ] τῇ τῶν ἑκατὸν νεῶν δηλονότι. — 10. Οὐχ ἥπερ ἐξέβαλον] οὐ τῇ ὁδῷ ᾗ ἐξέβαλον, εἰς τὴν Ἀττικὴν δηλονότι. — Οὐχ ἥπερ ἐξέβαλον] ὅπως καὶ τἆλλα δηώσαντες μᾶλλον λυπήσωσιν. (λ. Αὐγ.)

habes I, 68. II, 13. et saepissime.

Πάρνηθος. Reg. *Πάρνιτος*, vel potius *Πάρνιθος*, quod ex G. H. D. I. protulit Gail. Mosqu. *Πάρνιτος*. At vid. IV, 96. Paus. Steph. all.

Βριλησσοῦ Cl. cod. Bas. Gr. Vulgo (Haack. Bekk.) *Βριλήσσου* (paroxyt.) At vid. I. 2. p. 261. Optimum fortassis esset *Βριλησσοῦ*. Cf. ib. et I. 1. p. 210.

2. *Περί*. Ar. Chr. *εἰς τὰ περί*. *Ἅσπερ*. Gr. *ὥσπερ*, ut in simili loco IV, 2.

Τετρακοσίους. Dan. *τετριακοσ.* *Ἐστρατ. δέ*. Marg. Steph. post *δέ* addit *αὐτῶν*.

Ξενοτίμου. Mosqu. *Ξενατόκευ.* *Πρωτέας*. E. subiungit *τε*.

3. *Ὅσου* Cass. Aug. It. Vat. H. Reg. (cum schol. supra scr. *χρόνου*) Gr. I. (hic cum *ου* s. *ον* ead. man.) Bekk., qui bene comparat III, 1. Vulgo (Haack.) *ὅσον*.

Εἶχον. H. I. *ἂν εἶχον*.

Γραϊκὴν Steph. Byz. in *Ὠρωπός*, nisi quod *Γραικὴν* exaratur. Omnes codd. et edd. corrupte *Πειραϊκὴν*. Notissima vetus urbs Graea inter Tanagram et Oropum. Cf. I. 2. p. 263. et Müll. Orchom. p. 492. Caeterum Steph. male *παριόντι Ὠρ. τὴν Γρ. καλ.*; in ceteris ad *ἐδήωσαν* usque consentit.

Cap. XXIV. *Φυλακάς*, quod

Digitized by Google

δὴ ἔμελλον διὰ παντὸς τοῦ πολέμου φυλάξειν· καὶ χίλια τάλαντα ἀπὸ τῶν ἐν τῇ ἀκροπόλει χρημάτων ἔδοξεν αὐτοῖς, ἐξαίρετα ποιησαμένοις, χωρὶς θέσθαι, καὶ μὴ ἀναλοῦν, ἀλλ' ἀπὸ τῶν ἄλλων πολεμεῖν· ἢν δέ τις εἴπῃ ἢ ἐπιψηφίσῃ κινεῖν τὰ χρήματα ταῦτα ἐς ἄλλο τι, ἢν μὴ οἱ πολέμιοι νηΐτῃ στρατῷ ἐπιπλέωσι τῇ πόλει, καὶ δέῃ ἀμύνασθαι, θάνατον ζημίαν ἐπέθεντο. 2. τριήρεις τε μετ' αὐτῶν ἑκατὸν ἐξαιρέτους ἐποιήσαντο κατὰ τὸν ἐνιαυτὸν ἕκαστον τὰς βελτίστας καὶ τριηράρχους αὐταῖς· ὧν

κδ'. 3. *Ἐξαίρετα*] *ἀποκεκριμένα.* — 4. *Τῶν ἄλλων*] *ταλάντων δηλονότι.* — 5. *Ἐς ἄλλο τι*] *ἐς ἄλλην χρείαν πραγμάτων.* — 6. *Νηΐτῃ στρατῷ*] *δηλονότι ὡς μεγάλου κινδύνου* [*ἐπι*] *πρεμαμένου. οὐ γὰρ ἂν ναυτικῷ στρατῷ οἱ Λακεδαιμόνιοι ἐξέβαλον εἰς τὴν Ἀττικὴν διὰ τὸν Πειραιᾶ, εἰ μὴ κατὰ κράτος ἤδη ἐνίκων τῷ πεζῷ τοὺς Ἀθηναίους. οὗτοι γὰρ κατὰ θάλασσαν πολὺ προεῖχον τῶν Λακώνων.* — 7. *Τριήρεις τε μετ' αὐτῶν*] *τῶν ταλάντων.* (*λ. Αὐγ.*)

ὃ ὥςπερ ἔμελλον φυλάξειν, iam Stephano magis placebat quam vulg. *φύλακας*, ex Cass. Cl. Reg. Gr. Ar. Chr. marg. Steph. primus recepit Gottl. Assentiuntur etiam It. Vat. Laur. De inconstantia librorum in hac formula vid. Schneid. ad Xen. Cyr. V, 1, 30.

Ἔμελλον. Hinc usque ad *καὶ χίλ.* lacuna in D.

Φυλάξειν. C. F. *διαφυλάξειν* per se non male, sed iidem I, 110. *διεφθάρη* pro *ἐφθάρη* exhibebant.

Ποιησαμένοις. Dan. *ποιησομένοις.*

Εἴπῃ. D. *εἴποι.*

Ἐπιψηφίσῃ. Aug. *ψηφ.*, *ἐπι* man. rec. supersc. F. *ἐπιψηφίσοι.*

Ἢν μή. Gr. *ἤ μή.* E. *εἰ μή.* „Lexicon ms. in Bibl. Coisl. [p. 233.] *ἤ ἐὰν — ἐπιπλέουσιν. ἤ ἐὰν βιασθῇ ὑπάρχει τοῖς ἀπιστήσασι πολεμίοις*, corrupte." WASS.

Οἱ πολέμιοι. Οἱ om. Gr.

Θάνατον ζημίαν ex Cass. Aug. Cl. Reg. Gr. Ar. Chr. Dan. Ald. Flor. Bas. Steph. 1. primus recepit Gottl., cui favent etiam Pal. It. Vat. Laur. et Parr. ut videtur omnes. Prius *θάν. τὴν ζημίαν.* Nostrum habes rursus III, 44.

Ἐπέθεντο. E. *ἀπέθεντο.*

2. *Ἑκατὸν ἐξαιρέτους* C. F. Pal. It. Vat. H. Reg. (G.) cod. Bas. Gr. D. I. Bekk. Vulgo (et Haack.) inverso ordine *ἐξαιρ. ἑκατόν.* Cass. *ἑκατόν* hic de., contra mox pro *ἕκαστον* legitur. Etiam in Aug. *ἑκατόν* erasum et *ἕκαστον* mutatum in *ἑκατόν.* Quod ne forte probes, cogita sic articulum ante *ἐνιαυτόν* abesse debere, quem tamen optimi libri tuentur, quique in *κατὰ τὸν ἐνιαυτὸν ἕκαστον* recte se habet. Vid. not. *Κατ' ἐνιαυτόν* Mosqu. Tam *τόν* quam *ἕκαστον* om. Ar. Chr. Dan. *Μετὰ τῶν ναυτῶν* pro *κατὰ τὸν ἐνιαυτ. ἕκ.* praebet Vind.

Βελτίστας, Mosqu. *βελτίστους.*

Τριηράρχους. C. *τριηράρχους.* Ar. Chr. Dan. *τριηράρχας.* At vid. I. 1. p. 220.

Digitized by Google

μὴ χρῆσθαι μηδεμιᾷ ἐς ἄλλο τι ἢ μετὰ τῶν χρημάτων περὶ τοῦ αὐτοῦ κινδύνου, ἣν δέῃ.

(6. Μικρά τινα. — Κεφ. λβ'. ά) Οἱ Ἀθηναῖοι μεγάλῳ στόλῳ τὴν Πελοπόννησον περιπλέοντες ἐς Μεθώνην καὶ Φειὰν ἀποβαίνουσιν.)

ἰθ. Κεφ. κέ. Οἱ δ' ἐν ταῖς ἑκατὸν ναυσὶ περὶ Πελοπόννησον 11
ιζ'. Ἀθηναῖοι, καὶ Κερκυραῖοι μετ' αὐτῶν, πεντήκοντα νανσὶ προσβεβοηθηκότες, καὶ ἄλλοι τινὲς τῶν ἐκεῖ ξυμμάχων, 5
ἄλλα τε ἐκάκουν περιπλέοντες, καὶ ἐς Μεθώνην τῆς Λακωνικῆς ἀποβάντες, τῷ τείχει προσέβαλον ὄντι ἀσθενεῖ, καὶ ἀνθρώπων οὐκ ἐνόντων. 2. ἔτυχε δὲ περὶ τοὺς χώρους τούτους Βρασίδας ὁ Τέλλιδος, ἀνὴρ Σπαρτιάτης, φρουρὰν ἔχων· καὶ αἰσθόμενος, ἐβοήθει τοῖς ἐν τῷ χω- 10
ρίῳ μετὰ ὁπλιτῶν ἑκατόν. διαδραμὼν δὲ τὸ τῶν Ἀθηναίων στρατόπεδον, ἐσκεδασμένον κατὰ τὴν χώραν, καὶ πρὸς τὸ τεῖχος τετραμμένον, ἐσπίπτει ἐς τὴν Μεθώνην, καὶ ὀλίγους τινὰς ἐν τῇ ἐσδρομῇ ἀπολέσας τῶν μεθ' ἑαυτοῦ, τήν τε πόλιν περιεποίησε, καὶ ἀπὸ τούτου τοῦ τολ- 15
μήματος πρῶτος τῶν κατὰ τὸν πόλεμον ἐπηνέθη ἐν Σπάρτῃ. 3. οἱ δὲ Ἀθηναῖοι ἄραντες παρέπλευσαν, καὶ

κέ. 8. Ἀνθρώπων] λείπει πολλῶν. — Περὶ τοὺς χώρους τούτους] τῆς Μεθώνης. (λ. Ἀὐγ.) — 11. Διαδραμών] ἀντὶ τοῦ διὰ μέσου αὐτῶν δραμών. — 15. Περιεποίησεν] ἐφύλαξε. (λ. Ἀὐγ.) — Ἀπὸ τούτου] ἀπὸ ταύτης τῆς ὁρμῆς. (λ. Ἀὐγ.) — 17. Ἄραντες] τὸ ἄραντες πυρίως ἐπὶ θαλάσσης εἴρηται, ἔστι δὲ ὅτε καὶ ἐπὶ γῆς.

Ἐς. Vind. Ar. Chr. Dan. ἐπ'. Ita etiam m., ubi supra script. γρ. et ductus quidam obscurus. Τῶν χρημ. Τῶν om. Chr.

Cap. XXV. Περί om. Mosqu.

Πελοπόννησον. Gr. pessime τὸν Πελοπ.

Περιπλέοντες. F. post hoc verbum addit τὴν Πελοπόννησον.

Τῆς Λακωνικῆς. Ar. Chr. Dan. τὴν Λακωνικήν. Sic etiam m., ubi supra scr. τῆς — ῆς.

Προσέβαλον. Gr. προσέβαλλον.

2. Τέλλιδος. Chr. Τελήεδος.

Ὁπλιτῶν. Ar. τῶν ὁπλ.

Ἐσδρομῇ. Cod. Bas. ἐπιδρομῇ.

Ἀπολέσας. Gr. ἀπολύσας, et ex emend. ἀποκλείσας.

Τῶν μεθ' ἑαυτοῦ. Pal. τῶν μεθ' αὐτοῦ. Gr. μετ' αὐτοῦ, om. τῶν. Αὐτοῦ dat etiam Laur.

Ἐπηνέθη. C. ἐπαινέθη.

Ἐν Σπάρτῃ. Reg. H. ἐν τῇ Σπ.

3. Παρέπλευσαν. Cod. Bas. a pr. man. περιέπλευσαν, corr. παρέπλευσαν.

Digitized by Google

σχόντες τῆς Ἠλείας ἐς Φειάν, ἐδήουν τὴν γῆν ἐπὶ δύο ἡμέρας· καὶ προσβοηθήσαντας τῶν ἐκ τῆς κοίλης Ἤλιδος τριακοσίους λογάδας καὶ τῶν αὐτόθεν ἐκ τῆς περιοικίδος Ἠλείων μάχῃ ἐκράτησαν. 4. ἀνέμου δὲ κατιόντος μεγάλου, χειμαζόμενοι ἐν ἀλιμένῳ χωρίῳ, οἱ μὲν πολλοὶ ἐπέβησαν ἐπὶ τὰς ναῦς, καὶ περιέπλεον τὸν Ἰχθῦν καλούμενον τὴν ἄκραν ἐς τὸν ἐν τῇ Φειᾷ λιμένα· οἱ δὲ Μεσσήνιοι ἐν τούτῳ καὶ ἄλλοι τινὲς οἱ οὐ δυνάμενοι ἐπιβῆναι, κατὰ γῆν χωρήσαντες, τὴν Φειὰν αἱροῦσι. 5. καὶ ὕστερον αἵ τε νῆες περιπλεύσασαι ἀναλαμβάνουσιν αὐτούς, καὶ ἐξανάγονται ἐκλιπόντες Φειάν· καὶ τῶν Ἠλείων ἡ πολλὴ ἤδη στρατιὰ προσεβεβοηθήκει. παραπλεύσαντες δὲ οἱ Ἀθηναῖοι ἐπὶ ἄλλα χωρία, ἐδήουν.

(β'. Στρατεία Ἀθηναίων ἐς Λοκρίδα.)

κϛ'. Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον τοῦτον οἱ Ἀθηναῖοι τριάκοντα ναῦς ἐξέπεμψαν περὶ τὴν Λοκρίδα, καὶ Εὐ-

1. Σχόντες] ἀντὶ τοῦ προσχόντες. (Αὐγ.) — 2. Ἐκ τῆς κοίλης Ἤλιδος] εἰς δύο διήρητο ἡ Ἦλις, εἰς ὀρεινὴν καὶ κοίλην. — 3. Τῆς περιοικίδος] τῆς περιχώρου. (λ. Αὐγ.) — 7. Οἱ δὲ Μεσσήνιοι] οἱ ἐν Ναυπάκτῳ δηλονότι. — 8. Ἐν τούτῳ] τῷ καιρῷ. (λ. Αὐγ.) — 9. Ἐπιβῆναι] ἐπὶ τὰς ναῦς. (λ. Αὐγ.) — Τὴν Φειὰν αἱροῦσι] τὴν πόλιν αὐτὴν πορθοῦσι.

Φειάν. Mosqu. Φειάς.
Τῆς κοίλης. Τῆς om. C.
4. Κατιόντος. Vind. καταπιόντος.
Χειμαζόμενοι. E. χειμαζομένων.
Ἀλιμένῳ. C. ἀλιμένι.
Ἐπί. D. ἐς.
Τὸν Ἰχθῦν. D. ἐπὶ τ. I. Caeterum edd. ante Gottl. Ἴχθυν (parox.) scribunt. Cass. Gottl. Haack. Ἰχθῦν, quod nos quoque servavimus. Cf. I. 2. p. 177. Pal. Bekk. Ἰχθύν.
Μεσσήνιοι. Reg. (in quo rec. man. emend.) Mosqu. Ar. Chr. m. (qui in hac scriptura sibi constat) Μεσήνιοι. At vid. I. 2. p. 531.
Τὴν Φειάν. Τήν de. Laur. E. m. Ar. Chr. Dan. Deinde Bekk. in minn. exempll. cum Cass. αἱροῦσιν.
5. Ἐξανάγονται. Reg. ἐξάγονται, et a correct. ἐξανάγ. D. ἐξανάγοντες, αι s. ες al. man.
Ἐκλιπόντες. D. Laur. E. Vind. m. Ar. Dan. ἐκλείποντες.
Προσεβεβοηθήκει. D. προβεβοηθήκει.
Παραπλεύσαντες. H. περιπλεύσ.
Ἐπὶ ἄλλα — τοῦτον οἱ Ἀθηναῖοι. ob repetitum Atheniensium nomen om. Mosqu.
Cap. XXVI. Τὸν αὐτὸν χρόνον τοῦτον. Ar. Chr. Dan. τὸν αὐτ. τοῦτ. χρόν. At vid. VIII, 13. al.
Οἱ Ἀθην. Artic. om. Laur. E. m.

Digitized by Google

βοίας ἅμα φυλακήν. 2. ἐστρατήγει δὲ αὐτῶν Κλεόπομπος ὁ Κλεινίου· καὶ ἀποβάσεις ποιησάμενος, τῆς τε παραθαλασσίου ἔστιν ἃ ἐδήωσε, καὶ Θρόνιον εἷλεν· ὁμήρους τε ἔλαβεν αὐτῶν, καὶ ἐν Ἀλόπῃ τοὺς βοηθήσαντας Λοκρῶν μάχῃ ἐκράτησεν. 5

(γ'. Αἰγινῆται ὑπ' Ἀθηναίων ἐκ τῆς νήσου ἐκπίπτουσιν, οἷς Λακεδαιμόνιοι Θυρέαν διδόασιν οἰκεῖν.)

κζ'. Ἀνέστησαν δὲ καὶ Αἰγινήτας τῷ αὐτῷ θέρει τούτῳ ἐξ Αἰγίνης Ἀθηναῖοι, αὐτούς τε καὶ παῖδας καὶ γυναῖκας, ἐπικαλέσαντες οὐχ ἥκιστα τοῦ πολέμου σφίσιν αἰτίους εἶναι· καὶ τὴν Αἴγιναν ἀσφαλέστερον ἐφαίνετο, τῇ Πελοποννήσῳ ἐπικειμένην, αὐτῶν πέμψαντας ἐποίκους ἔχειν, καὶ ἐξέπεμψαν ὕστερον οὐ πολλῷ ἐς αὐτὴν 115. 10

ἰδ. Βιβλ. α'. κεφ. ξ'.

κζ'. 6. Ἀνέστησαν] μετῴκισαν, διὰ τὸ εὔνους εἶναι τοῖς Λακεδαιμονίοις. — 8. Ἐπικαλέσαντες —] ἐγκαλέσαντες αὐτοῖς τοῦ πολέμου μάλιστα αἰτίους εἶναι. — 10. Ἐποίκους] ἄποικοι μὲν οἱ ἐν ἐρήμῳ τόπῳ πεμπόμενοι οἰκῆσαι, ἔποικοι δὲ οἱ ἐν πόλει, ὥςπερ νῦν.

2. Κλεόπομπος. D. Θεόπομπος.
Ἀποβάσεις. D. ὑποβάσ.
Παραθαλασσίου. C. θαλασσίου, παρα s. v. al. man.
Θρόνιον. Ar. Chr. Dan. Θράνιον. Sic etiam m., ubi supra scr. γρ. ὁ. Cf. I. 2. p. 305.
Ἀλόπῃ Cass. Pal. It. Vat. Vind. m. Ar. Chr. Haack. Bekk. Male vulgo Ἀλόπῃ. Cf. I. 2. p. 305. Dan. Ἀκόπῃ.
Cap. XXVII. Ἀνέστησαν — ἔχειν Dion. p. 846., uhi καί de., pro θέρει leg. χρόνῳ, et καὶ γυναῖκας καὶ παῖδας inverso ordine, deinde ἀσφαλέστερον ἄν, et τῇ Πελοποννησίων.
Αἰγινήτας. E. Αἰγινίτας, ut solet.
Ἀθηναῖοι. E. οἱ Ἀθην.
Ἐπικαλέσαντες. F. ἐπικαλέσαντας.
Αὐτῶν. Edd. ante Gottl. Pal. m. (de Parr. et Itt. tacetur) αὑτῶν, quod fortasse restituendum. Vid. Farr. discrep. script.
Πέμψαντας ex Cass. Reg. cod. Bas. Gr. Steph. 2. primus recepit Gottl., cui favent It. Vat. et Parr., si quid ex Gailii silentio colligere licet, praeter B. omnes. Quae scriptura nisi tantam auctoritatem haberet, quod prius legebatur et a Dionys. quoque suppeditatur πέμψαντες, excusari saltem posset. Cf. I. 1. p. 110.
Ἐποίκους. „Agnoscit Suid. in ἀποίκησις et Ἔποικος, qui ex Schol. emend. et suppl. [cf. Zon. et Phav.] vid. Aristot. Polit. et alibi passim. Philostrat. Ep. 47. Thom. Mag. citat ἐποίκους ἔπεμψαν Ἀθηναῖοι. Aristoph. Ὄρν. 1307. Ὥρτε πτερῶν σοι τοῖς ἐποίκοις δεῖ ποθεν. Pind. Ol. IX, 104. Τία δ' Ἄπτορος ἐξάγως τίμασεν ἐποίκων." WASS. Cf. I. 1. p. 235.
Ὕστερον — αὐτήν. Mosqu. αὐτὴν οὐ πολλῷ ὕστ.

Digitized by Google

τοὺς οἰκήτορας. 2. ἐκπεσοῦσι δὲ τοῖς Αἰγινήταις οἱ Λακεδαιμόνιοι ἔδοσαν Θυρέαν οἰκεῖν, καὶ τὴν γῆν νέμεσθαι, κατά τε τὸ Ἀθηναίων διάφορον καὶ ὅτι σφῶν εὐεργέται ἦσαν ὑπὸ τὸν σεισμὸν καὶ τῶν Εἱλώτων τὴν ἐπανάστασιν. ἡ δὲ Θυρεᾶτις γῆ μεθορία τῆς Ἀργείας καὶ Λακωνικῆς ἐστιν, ἐπὶ θάλασσαν καθήκουσα. καὶ οἱ μὲν αὐτῶν ἐνταῦθα ᾤκησαν, οἱ δ' ἐσπάρησαν κατὰ τὴν ἄλλην Ἑλλάδα.

(δ'. Ἔκλειψις ἡλίου.)

κη'. Τοῦ δ' αὐτοῦ θέρους νουμηνίᾳ κατὰ σελήνην, τῇ τρίτῃ τοῦ Δώρ. μηνὸς (ὥςπερ καὶ μόνον δοκεῖ εἶναι γίγνεσθαι δυνατὸν,) ὁ ἥλιος ἐξέλιπε μετὰ μεσημβρίαν, καὶ πάλιν ἀνεπληρώθη, γενόμενος μηνοειδής, καὶ ἀστέρων τινῶν ἐκφανέντων.

(ε'. Οἱ Ἀθηναῖοι διὰ Νυμφοδώρου Σιτάλκῃ Ὀδρυσῶν βασιλεῖ ξυμμαχίαν ποιοῦνται, καὶ πρὸς Περδίκκαν διαλύονται. Ἅμα ἔτει περὶ Τήρεω τοῦ Σιτάλκου πατρός.)

κθ'. Καὶ ἐν τῷ αὐτῷ θέρει Νυμφόδωρον τὸν Πύθεω, ἄνδρα Ἀβδηρίτην, οὗ εἶχε τὴν ἀδελφὴν Σιτάλκης,

1. Ἐκπεσοῦσι] ἐξορισθεῖσιν. — 3. Εὐεργέται ἦσαν] συμμαχήσαντες ἴσως αὐτοῖς οἱ Αἰγινῆται. — 4. Ὑπό] κατὰ τὸν καιρόν. — 5. Μεθορία] μέση. — 6. Καθήκουσα] παρατεινομένη. — 7. Ἐνταῦθα] ἐν τῇ Θυρεάτιδι γῇ.

κθ'. 13. Τὸν Πύθεω] ὁ Πύθης, τοῦ Πύθεω, Ἰωνικῶς. — 14. Σιτάλκης] βασιλεὺς Θρᾴκης.

2. Ἐκπεσοῦσι. Pal. ἐκπέμπουσι. Αἰγινήταις. E. Αἰγινίταις.

Θυρέαν. It. Vat, H. Reg. (G.) Gr. B. Θυραίαν, quod non minorem auctoritatem habet. Vid. I. 2. p. 206. Pal. Θυρεάν, male.

Εἱλώτων. Cass. Gr. m. Εἰλ., et m. constanter ita. Sic Aug. supra I, 101. IV, 26. VII, 58. Cass. pariter IV, 26. item V, 56. 57. et plerumque. Gr. V, 64. VII, 19. 58. At sive ab Ἕλος sive ab ἑλεῖν derivas, origo repugnat.

Θυρεᾶτις. Ita Bekk. secundum regulas prosodicas pro Θυρεάτις. It. Vat. H. Reg. (G.) Θυραιάτις (Θυραιᾶτις).

Λακωνικῆς. Marg. Steph. Λακεδαιμονίας.

Θάλασσαν. Reg. (G.) H. Vat. Θαλάσσης.

Οἱ δ' ἐσπάρησαν om. Chr. Dan.

Cap. XXVIII. Μόνον. Vind. μόνος.

Ἐξέλιπε. F. ἐξέλειπε.

Ἐκφανέντων. D. φανέντων.

Cap. XXIX. Ἐν om. F. Gr. D. I.

Ἀβδηρίτην. D. E. Ἀὐδηρίτην.

Digitized by Google

δυνάμενα παρ' αὐτῷ μέγα, οἱ Ἀθηναῖοι, πρότερον πολέμιοι νομίζοντες, πρόξενον ἐποιήσαντο καὶ μετεπέμψαντο, βουλόμενοι Σιτάλκην σφίσι τὸν Τήρεω, Θρᾳκῶν βασιλέα, ξύμμαχον γενέσθαι. 2. ὁ δὲ Τήρης οὗτος, ὁ τοῦ Σιτάλκου πατήρ, πρῶτος Ὀδρύσαις τὴν μεγάλην βασιλείαν ἐπὶ πλεῖον τῆς ἄλλης Θρᾴκης ἐποίησε· πολὺ γὰρ μέρος καὶ αὐτόνομόν ἐστι Θρᾳκῶν. 3. Τηρεῖ δὲ τῷ Πρόκνην τὴν Πανδίονος ἀπ' Ἀθηνῶν σχόντι γυναῖκα προσήκει ὁ Τήρης οὗτος οὐδέν, οὐδὲ τῆς αὐτῆς Θρᾴκης ἐγένοντο· ἀλλ' ὁ μὲν ἐν Δαυλίᾳ τῆς Φωκίδος νῦν καλουμένης γῆς ὁ Τηρεὺς ᾤκει, τότε ὑπὸ Θρᾳκῶν οἰκουμένης· (καὶ τὸ ἔργον τὸ περὶ τὸν Ἴτυν αἱ γυναῖκες ἐν τῇ γῇ ταύτῃ ἔπραξαν· πολλοῖς δὲ καὶ τῶν ποιητῶν ἐν ἀηδόνος μνήμῃ Δαυλιὰς ἡ ὄρνις ἐπωνόμασται· εἰκὸς δὲ καὶ τὸ κῆδος Πανδίονα ξυνάψασθαι τῆς θυγατρὸς διὰ

1. *Παρ' αὐτῷ*] τῷ Σιτάλκῃ. (λ. *Αὐγ.*) — 2. *Πρόξενον*] φίλον. — 3. *Σφίσι*] τοῖς Ἀθηναίοις. (λ. *Αὐγ.*) — *Τὸν Τήρεω*] ὁ Τήρης, τοῦ Τήρεω. — 5. *Ὀδρύσαις*] Ὀδρύσαι ἔθνος Θρᾳκῶν. — 7. *Αὐτόνομον*] ἰδίοις νόμοις χρώμενον. (λ. *Αὐγ.*) — *Τηρεῖ δέ*—] ἰστέον ὅτι ἐνταῦθα μόνον μῦθον εἰσάγει ἐν τῇ συγγραφῇ, καὶ τοῦτον διστάζων. — 9. *Οὐδὲ τῆς αὐτῆς Θρᾴκης*] εἰς τὸν αὐτὸν καὶ ἕνα τοπον τῆς Θρᾴκης. (λ. *Αὐγ.*) — 10. *Ὁ μέν*] ὁ Τηρεὺς ὁ ἀρχαῖος. — 12. *Τὸ περὶ τὸν Ἴτυν*] τοῦτόν τινες Ἰτυλὸν καλοῦσιν. — 13. *Ἐν ἀηδόνος μνήμῃ*] ἀντὶ τοῦ μεμνημένοι τῆς ἀηδόνος τοῦ ὀρνέου. — 15. *Διὰ τοσου*] δι' ὀλίγου διαστήματος.

Παρ' s. v. G.
Μέγα. C. Laur. *μέγαν.*
2. *Πρῶτος* om. D.
Ὀδρύσαις. C. *Ὀδρούσσαις*, ō delet.
Ἐπὶ πλεῖον Cass. Aug. C. Pal. It. Vat. H. Reg. (nisi quod hic coniungit *ἐπιπλεῖον*) Gr. Mosqu. Bekk. Vulgo (et Haack.) *ἐπιπλέον* (*ἐπὶ πλ.*), per se non deterius.
Ἄλλης de. Ar.
3. *Τηρεῖ δέ. Δέ* de. Ar.
Τῷ Πρόκνην. Cl. *τῷ τὴν Πρ.*
Τὴν Πανδ. Cass. *τοῦ Πανδ.*
Ἀπ' Ἀθ. Ἀπ' om. B.
Σχόντι. Pal. *σχόντα*, sed corr.
Προσήκει Cass. Aug. Cl. Pal. It. Vat. H. Reg. Gr. I. marg. Steph. Haack. Bekk. Vulgo *προσῆκεν.*
Ἐγένοντο. Vind. *ἐγένετο.* Sic rursus c. 31, 3.
Νῦν om. E.
Τηρεύς. Laur. E. marg. Steph. male. *Τήρης.* Caeterum totum vocabulum noli pro suspecto habere. Vid. I. 2. p. 205. ubi iam conferri iussimus libell. philoll. f. 2. p. 113.
Τῶν ποιητ. Reg. *ἐκ τῶν π.*
Εἰκὸς δέ. Pro *δέ* Laur. m. τε, E. γε.
Τῆς θυγ. Reg. *καὶ τῆς θυγ.*

Digitized by Google

τοσούτου, ἐπ' ὠφελείᾳ τῇ πρὸς ἀλλήλους, μᾶλλον ἢ διὰ πολλῶν ἡμερῶν ἐς Ὀδρύσας ὁδοῦ·) Τήρης δὲ οὔτε τὸ αὐτὸ ὄνομα ἔχων, βασιλεύς τε πρῶτος ἐν κράτει Ὀδρυσῶν ἐγένετο. 4. οὗ δὴ ὄντα τὸν Σιτάλκην οἱ Ἀθηναῖοι ξύμμαχον ἐποιήσαντο, βουλόμενοι σφίσι τὰ ἐπὶ Θρᾴκης χωρία καὶ Περδίκκαν * ξυνεξελεῖν * αὐτόν. 5. ἐλθὼν τε ἐς τὰς Ἀθήνας ὁ Νυμφόδωρος τήν τε τοῦ Σιτάλκου ξυμμαχίαν ἐποίησε, καὶ Σάδοκον, τὸν υἱὸν αὐτοῦ, Ἀθη-
116. ναῖον· τόν τε ἐπὶ Θρᾴκης πόλεμον ὑπεδέχετο καταλύσειν· πείσειν γὰρ Σιτάλκην πέμψειν στρατιὰν Θρᾳκίαν Ἀθηναίοις ἱππέων τε καὶ πελτασταῖν. 6. ξυνεβίβασε δὲ

2. *Τὸ αὐτὸ ὄνομα*] *τοῦ Τηρέως.* — 3. *Ἐν κράτει*] *ἐν δυνάμει.* (*Ἀὺγ.*) — 4. *Οὗ*] *ὅπου.* — 5. *Τὰ ἐπὶ Θρᾴκης χωρία*] *Χαλκιδέας, Βοττιαίους.* — 6. *Ξυνελεῖν*] *προσποιήσασθαι.* (*λ. Ἀὺγ.*) — 8. *Τὸν υἱὸν αὐτοῦ, Ἀθηναῖον.*] *τὸν υἱὸν τοῦ Σιτάλκου, ἵνα λοιπὸν ὡς ὑπὲρ πατρίδος ἀγωνίζηται.* — *Ἀθηναῖον*] *Ἀθηναίων πολίτην ἐποίησεν.* (*λ. Ἀὺγ.*) — 9. *Ὑπεδέχετο*] *ὑπέσχετο.* (*λ. Ἀὺγ.*) — 11. *Πελτασταῖν*] *πέλτη ἀσπὶς τετράγωνος.* — *Ξυνεβίβασε* —] *φίλον ἐποίησεν αὐτοῖς τὸν Περδίκκαν.* (*λ. Ἀὺγ.*)

Τοσούτου. Schol. in cap. *τόσου.*

Ὠφελείᾳ. Pal. m. *ὠφελίᾳ*, in illo corr. rec. man. Vid. de Art. crit. ap. Thuc. c. 12.

Ὀδρύσας. F. *Ὀδρούσας.*

4. *Ἐποιήσαντο.* Laur. Vind. m. Ar. Chr. Dan. *ἐποιοῦντο.* (Sic Vind. *προσεποιεῖτο* pro *προσεποιήσατο* I, 137.)

Περδίκκαν. G. *Περδίκαν.* Sic rursus §. 6. 7., ubi x s. n.

Ξυνεξελεῖν C. Reg. (sed ex emend. rec. man.) Cam. E. Ar. Chr., quod iam Wassio placebat. Vulgo (Haack. Bekk.) *ξυνελεῖν.* Cf. adnot.

5. *Καὶ Σάδοκον.* „Historiam hanc tangit Aristoph. Acharn. 145. ubi Schol. *Σάδοκον.*“ WASS. „Scholion apud Aristoph. corrigit Valcken. ad Herodot. IV. p. 819. Verba, quae huc pertinent, ita sunt emendata: *σύμμαχος Ἀθηναίοις· μέμνηται Θουκυδίδης· προστίθησι δὲ καὶ τὸ ὄνομα, λέγων οὕτως· καὶ Σάδ.* — *Ἀθην.*“ GOTTL.

Τόν τε — καταλύσειν. „Affert Thom. Mag. in *ὑφίσταμαι*, et adnotat etiam alibi Thucydidem et Herodotum *ὑποδέχομαι* dicere pro *ὑπισχνοῦμαι.*“ DUK.

Πέμψειν Cass. Aug. C. F. Pal. It. Vat. H. Reg. (proprie *μέμψειν* G., sed *π. s. μ.*) Gr. D. I. Ald. Flor. Bas. Haack. Bekk. Cf. I. 1. p. 159. Vulgo *πέμπειν.* Cl. *πέμψαν.*

Θρᾳκίαν. Laur. m. *Θρᾳκείαν.* Ar. Chr. *Θρᾳκῆαν.* Dan. *Θρᾳκιήαν.*

Ἀθηναίοις. Pal. G. *Ἀθην. τε.*

Ἱππέων τε καί. *Τε* om. Ar. Chr. Dan., *τε καί* E. In Laur. ob repetit. *Ἀθην.* omnia ab *ἱππέων* — *τοῖς Ἀθην.* de.

Digitized by Google

καὶ τὸν Περδίκκαν τοῖς Ἀθηναίοις, καὶ Θέρμην αὐτῷ ἔπεισεν ἀποδοῦναι. ξυνεστράτευσέ τ' εὐθὺς Περδίκκας ἐπὶ Χαλκιδέας μετ' Ἀθηναίων καὶ Φορμίωνος. 7. οὕτω μὲν Σιτάλκης τε ὁ Τήρεω, Θρᾳκῶν βασιλεὺς, ξύμμαχος ἐγένετο Ἀθηναίοις, καὶ Περδίκκας ὁ Ἀλεξάνδρου, Μακεδόνων βασιλεύς.

(ς'. Ἀθηναῖοι Σόλλιον καὶ Ἄστακον αἱροῦσι, καὶ Κεφαλληνίαν προσάγονται.)

ἰδ. κεφ. κέ. λ'. Οἱ δ' ἐν ταῖς ἑκατὸν ναυσὶν Ἀθηναῖοι, ἔτι ὄντες περὶ Πελοπόννησον, Σόλλιόν τε Κορινθίων πόλισμα αἱροῦσι, καὶ παραδιδόασι Παλαιρεῦσιν Ἀκαρνάνων μόνοις τὴν γῆν καὶ πόλιν νέμεσθαι· καὶ Ἄστακον, ἧς Εὔαρχος ἐτυράννει, λαβόντες κατὰ κράτος, καὶ ἐξελάσαντες αὐτὸν, τὸ χωρίον ἐς τὴν ξυμμαχίαν προσεποιήσαντο. ἐπί τε Κεφαλληνίαν τὴν νῆσον προσπλεύσαντες, προσηγάγοντο ἄνευ μάχης. κεῖται δὲ ἡ Κεφαλληνία κατὰ Ἀκαρνανίαν καὶ Λευκάδα, τετράπολις οὖσα, Παλῆς,

1. *Θέρμην*] εἶχον γὰρ αὐτὴν Ἀθηναῖοι, ἐκ πολιορκίας κρατοῦντες.

λ'. 8. *Σόλιον*] τὸ Σόλιον πόλισμα τῆς ἠπείρου ἐστὶν ἐν τῇ Ἀκαρνανίᾳ. — 10. *Ἄστακον*] πόλις Ἀκαρνανίας. (λ. Αὐγ.) — 12. *Αὐτόν*] τὸν τύραννον. (λ. Αὐγ.) — 14. *Προσηγάγοντο*] ἐχειρώσαντο. (λ. Αὐγ.)

6. *Τοῖς Ἀθην.* Τοῖς om. m. Ar. Chr. Dan.

Αὐτῷ. Mosqu. Ar. Chr. Dan. αὐτοῖς.

Ἀποδοῦναι. Reg. δοῦναι, rec. man. emend. ἀποδ.

Ξυνεστράτευσε. Laur. E. Vind. ξυνεστράτευε. Statim pro τ' cod. Bas. δ'

7. *Σιτάλκης τε.* Posterius de. E.

Μακεδόνων. Dan. *Μακεδόνος.*

Cap. XXX. *Ταῖς.* I. τοῖς.

Σόλλιον Laur. E. Vind. m. Chr. Haack. Bekk. atque sic a Thuc. scriptum fuisse testatur Steph. Byz. Add. I. 2. p. 155. Vulgo *Σόλιον.*

Παλαιρεῦσιν Cass. Cl. C. F. It. Vat. H. Reg. (G.) cod. Bas. Haack. Bekk. cf. Strab. l. X. p. 459. Male vulgo *Παλιρεῦσιν.*

Ἄστακον. Reg. (G.) Dan. *Ἀστακτον.* Vat. *Ἄσταχον.* Haec male; accentus tantum nominis non prorsus certus. Cf. I. 2. p. 156.

Προσεποιήσαντο. E. ἐποιήσαντο.

2. *Κεφαλληνίαν.* Pal. Laur. Ar. *Κεφαληνίαν*, ut etiam paulo post. At vid. I. 2. p. 152. sq.

Παλῆς Pal. (in quo εῖς rec. man. superscr.) Bekk. Vulgo *Παλλῆς.* Aug. cod. Bas. Gr. Mosqu. *Παλῆς.* Aut hoc aut *Παλῆς* etiam It. Vat. H. D. I.

Digitized by Google

Κράνιοι, Σαμαῖοι, Προναῖοι. 3. ὕστερον δ' οὐ πολλῷ ἀνεχώρησαν αἱ νῆες ἐς τὰς Ἀθήνας.

(ξ'. Ἐκβολὴ Ἀθηναίων ἐς τὴν Μεγαρίδα, ἥτις ὕστερον κατὰ ἔτος ἐγένετο.)

λά. Περὶ δὲ τὸ φθινόπωρον τοῦ θέρους τούτου Ἀθη- Ὀλυμπ. πζ'. ἔτ. ναῖοι πανδημεί, αὐτοί καὶ οἱ μέτοικοι, ἐσέβαλον ἐς τὴν β'. πρὸ Μεγαρίδα, Περικλέους τοῦ Ξανθίππου στρατηγοῦντος. Χρ. νλά. καὶ οἱ περὶ Πελοπόννησον Ἀθηναῖοι ἐν ταῖς ἑκατὸν ναυ- μ. Σεπτ. σὶν, (ἔτυχον γὰρ ἐν Αἰγίνῃ ὄντες,) ἐπ' οἴκου ἀνακομιζόμενοι, ὡς ἤσθοντο τοὺς ἐκ τῆς πόλεως πανστρατιᾷ ἐν Μεγάροις ὄντας, ἔπλευσαν παρ' αὐτούς, καὶ ξυνεμίχθησαν. 2. στρατόπεδόν τε μέγιστον δὴ τοῦτο ἀθρόον Ἀθηναίων ἐγένετο, ἀκμαζούσης ἔτι τῆς πόλεως, καὶ οὔπω νενοσηκυίας. μυρίων γὰρ ὁπλιτῶν οὐκ ἐλάσσους ἦσαν

τελ.

1. Σαμαῖοι] Σάμιος ὁ ἀπὸ Σάμου, Σαμαῖος ὁ ἀπὸ Σάμης. λά'. 6. Καὶ οἱ περὶ Πελοπόννησον] οἱ περιπλέοντες κατὰ τῆς Πελοποννήσου. (λ. Ἀύγ.) — Ἑκατὸν ναυσίν] ὄντες δηλονότι. — 7. Ἔτυχον γὰρ ἐν Αἰγίνῃ] μεταξυλογία. — 8. Τοὺς ἐκ τῆς πόλεως πανστρατιᾷ] τοὺς συμπολίτας αὐτῶν μετὰ παντὸς τοῦ στρατεύματος. — 9. Ἔπλευσαν παρ' αὐτούς] πλῷ χρησάμενοι ἦλθον εἰς αὐτούς. — 11. Ἀκμαζούσης —] ἀκμὴν καὶ αὔξησιν ἐχούσης τῆς πόλεως, καὶ οὔπω ὑπὸ νόσου ἐλαττωθείσης. (λ. Ἀύγ.)

Παλεῖς Cass. Cl. Reg. E. Vind. Ar. Chr. Dan. Haack. Uno $\overline{\lambda}$ urbem scribendam esse certum est. Vid. I. 2. p. 153.

Κράνιοι. Vind. Κραναῖοι. Ar. Chr. Κρανεῖοι. Κράνειοι Etym. M. in Κεφαλληνία. add. Tzetz. At Κράνιοι cum plurimis et optimis codd. Strab. Hesych. et Steph. Byz. (cuius codd. Κράνιον.)

Σαμαῖοι. Laur. E. Σάμιοι.

Προναῖοι. Nominis scriptura dubia. Cass. Cl. cod. Bas. Gr. Haack. Προνναῖοι. Pal. Reg. (G.) Ald. Flor. Πρόνναιοι. Alterutra ratione etiam C. F. It. Vat. et in E. alterum ν saltem al. man. adnot. Προναῖοι Vind. Mosqu. Ar. Chr. Dan. Bekk. Scriptores alii aliter appellant. Cf. I. 2. p. 153. Vulgo Πρόναιοι. Sed accentum circumflexum esse debere docent regulae ab Arcadio p. 48. propositae. (cf. Etym. in ἀγελαῖος.)

Cap. XXXI. Γὰρ ἐν. Vulgo γὰρ ἤδη ἐν, sed ἤδη om. Cass. Aug. Cl. C. F. Pal. Vat. Reg. (G.) Mosqu., et uncis inclusit Haack. quos rursus sustulit Bekk. Caeterum ἐν s. v. al. man. E. Antea cum Schol. post ναυσίν, non cum Gottl. post Ἀθηναῖοι, distinximus. Cf. not. et de articulo non repetito Krueg. l. l. p. 153.

2. Ἀθρόον. Gr. ἀθρόων.

Καὶ οὔπω s. v. G.

Digitized by Google

αὐτοὶ Ἀθηναῖοι· (χωρὶς δὲ αὐτοῖς οἱ ἐν Ποτιδαίᾳ τῷ χιλιοι ἦσαν·) μέτοικοι δὲ ξυνεξέβαλον οὐκ ἐλάσσους τ χιλίων ὁπλιτῶν· χωρὶς δὲ ὁ ἄλλος ὅμιλος ψιλῶν ὀ ὀλίγος. δηώσαντες δὲ τὰ πολλὰ τῆς γῆς, ἀνεχώρησα 3. ἐγένοντο δὲ καὶ ἄλλαι ὕστερον ἐν τῷ πολέμῳ κα ἔτος ἕκαστον ἐσβολαὶ Ἀθηναίων ἐς τὴν Μεγαρίδα, ἱππέων καὶ πανστρατιᾷ, μέχρι οὗ Νίσαια ἑάλω ὑπ' Ἀθ ναίων.

(ἡ Ἀταλάντη ὑπ' Ἀθηναίων τειχίζεται.)

λβ'. Ἐτειχίσθη δὲ καὶ Ἀταλάντη ὑπ' Ἀθηναίων φρο
μ. Σεπτ. ριον τοῦ θέρους τούτου τελευτῶντος, ἡ ἐπὶ Λοκροῖς τ
τελ. Ὀπουντίοις νῆσος, ἐρήμη πρότερον οὖσα, τοῦ μὴ λῃστὰ ἐκπλέοντας ἐξ Ὀποῦντος καὶ τῆς ἄλλης Λοκρίδος κακου γεῖν τὴν Εὔβοιαν. 2. ταῦτα μὲν ἐν τῷ θέρει τούτ μετὰ τὴν Πελοποννησίων ἐκ τῆς Ἀττικῆς ἀναχώρησι ἐγένετο.

1. *Αὐτοὶ Ἀθηναῖοι*] οἱ ἀκραιφνεῖς καὶ οὐ ξένοι. — 4. *Τὰ πολλὰ τῆς γῆς*] τὰ πολλὰ, μέρη δηλονότι, τῆς γῆς, τῆς Μεγαρίδος. (λ. *Αὐγ.*) — 7. *Νίσαια*] ἐπίνειον Μεγάρων.

λβ'. 9. *Ἀταλάντη*] ἡ νῦν λεγομένη Κασανδρία. (Bas.)

Αὐτοὶ Ἀθην. Cod. Bas. Laur. E. Ar. Chr. et Aug. a man. rec. *αὐτοὶ οἱ Ἀθ.* Quo non opus. Vid. quae in script. discrep. adnotata sunt II, 11, 1.

Αὐτοῖς. G. *αὐτῆς.*

Ξυνεξέβαλον. Gr. Vind. Ap. Chr. *ξυνέβαλον.*

Ὀλίγος. Cl. *ὀλίγων.* Gr. *ὀλίγα*, et ex emend. *ὀλίγος.*

3. *Ἐγένοντο.* Vind. *ἐγένετο.*

Ἄλλαι. Quod vulgo subiicitur *καλλαί*, de. Cass. Cl. C. F. Pal. It. Vat. H. Reg. (G.) cod. Bas. Gr. D. Laur. Vind. Mosqu. m. Haack. Bekk.

Πανστρατιᾷ. Vind. *πανστρατιά.*

Μέχρι. Cass. C. m. Haack. Bekk. Vulgo *μέχρις.* Vid. I. 1. p. 215.

Cap. XXXII. *Μετὰ τὴν Πελοπ.* Aug. C. F. It. Vat. H. G. cod. Bas. et alii plures; nam *μετὰ τῶν Π.* (quod B. exhibet,) in Duk. edit. typothetarum incuria irrepsisse videtur, quum *μετὰ τὴν Π.* suppeditent Ald. Bas. Steph. *Μετὰ τὴν τῶν Π.* (ut ex emend. legitur in cod. Bas.) temere scripsit Gottl. *Τῶν* uncis inclusit Haack., expunxit Bekk. Sic *μετὰ τὴν Μήδων ἀναχώρησιν* I, 93.

Digitized by Google

Χειμών. — Κεφ. μ'. 1) Κορινθίοι Εὔαρχον ἐς Ἄσταικον κατάγουσι, καὶ ὑφ Κεφαλληνίαν ἀποβάντες νικῶνται.)

Ὀλ. πζ'. ἔτ. β'. πρὸ Χρ. ὑλά. ἀπὸ μην. Οκτ. ἀρχ.

λγ'. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Εὔαρχος ὁ Ἀκαρνὰν, βουλόμενος ἐς τὴν Ἄσταικον κατελθεῖν, πείθει Κορινθίους τεσσαράκοντα ναυσὶ καὶ πεντακοσίοις καὶ χιλίοις ὁπλίταις ἑαυτὸν κατάγειν πλεύσαντας· καὶ στρατηγοὺς τινὰς προσεμισθώσατο. ἦρχον δὲ τῆς στρατιᾶς Εὐφαμίδας τε ὁ Ἀριστωνύμου, καὶ Τιμόξενος Τιμοκράτους, καὶ Εὔμαχος ὁ Χρύσιδος. 2. καὶ πλεύσαντες κατήγαγον· καὶ τῆς ἄλλης Ἀκαρνανίας τῆς περὶ θάλασσαν ἔστιν ἃ χωρία βουλόμενοι προσποιήσασθαι, καὶ πειραθέντες, ὡς οὐκ ἠδύναντο, ἀπέπλεον ἐπ' οἶκον. 3. σχόντες δ' ἐν τῷ παράπλῳ ἐς Κεφαλληνίαν, καὶ ἀπόβασιν ποιησάμενοι ἐς τὴν Κρανίων γῆν, ἀπατηθέντες ὑπ' αὐτῶν ἐξ ὁμολογίας τινὸς, ἄνδρας τε ἀποβάλλουσι σφῶν

λγ'. 1. Εὔαρχος] ὁ τύραννος Ἀσταίκου. — 3. Τῆς στρατιᾶς] τῶν Κορινθίων δηλονότι. (λ. Λύγ.) — 8. Κατήγαγον] τὸν Εὔαρχον δηλονότι. (λ Λύγ.) — 9. Προσποιήσασθαι] οἰκειοποιήσασθαι. — 10. Πειραθέντες] πεῖραν σχόντες. (λ. Λύγ.) — Οὐκ ἠδύναντο] λαβεῖν δηλονότι. — 12. Ὑπ' αὐτῶν] τῶν Κρανίων δηλονότι. — 13. Ἀποβάλλουσι] ζημιοῦνται. (λ. Λύγ.)

CAP. XXXIII. Ἄσταικον. Dan. rursus Ἀστακτον, ut cap. 30.

Ἐπικούρους. B. ἐπικούρεις.

Προσεμισθώσατο. Marg. Steph. ἐμισθ.

Ἦρχον. Laur. E. ἦρχοντο.

2. Ἠδύναντο. D. Ar. Chr. ἐδύν. Cf. I. 1. p. 226.

Εὐφαμίδας. Pal. Εὐφανίδας.

Χρύσιδος. Hoc nomen de viris Heilmanno inusitatum videtur, unde Χρυσίδου conieci.

Ἀπέπλεον. m. Ar. Chr. Dan. ἀπέπλευσαν, in m. tamen ον supra scr. D. ἐπέπλεον. E. ἔπλεον ἀπ. ν.

3. Σχόντες. „Thom. Mag. in ἐπέσχον, Σχόντες δὲ ἐν τῷ παράπλῳ ἐς Κεφαλληνίαν. Male pro Κεφαλλ.“ DUK. Κεφαλληνίαν etiam Pal. C. E, Vid. tamen I. 2. p. 152. sq.

Κρανίων. Ar. Chr. Dan. Κρανείων Mosqu. Κρανίεν. Vind. Κρανωνίων. „Cranonii pro Cranii legebatur quondam apud Liv. XXXVIII, 28. Emendavit ibi Sigonius.“ DUK. Cf. supra c. 30, 2.

Ἀπατηθέντες. D. ἀπαντηθέντες.

Ἀποβάλλουσι. F. ἀποβάλουσι.

Digitized by Google

αὐτῶν, ἐπιθεμένων ἀπροσδοκήτοις τῶν Κραναίων, καὶ βιαιότερον ἀναγαγόμενοι, ἐκομίσθησαν ἐπ' οἶκου.

(2. Ταφὴ δημοσία ἐν Ἀθήναις τῶν ἐν τῷ πολέμῳ ἀποθανόντων μετὰ τοῦ ἐπιταφίου λόγου. — μϛ'. ά) Ἡ ταφὴ αὐτή. λδ'.)

λδ'. Ἐν δὲ τῷ αὐτῷ χειμῶνι οἱ Ἀθηναῖοι, τῷ πατρίῳ νόμῳ χρώμενοι, δημοσίᾳ ταφὰς ἐποιήσαντο τῶν ἐν τῷδε τῷ πολέμῳ πρῶτον ἀποθανόντων, τρόπῳ τοιῷδε. 5
2. τὰ μὲν ὀστᾶ προτίθενται τῶν ἀπογενομένων, πρότριτα σκηνὴν ποιήσαντες, καὶ ἐπιφέρει τῷ αὐτοῦ ἕκαστος ἤν τι βούληται. 3. ἐπειδὰν δὲ ἡ ἐκφορὰ ᾖ, λάρνακας κυπαρισσίνας ἄγουσιν ἅμαξαι, φυλῆς ἑκάστης μιαν· ἔνεστι

λδ'. 3. Τῷ πατρίῳ νόμῳ χρώμενοι] [τὸν πάτριον νόμον πληροῦντες περὶ τῆς τῶν Ἀθηναίων ταφῆς, (λ. Αὐγ.)] δηλονότι καύσαντες τὰ σώματα· οὕτος γὰρ ἦν νόμος Ἀθηναίοις καὶ πᾶσιν Ἕλλησι. — 5. Τρόπῳ τοιῷδε] τῷ ὑηθησομένῳ. (λ. Αὐγ.) — 6. Πρότριτα] πρὸ τρίτης ἡμέρας τῆς ἐκκομιδῆς, ἢ ἐπὶ ἡμέρας τρεῖς. ἄμεινον δὲ τὸ πρῶτον. — 7. Ἐπιφέρει] ἐναγίζει. — 8. Κυπαρισσίνας] διὰ τὸ ἄσηπτον εἶναι. (λ. Αὐγ.) — 9. Ἔνεστι] τῇ λάρνακι δηλονότι. (λ. Αὐγ.)

Ἀπροσδοκήτοις Cass. Aug. C. It. H. Reg. (G. ubi in marg. man. rec. adnot. γρ. ἀπροσδοκήτως,) Gr. Mosqu. Haack. Bekk. Vulgo ἀπροσδοκήτως. Cl. ἀπροσδοκήτους. Cod. Bas. ἀπροσδοκήτοι.

Κραναίων. Laur. E. Vind. Ar. Chr. Κρανωνίων, ut Vind. iam paucis versibus ante.

Ἀναγαγόμενοι. C. Vat. E. Mosq. Ar. Chr. Dan. ἀναγόμενοι. H. ἀγαγόμ., α s. αν. al. man.

Ἐκομίσθησαν. E. ἀνεκομίσθ. Utrumque dicit Thuc.

Cap. XXXIV. Οἱ Ἀθην. Οἱ de. Laur. E. m. Ar. Chr. Dan.

Δημοσίᾳ. Ar. Chr. Dan. δημοσίας.

Ταφάς. Cl. τὰς ταφάς.

2. Προτίθενται. Marg. Ald. Vin. προτιθέντες.

Αὐτοῦ. Cass. Cl. Pal. Reg. Gr. αὑτ. cf. Farr. discrep. script. D. ἑαυτ.

Βούληται. Pal. βούλεται.

3. Δὲ ἡ Cass. Aug. Cl. Pal. It. Vat. H. Reg. (G.) Gr. D. I. Laur. E. Ar. Chr. Dan. Ald. Flor. Bas. Steph. 1. Haack. Bekk. Vulgo δὲ καὶ ἡ.

Λάρνακας κυπαρισσίνας. „Hunc locum respicit et illustrat Theodor. Therapeut. 8. καὶ ὁ Θουκυδίδης — τῶν ἐν τῷ Πελοποννησιακῷ πολέμῳ τετελευτηκότων διηγεῖται τὸ γέρας, καὶ ὅπως μὲν τὰ εὑρηθέντα σώματα τῶν προγεγονότων ἕκαστος ἠξίου τάφου, ἡλίκην δὲ τοῖς ἥκιστα εὑρηθεῖσιν [εὑρεθεῖσιν] ἐμηχανῶντο τιμὴν, κυπαριττίνας μὲν κατασκευάζοντες λάρνακας. Vid. Gallaei Comment. in Orac. Sibyll. p. 100." HUDS.

Ἅμαξαι. Pal. ἅμ. Cf. script. discr. II, 3, 3. Reg. (G.) H. post ἅμ. pergunt οὖσαι φυλῆς, et Reg. (G.) deinde μία habet pro μίαν.

Digitized by Google

δὲ τὰ ὀστᾶ ἧς ἕκαστος ἦν φυλῆς. μία δὲ κλίνη κενὴ φέρεται, ἐστρωμένη, τῶν ἀφανῶν, οἳ ἂν μὴ εὑρεθῶσιν ἐς ἀναίρεσιν. 4. ξυνεκφέρει δὲ ὁ βουλόμενος καὶ ἀστῶν καὶ ξένων, καὶ γυναῖκες πάρεισιν αἱ προσήκουσαι ἐπὶ τὸν τάφον, ὀλοφυρόμεναι. 5. τιθέασιν οὖν ἐς τὸ δημόσιον σῆμα, ὅ ἐστιν ἐπὶ τοῦ καλλίστου προαστείου τῆς πόλεως, καὶ ἀεὶ ἐν αὐτῷ θάπτουσι τοὺς ἐκ τῶν πολέ-
118. μων, πλήν γε τοὺς ἐν Μαραθῶνι· ἐκείνων δὲ διαπρεπῆ τὴν ἀρετὴν κρίναντες, αὐτοῦ καὶ τὸν τάφον ἐποίησαν. 6. ἐπειδὰν δὲ κρύψωσι γῆ, ἀνὴρ ἡρημένος ὑπὸ τῆς πόλεως, ὃς ἂν γνώμῃ τε δοκῇ μὴ ἀξύνετος εἶναι, καὶ ἀξιώσει προσήκῃ, λέγει ἐπ' αὐτοῖς ἔπαινον τὸν πρέποντα. μετὰ δὲ τοῦτο ἀπέρχονται. 7. ὧδε μὲν θάπτουσι· καὶ διὰ παντὸς τοῦ πολέμου, ὁπότε ξυμβαίη αὐτοῖς, ἐχρῶντο τῷ νόμῳ. 8. ἐπὶ δ' οὖν τοῖς πρώτοις τοῖσδε Περικλῆς

5. Τὸ δημόσιον σῆμα] τὸ καλούμενον Κεραμεικόν.

Δὲ τά Cass. Aug. Cl. C. F. Pal. It. Vat. H. Reg. (G.) Gr. I. Laur. Mosqu. Schol. Haack. Bekk. Vulgo δὲ καὶ τά.

4. Ξυνεκφέρει. Mosqu. ξυνεμφέρει.

Ἀστῶν. Ar. Chr. Dan. ἀστικῶν.

Πάρεισιν. Laur. παρεῖσαν. E. παρῆσιν, ει s. η al. man. Ar. Chr. Dan. Ald. Flor. ed. Bas. (non cod. Bas.) Steph. 1. παρῆσαν.

Ἐπί. Ar. κατά. m. Chr. Dan. παρά.

5. Προαστείου. In Pal. fuit aliquando προαστίου, ut passim apud tragicos exaratur.

Ἐκ τῶν πολ. D. ἐν τῶν πολ.

Ἐκείνων δέ. Ar. Chr. Dan. ἐκ. γάρ.

Διαπρεπῆ τὴν ἀρετ. Ar. Chr. Dan. τὴν ἀρετ. διαπρ.

6. Ἐπειδὰν δέ. Mosqu. ἐπειδὰν γάρ.

Γῇ. Vat. H. Reg. τῇ γῇ, frustra.

Πόλεως. Post hoc voc. in marg. Ald. Vinar. est ἀξιώματι, ex seqq.

Γνώμῃ τε. Τε s. v. ead. man. C.

Δοκῇ. Vat. H. Reg. (G.) Mosqu. vitiose δοκεῖ.

Ἀξιώσει Cass. Aug. Cl. C. (nisi quod hic ἀξιόσει scrib.) F. Pal. It. Vat. H. Reg. (G.) cod. Bas. a pr. man. (nam corrector ἀξιώματι dedit,) Gr. Laur. D. I. E. Vind. Mosqu. marg. Ald. Vin. et marg. Steph. Haack. Vulgatam (et Greg. Cor. ad Hermog. p. 897.) ἀξιώματι, illius interpretationem, male restituit Bekk. Vid. not.

Προσήκῃ. Cass. Aug. Pal. (Reg. ?) Gr. D. προήκει. Cod. Bas. προσήκῃ. C. It. Vat. H. G. (?) I. Mosqu. marg. Ald. Vin. προσήκει. In Dan. pro προσήκῃ man. rec. int. vers. scrips. προσῆκει.

Πρέποντα. Mosqu. Ar. Chr. Dan. προσήκοντα.

Ἀπέρχονται. E. ἀπέρχεται.

7. Ξυμβαίη. Vind. m. ξυμβαίνει.

8. Ἐπί. Laur. ἐπεί.

Δ' οὖν. Gr. γοῦν.

Digitized by Google

ὁ Ξανθίππου ἠρέθη λέγειν· καὶ ἐπειδὴ καιρὸς ἐλάμβανε, προελθὼν ἀπὸ τοῦ σήματος ἐπὶ βῆμα ὑψηλὸν πεποιημένον, ὅπως ἀκούοιτο ὡς ἐπὶ πλεῖστον τοῦ ὁμίλου, ἔλεγε τοιάδε.

(β'. Λόγος ἐπιτάφιος Περικλέους. — Κεφ. μ'. Προοίμιον Κεφ. λ'.)

λ'. „Οἱ μὲν πολλοὶ τῶν ἐνθάδε εἰρηκότων ἤδη ἐπαινοῦσι τὸν προσθέντα τῷ νόμῳ τὸν λόγον τόνδε, ὡς καλὸν ἐπὶ τοῖς ἐκ τῶν πολέμων θαπτομένοις ἀγορεύεσθαι αὐτόν. ἐμοὶ δ' ἀρκοῦν ἂν ἐδόκει εἶναι, ἀνδρῶν ἀγαθῶν ἔργῳ γενομένων, ἔργῳ καὶ δηλοῦσθαι τὰς τιμάς, (οἷα καὶ νῦν περὶ τὸν τάφον τόνδε δημοσίᾳ παρασκευα-

λ'. 5. *Οἱ μὲν πολλοί — —*] οἱ μὲν πολλοί, φησὶ, τῶν ἐνθάδε ἤδη εἰρηκότων ἐπαινοῦσι τὸν νομοθέτην τὸν προσθέντα ἐν τῷ ἑαυτοῦ νόμῳ τὸν λόγον τὸν κελεύοντα λέγεσθαι τὸν ἐπιτάφιον ἐπὶ τοῖς θαπτομένοις δημοσίᾳ. (λ. Λύγ.) — *Τῶν ἐνθάδε εἰρηκότων*] τῶν ῥητόρων δηλονότι. — 6. *Τὸν προσθέντα*] τὸν νομοθέτην, δηλονότι τὸν Σόλωνα. — *Τῷ νόμῳ τὸν λόγον*] νόμος, ὅτι δεῖ τοὺς ἐκ τῆς πόλεως ἀνηρημένους δημοσίᾳ ταφῆς ἀξιοῦν. προστιθέασι δὲ τῷ τοιούτῳ νόμῳ τὸ δεῖν καὶ ἐπιταφίους ἐπαίνους εἰς αὐτοὺς λέγειν, ὃ δὴ καὶ λόγον ὁ ῥήτωρ ἐνταῦθα καλεῖ, καὶ προσθῆκην νόμου προσαγορεύει. (*Βασ.*)

Καιρός. Gl. (in cuius marg. καιρός,) It. Vat. H. G. Bekk. καιρόν. At vid. not.

, *Ἐπὶ πλεῖστον.* Ar. ἐπιτοπλεῖστον.

Cap. XXXV. *Οἱ μὲν — ἀγορεύεσθαι αὐτόν.* Dion. p. 113. Reisk. [p. 232. Schaef. p. 123. Goell.] Laur.

Εἰρηκότων ἤδη Cass. Aug. Pal. It. Vat. H. Reg. (G.) Bekk. Vulgo (et Haack.) ἤδη εἰρηκ. et ita quidem Dion.; sed in eo quoque liber Victorii ἤδη transponit.

Τὸν λόγον τόνδε. Ald. Dion. τόνδε τὸν λόγον.

Ὡς καλόν. Quum Dionysius de cretico in his verbis loquatur, Goellerus Uptonum secutus ὡς καλόν γ' legi vult. Sed Schaeferus: „Si post καλόν", inquit, „ponas signum commatis, attendasque vim accentus in huius vocis syllaba posteriore, ὡς καλόν proxime accedere ad mensuram cretici facile sentias." Proximum ἐπί om. Gl.

Τῶν πολέμων. Τῶν om. D. et Dion. edd. vett. ante Sylb., qui ex libris addidit.

Πολέμων. Aug. It. Reg. πόλεων, postremus tamen ex emendat. rec. man. πολέμων.

Ἀρκοῦν ἄν Cass. Aug. Pal. It. H. Reg. (G.) Gr. I. Laur. E. Mosqu. m. Ar. Chr. Dan. Schol. Greg. Cor. ad Hermog. p. 897. Haack. Bekk. Vulgo ἂν ἀρκοῦν.

Ἔργῳ καὶ δηλ. Καί de. Gr., post δηλ. collocat E. Greg. Cor. l. d.

Τόνδε de. Chr. Dan.

Digitized by Google

σθέντα ὁρᾶτε,) καὶ μὴ ἐν ἑνὶ ἀνδρὶ πολλῶν ἀρετὰς κινδυνεύεσθαι, εὖ τε καὶ χάριν εἰπόντι πιστευθῆναι. 2. χαλεπὸν γὰρ τὸ μετρίως εἰπεῖν, ἐν ᾧ μόλις καὶ ἡ δόκησις τῆς ἀληθείας βεβαιοῦται. ὅ τε γὰρ ξυνειδὼς καὶ εὔνους ἀκροατὴς τάχ' ἂν τι ἐνδεεστέρως πρὸς ἃ βούλεταί τε καὶ ἐπίσταται νομίσειε δηλοῦσθαι, ὅ τε ἄπειρος ἔστιν ἃ καὶ πλεονάζεσθαι, διὰ φθόνον, εἴ τι ὑπὲρ τὴν ἑαυτοῦ φύσιν ἀκούοι. μέχρι γὰρ τοῦδε ἀνεκτοὶ οἱ ἔπαινοι εἰσι περὶ ἑτέρων λεγόμενοι, ἐς ὅσον ἂν καὶ αὐτὸς ἕκαστος οἴηται ἱκανὸς εἶναι δρᾶσαί τι ὧν ἤκουσε· τῷ δ' ὑπερβάλλοντι αὐτῶν φθονοῦντες ἤδη καὶ ἀπιστοῦσιν. 3. ἐκειδὴ δὲ
119. τοῖς πάλαι οὕτως ἐδοκιμάσθη ταῦτα καλῶς ἔχειν, χρὴ καὶ ἐμὲ ἑπόμενον τῷ νόμῳ πειρᾶσθαι ὑμῶν τῆς ἑκάστου βουλήσεώς τε καὶ δόξης τυχεῖν ὡς ἐπιπλεῖστον."

1. *Κινδυνεύεσθαι — πιστευθῆναι*] ἀπὸ κοινοῦ τὸ, ἐμοὶ δὲ ἀρκοῦν ἂν ἐδόκει. ἀντὶ τοῦ, καὶ μὴ ἐν κινδύνῳ γίνεσθαι τὸ πιστευθῆναι. — 3. *Μετρίως*] συμμέτρως, ἀξίως. — *Ἡ δόκησις τῆς ἀληθείας*] περιφραστικῶς ἡ ἀλήθεια. — 4. *Ὅ τε γὰρ ξυνειδὼς*] κατασκευὴ τοῦ προοιμίου. — 6. *Ὅ τε ἄπειρος*] προσυπακουστέον, καὶ μὴ εὔνους. — *Ἔστιν ἃ καὶ πλεονάζεσθαι*] κατὰ κοινοῦ τὸ νομίσειεν. — 9. *Ἐς ὅσον*] ἕως οὗ. (λ. *Λύγ.*) — 11. *Αὐτῶν*] τῶν ἐπαίνων δηλονότι. (λ. *Λύγ.*) — *Ἀπιστοῦσιν*] λείπει ἕκαστος· ἔστι δὲ σχῆμα. — 12. *Ἐδοκιμάσθη*] ἐκρίθη. (λ. *Λύγ.*) — 14. *Βουλήσεώς τε καὶ δόξ.*] βουλήσεως μὲν πρὸς τὸ εὔνοια, δόξης δὲ πρὸς τὸ ἄπειρος. — *Τυχεῖν*] τυχεῖν εἶπεν ὡς ἀπὸ μεταφορᾶς τῶν τοξευόντων κατὰ τοῦ σκοποῦ. — *Ὡς ἐπὶ πλεῖστον*] τὸ ἐπὶ πλεῖστον κα-

Ὁρᾶτε. Greg. Cor. l. d. *ὁρᾶται.*

Ἐν ἑνί. Ἐν om. m. Ar. Chr. Dan. At vid. not.

2. *Ἡ δόκησις τῆς ἀληθείας.* „Laudat et Scholia describitSuid. in *δόκησις ἀληθ.*" DUK. Cf. Phav.

Τί ἐνδεεστέρως. Τί om. Chr. *εἰ καὶ ἐνδ.* praebet F.

Ἐπίσταται. G. *ἐπίστατε.*

Νομίσειε. Ar. Chr. Dan. *νομίσοι*, sed in marg. rec. man. script. *νομίσειε.*

Ὅ τε ἄπ. F. *ὅτι ἄπ.* m. Chr. *ὃ δὲ ἄπ.*

Ἑαυτοῦ. Laur. E. m. Ar. Chr. Dan. *αὐτοῦ.*

Μέχρι γάρ etc. Complures imitati sunt. Vid. not.

Εἰσί de. Reg. Apud Greg. Cor. l. d. *ἀνεκτοί* post *εἰσί* collocatur.

Ἂν καί. Ἂν om. I. et deinde habet *οἴεται.*

Τῷ δ' ὑπερβ. Cass. Aug. C. Pal. Reg. Gr. Vulgo *τῷ δὲ ὑπερβ.* Dionysii quidam codd. p. 798. *τὸ δὲ ὑπερβάλλον.*

Αὐτῶν. Cass. a pr. man. (deinde emend. *αὐτῶν*,) Aug. C. It. Vat. cod. Bas. Gr. B. Laur. Vind. Mosqu. m. Ar. Chr. marg. Ald. Vin. *αὐτόν.* Greg. Cor. om. At vid. not.

Φθονοῦντες. Utrum post hoc voc. an post *ἤδη* virgula ponenda sit, ambigunt viri docti. Nobis cum Bekk. neutro loco necessaria visa est.

3. *Καὶ ἐμέ* om. Gr. *Ἐπιπλεῖστον.* Ar. *ἐπιτοπλ.*

Digitized by Google

(α'. Ἔπαινος τῶν προγόνων τῶν ἀποθανόντων. — Κεφ. λς'.)

λς'. „Ἄρξομαι δ' ἀπὸ τῶν προγόνων πρῶτον· δίκαιον γὰρ αὐτοῖς, καὶ πρέπον δὲ ἅμα, ἐν τῷ τοιῷδε τὴν τιμὴν ταύτην τῆς μνήμης δίδοσθαι. τὴν γὰρ χώραν ἀεὶ οἱ αὐτοὶ οἰκοῦντες, διαδοχῇ τῶν ἐπιγιγνομένων μέχρι τοῦδε ἐλευθέραν δι' ἀρετὴν παρέδοσαν. 2. καὶ ἐκεῖνοί τε ἄξιοι ἐπαίνου, καὶ ἔτι μᾶλλον οἱ πατέρες ἡμῶν· κτησάμενοι γὰρ πρὸς οἷς ἐδέξαντο ὅσην ἔχομεν ἀρχήν, οὐκ ἀπόνως, ἡμῖν τοῖς νῦν προσκατέλιπον. 3. τὰ δὲ πλείω αὐτῆς αὐτοὶ ἡμεῖς οἵδε, οἱ νῦν ἔτι ὄντες μάλιστα ἐν τῇ καθεστηκυίᾳ ἡλικίᾳ, ἐπηυξήσαμεν, καὶ τὴν πόλιν τοῖς πᾶσι παρεσκευάσαμεν καὶ ἐς πόλεμον καὶ ἐς εἰρήνην αὐταρκεστάτην. 4. ὧν ἐγὼ τὰ μὲν κατὰ πολέμους ἔργα, οἷς ἕκαστα ἐκτήθη, ἢ εἴ τι αὐτοὶ ἢ οἱ πατέρες ἡμῶν βάρβαρον ἢ Ἕλληνα πόλεμον ἐπιόντα προθύμως ἠμυνάμεθα, μακρηγορεῖν ἐν εἰδόσιν οὐ βουλόμενος, ἐάσω· ἀπὸ

λῶς· οὐ γὰρ δυνατὸν πᾶσιν ὁμοίως ἀρέσκοντα λέγειν, ἀλλὰ καὶ μέσως πως, ἵνα μήτε φθόνον μήτε ψεῦδος δόξῃ λέγειν.

λς'. 2. Ἐν τῷ τοιῷδε] τῷ ἐπαίνῳ. (λ. Ἀὺγ.) — 5. Ἐκεῖνοι] οἱ πρόγονοι. (λ. Ἀὺγ.) — 7. Πρὸς οἷς] μεθ' ὧν. (λ. Ἀὺγ.) — Οὐκ ἀπόνως] τινὲς εἰς τὸ οὐκ ἀπόνως ὑποστίζουσι. — 9. Αὐτῆς] τῆς ἀρχῆς δηλονότι. (λ. Ἀὺγ.) — Ἡμεῖς] ταῦτα λέγει ὁ Περικλῆς διὰ τὴν Σάμον καὶ Εὔβοιαν, ἣν αὐτὸς τοῖς Ἀθηναίοις προσεκτήσατο. (λ. Κασσ.) — 12. Ὧν] πατέρων, ἢ πραγμάτων τῶν κατὰ πόλεμον ἡμῖν παρεσκευασμένων καὶ εἰρήνην. — 15. Ἐάσω] ἱστέον ὅτι διὰ τοῦτο αὐτὰ παραιτεῖται λέγειν, ἵνα μὴ ἀναγκασθῇ καὶ τὰ τῶν προκειμένων νεκρῶν εἰπεῖν οὐκ ἀξιόλογα ὄντα.

Cap. XXXVI. Δ' ἀπό Cass. Aug. C. Pal. Reg. Vulgo δὲ ἀπό.

Πρέπον δέ. Δέ om. Gr. At vid. not.

Ταύτην. H. D. I. E. Vind. (qui simul τῆς om.) Ar. Chr. ταύτης.

2. Ἀεὶ οἱ αὐτοί. Laur. E. Ar. Chr. Dan. οἱ αὐτοὶ ἀεί.

Ἀπόνως. Incisum post ἀπόνως iubente Reiskio primus addidit Gottleb. Cf. not.

3. Πλείω Cass. Aug. C. F. Pal. It. H. Reg. (G.) Gr. I. Mosqu. Tus. Aem. Port. Schol. Haack. Bekk. Vulgo πλέω. Cf. I. 1. p. 223. ubi in nostro loco erratum.

Αὐτοὶ ἡμεῖς om. Gr.

Μάλιστα de. Dan. ubi in marg. adscript.

Ἐς εἰρήνην. Ἐς de. Bar.

4. Ἕκαστα post ἐκτήθη (pro quo B. ἐκτήσθη) collocat C.

Εἴ τι. Marg. Steph. εἴ τινα.

Ἢ οἱ. Ἢ s. v. al. man. C.

Βάρβαρον ἢ Ἑλλ. π. „Agnoscit Thom. Mag. in βαρβαρικός." WASS. Cf. not.

Ἠμυνάμεθα. E. ἠμυνόμ.

„Ἀπὸ — αὐτῶν Dion. Hal. p. 47. Sylb. [299. Reisk.] ubi ἡλ-

Digitized by Google

δὲ οἵας τε ἐπιτηδεύσεως ἦλθον ἐπ' αὐτὰ, καὶ μεθ' οἵας πολιτείας, καὶ τρόπων ἐξ οἵων μεγάλα ἐγένετο, ταῦτα δηλώσας πρῶτον, εἶμι καὶ ἐπὶ τὸν τῶνδε ἔπαινον, νομίζων ἐπί τε τῷ παρόντι οὐκ ἂν ἀπρεπῆ λεχθῆναι αὐτὰ, καὶ τὸν πάντα ὅμιλον καὶ ἀστῶν καὶ ξένων ξύμφορον εἶναι αὐτῶν ἐπακοῦσαι."

(β'. Ἔπαινος τῆς πολιτείας. — Κεφ. μα'. αα'., ὅτι δημοκρατία ἐστὶ, καὶ ἰσότητα, χρηστότητα καὶ πειθαρχίαν σώζει.)

λζ'. „Χρώμεθα γὰρ πολιτείᾳ οὐ ζηλούσῃ τοὺς τῶν πέλας νόμους, παράδειγμα δὲ μᾶλλον αὐτοὶ ὄντες τινὶ, ἢ μιμούμενοι ἑτέρους. καὶ ὄνομα μὲν, διὰ τὸ μὴ ἐς ὀλίγους ἀλλ' ἐς πλείονας οἰκεῖν, δημοκρατία κέκληται· μέτε-

1. Ἐπιτηδεύσεως] πράξεως. (λ. Ἀύγ.) — 3. Εἶμι] πορεύσομαι. (Βασ.) — 4. Οὐκ ἂν ἀπρεπῆ λεχθ.] οὐκ ἂν ἔξω τοῦ προσήκοντος λεχθῆναι. (λ. Ἀύγ.) — 5. Τὸν πάντα ὅμιλον] σχῆμά ἐστιν, ἀντὶ τοῦ παντὶ τῷ ὁμίλῳ.

λζ'. 7. Χρώμεθα γάρ] τὸ δεύτερον κεφάλαιον τοῦ ἐγκωμίου, ἡ ἀγωγή. (Κασσ. Ἀύγ.) — Οὐ ζηλούσῃ] οὐ μιμουμένῃ. — Τοὺς τῶν πέλας νόμους] αἰνίττεται τοὺς τῶν Λακεδαιμονίων, οὓς Λυκοῦργος ἔγραψε, μιμησάμενος τοὺς Κρητῶν καὶ Λιγυκτίων νόμους. [καὶ τῶν ἄλλων τὰ πλείω πρὸς Λακεδαιμονίους. Ῥοσιγ.] — 9. Ὄνομα μὲν — —] ἐπειδὴ φανῦλον δοκεῖ ἡ δημοκρατία, καὶ ὀρᾷ τοὺς Λάκωνας σεμνυνομένους ἐπὶ τῇ ἀριστοκρατίᾳ, ἐπάγει λέγων ὅτι τῷ μὲν ὀνόματι δημοκρατία, τῷ δὲ ἔργῳ ἀριστοκρατία ἐστὶν ἡμῶν ἡ πολιτεία.

θον ἐπ' αὐτά, et ἀπὸ οἵας τε, et ἐπακοῦσαι αὐτῶν." WASS. „Desiderantur etiam in Dion. haec, καὶ μεθ' οἵας πολιτείας· pro τρόπων ἐξ οἵων in eo est τρόπων ἐξ ὧν, et λεχθῆναι δεῖν αὐτῶν." DUK. Add. Greg. Cor. ad Hermog. p. 938.

Ἦλθον Cass. Aug. Cl. H. Vat. Dion. Vulgo (Haack. Bekk.) ἤλθομεν. Cf. I. 1. p. 275. sq.

Ἐξ οἵων om. Reg. (G.)

Μεγάλα. H. μεγάλων, ᾱ s. ων al. man.

Ἀπρεπῆ. Marg. Ald. Vin. ἀπρεπῶς.

Ξύμφορον. D. ξύμφονον.

Αὐτῶν ἐπακοῦσαι. Laur. E. m. Ar. Chr. Dan. Dion. ἐπακοῦσαι αὐτῶν.

Cap. XXXVII. Μᾶλλον αὐτοὶ ὄντες Cass. Aug. C. F. Pal. It. Vat. H. Reg. (G.) Gr. D. I. Laur. E. Mosqu. m. Ar. Chr. Dan. Haack. Bekk. Vulgo αὐτοὶ μᾶλλον ὄντες. Marg. Steph. μᾶλλον ὄντες αὐτοί.

Τινί Cass. Aug. Cl. C. Pal. It. Vat. Reg. cod. Bas. Gr. (int. vers. etiam Dan.) Haack. Bekk. Vulgo τισίν. Pluralis huius pronom. pro singulari similiter a librariis illatus erat I, 37, 3.

Ἢ ἑτέρους. I. καὶ ἑτ.

Ἀλλ' ἐς. Cod. Bas. ἀλλ' ἐπί.

Πλείονας. E. πλέονας.

Οἰκεῖν. Gottleb. ex Cl. (in cuius tamen marg. scribitur οἰκεῖν,) Ar. Chr. Dan. recepit

Digitized by Google

καὶ τὸν Περδίκκαν τοῖς Ἀθηναίοις, καὶ Θέρμην αὐτῷ ἔπεισεν ἀποδοῦναι. ξυνεστράτευσέ τ' εὐθὺς Περδίκκας ἐπὶ Χαλκιδέας μετ' Ἀθηναίων καὶ Φορμίωνος. 7. οὕτω μὲν Σιτάλκης τε ὁ Τήρεω, Θρᾳκῶν βασιλεὺς, ξύμμαχος ἐγένετο Ἀθηναίοις, καὶ Περδίκκας ὁ Ἀλεξάνδρου, Μακεδόνων βασιλεύς.

(ξ'. Ἀθηναῖοι Σόλλιον καὶ Ἄστακον αἱροῦσι, καὶ Κεφαλληνίαν προσάγονται.)

ἰδ. κεφ. κέ. λ'. Οἱ δ' ἐν ταῖς ἑκατὸν ναυσὶν Ἀθηναῖοι, ἔτι ὄντες περὶ Πελοπόννησον, Σόλλιόν τε Κορινθίων πόλισμα αἱροῦσι, καὶ παραδιδόασι Παλαιρεῦσιν Ἀκαρνάνων μόνοις τὴν γῆν καὶ πόλιν νέμεσθαι· καὶ Ἄστακον, ἧς Εὔαρχος ἐτυράννει, λαβόντες κατὰ κράτος, καὶ ἐξελάσαντες αὐτὸν, τὸ χωρίον ἐς τὴν ξυμμαχίαν προσεποιήσαντο. ἐπί τε Κεφαλληνίαν τὴν νῆσον προσπλεύσαντες, προσηγάγοντο ἄνευ μάχης. κεῖται δὲ ἡ Κεφαλληνία κατὰ Ἀκαρνανίαν καὶ Λευκάδα, τετράπολις οὖσα, Παλῆς,

1. *Θέρμην*] εἶχον γὰρ αὐτὴν Ἀθηναῖοι, ἐκ πολιορκίας κρατοῦντες.

λ'. 8. *Σόλιον*] τὸ Σόλιον πόλισμα τῆς ἠπείρου ἐστὶν ἐν τῇ Ἀκαρνανίᾳ. — 10. *Ἄστακον*] πόλις Ἀκαρνανίας. (λ. Αὐγ.) — 12. *Αὐτὸν*] τὸν τύραννον. (λ. Αὐγ.) — 14. *Προσηγάγοντο*] ἐχειρώσαντο. (λ. Αὐγ.)

6. *Τοῖς Ἀθην.* Τοῖς om. m. Ar. Chr. Dan.

Αὐτῷ. Mosqu. Ar. Chr. Dan. αὐτοῖς.

Ἀποδοῦναι. Reg. δοῦναι, rec. man. emend. ἀποδ.

Ξυνεστράτευσε. Laur. E. Vind. ξυνεστράτευε. Statim pro τ' cod. Bas. δ'

7. *Σιτάλκης τε.* Posterius de. E.

Μακεδόνων. Dan. *Μακεδόνος.*

Cap. XXX. *Ταῖς.* I. τοῖς.

Σόλλιον Laur. E. Vind. m. Chr. Haack. Bekk. atque sic a Thuc. scriptum fuisse testatur Steph. Byz. Add. I. 2. p. 155. Vulgo *Σόλιον.*

Παλαιρεῦσιν Cass. Cl. C. F. It. Vat. H. Reg. (G.) cod. Bas. Haack. Bekk. cf. Strab. l. X. p. 459. Male vulgo *Παλιρεῦσιν.*

Ἄστακον. Reg. (G.) Dan. *Ἀστακτον.* Vat. *Ἀσταχον.* Haec male; accentus tantum nominis non prorsus certus. Cf. I. 2. p. 156.

Προσεποιήσαντο. E. ἐποιήσαντο.

2. *Κεφαλληνίαν.* Pal. Laur. Ar. *Κεφαληνίαν*, ut etiam paulo post. At vid. I. 2. p. 152. sq.

Παλῆς Pal. (in quo εῖς rec. man. superscr.) Bekk. Vulgo *Παλλῆς.* Aug. cod. Bas. Gr. Mosqu. *Παλῆς.* Aut hoc aut *Παλῆς* etiam It. Vat. H. D. I.

Digitized by Google

Κράνιοι, Σαμαῖοι, Πρόναιοι. 3. ὕστερον δ' οὐ πολλῷ ἀνεχώρησαν αἱ νῆες ἐς τὰς Ἀθήνας.

(ζ. Ἐκβολὴ Ἀθηναίων ἐς τὴν Μεγαρίδα, ἥτις ὕστερον κατὰ ἔτος ἐγένετο.)

λά. Περὶ δὲ τὸ φθινόπωρον τοῦ θέρους τούτου Ἀθη- Ὀλυμπ. πζ'. ἔτ. β'. πρὸ Χρ. υλά. μ. Σεπτ. τελ.
ναῖοι πανδημεὶ, αὐτοί καὶ οἱ μέτοικοι, ἐξέβαλον ἐς τὴν Μεγαρίδα, Περικλέους τοῦ Ξανθίππου στρατηγοῦντος. καὶ οἱ περὶ Πελοπόννησον Ἀθηναῖοι ἐν ταῖς ἑκατὸν ναυσὶν, (ἔτυχον γὰρ ἐν Αἰγίνῃ ὄντες,) ἐπ' οἴκου ἀνακομιζόμενοι, ὡς ἤσθοντο τοὺς ἐκ τῆς πόλεως πανστρατιᾷ ἐν Μεγάροις ὄντας, ἔπλευσαν παρ' αὐτούς, καὶ ξυνεμίχθησαν. 2. στρατόπεδόν τε μέγιστον δὴ τοῦτο ἀθρόον Ἀθηναίων ἐγένετο, ἀκμαζούσης ἔτι τῆς πόλεως, καὶ οὔπω νενοσηκυίας. μυρίων γὰρ ὁπλιτῶν οὐκ ἐλάσσους ἦσαν

1. Σαμαῖοι] Σάμιος ὁ ἀπὸ Σάμου, Σαμαῖος ὁ ἀπὸ Σάμης. λα'. 6. Καὶ οἱ περὶ Πελοπόννησον] οἱ περιπλέοντες κατὰ τῆς Πελοποννήσου. (λ. Αὐγ.) — Ἑκατὸν νανσίν] ὄντες δηλονότι. — 7. Ἔτυχον γὰρ ἐν Αἰγίνῃ] μεταξυλογία. — 8. Τοὺς ἐκ τῆς πόλεως πανστρατιᾷ] τοὺς συμπολίτας αὐτῶν μετὰ παντὸς τοῦ στρατεύματος. — 9. Ἔπλευσαν παρ' αὐτούς] πλῷ χρησάμενοι ἦλθαν εἰς αὐτούς. — 11. Ἀκμαζούσης —] ἀκμὴν καὶ αὔξησιν ἐχούσης τῆς πόλεως, καὶ οὔπω ὑπὸ νόσου ἐλαττωθείσης. (λ. Αὐγ.)

Παλεῖς Cass. Cl. Reg. E. Vind. Ar. Chr. Dan. Haack. Uno $\overline{\lambda}$ urbem scribendam esse certum est. Vid. I. 2. p. 153.

Κράνιοι. Vind. Κραναῖοι. Ar. Chr. Κρανεῖοι. Κράνειοι Etym. M. in Κεφαλληνία. add. Tzetz. At Κράνιοι cum plurimis et optimis codd. Strab. Hesych. et Steph. Byz. (cuius codd. Κράνιον.)

Σαμαῖοι. Laur. E. Σάμιοι.

Πρόναιοι. Nominis scriptura dubia. Cass. Cl. cod. Bas. Gr. Haack. Προνναῖοι, Pal. Reg. (G.) Ald. Flor. Πρόνναιοι. Alterutra ratione etiam C. F. It. Vat. et in E. alterum ν saltem al. man. adnot. Προναῖοι Vind. Mosqu. Ar. Chr. Dan. Bekk. Scriptores alii aliter appellant. Cf. I. 2. p. 153. Vulgo Πρόναιοι. Sed accentum circumflexum esse debere docent regulae ab Arcadio p. 48. propositae. (cf. Etym. in ἀγελαῖος.)

Cap. XXXI. Γὰρ ἐν. Vulgo γὰρ ἤδη ἐν, sed ἤδη om. Cass. Aug. Cl. C. F. Pal. Vat. Reg. (G.) Mosqu., et uncis inclusit Haack. quos rursus sustulit Bekk. Caeterum ἐν s. v. al. man. E. Antea cum Schol. post ναυσίν, non cum Gottl. post Ἀθηναῖοι, distinximus. Cf. not. et de articulo non repetito Krueg. l. l. p. 153.

2. Ἀθρόον. Gr. ἀθρόων.

Καὶ οὔπω s. v. G.

Digitized by Google

αὐτοὶ Ἀθηναῖοι· (χωρὶς δὲ αὐτοῖς οἱ ἐν Ποτιδαίᾳ τριςχίλιοι ἦσαν·) μέτοικοι δὲ ξυνεσέβαλον οὐκ ἐλάσσους τριςχιλίων ὁπλιτῶν· χωρὶς δὲ ὁ ἄλλος ὅμιλος ψιλῶν οὐκ ὀλίγος. δῃώσαντες δὲ τὰ πολλὰ τῆς γῆς, ἀνεχώρησαν. 3. ἐγένοντο δὲ καὶ ἄλλαι ὕστερον ἐν τῷ πολέμῳ κατὰ ἔτος ἕκαστον ἐσβολαὶ Ἀθηναίων ἐς τὴν Μεγαρίδα, καὶ ἱππέων καὶ πανστρατιᾷ, μέχρι οὗ Νίσαια ἑάλω ὑπ' Ἀθηναίων.

(ἡ Ἀταλάντη ὑπ' Ἀθηναίων τειχίζεται.)

λβ'. Ἐτειχίσθη δὲ καὶ Ἀταλάντη ὑπ' Ἀθηναίων φρούριον τοῦ θέρους τούτου τελευτῶντος, ἡ ἐπὶ Λοκροῖς τοῖς Ὀπουντίοις νῆσος, ἐρήμη πρότερον οὖσα, τοῦ μὴ λῃστὰς ἐκπλέοντας ἐξ Ὀποῦντος καὶ τῆς ἄλλης Λοκρίδος κακουργεῖν τὴν Εὔβοιαν. 2. ταῦτα μὲν ἐν τῷ θέρει τούτῳ μετὰ τὴν Πελοποννησίων ἐκ τῆς Ἀττικῆς ἀναχώρησιν ἐγένετο. 117. μ. Σεπτ. τελ.

1. *Αὐτοὶ Ἀθηναῖοι*] οἱ ἀκραιφνεῖς καὶ οὐ ξένοι. — 4. *Τὰ πολλὰ τῆς γῆς*] τὰ πολλὰ, μέρη δηλονότι, τῆς γῆς, τῆς Μεγαρίδος. (λ. *Αὐγ.*) — 7. *Νίσαια*] ἐπίνειον Μεγάρων.

λβ'. 9. *Ἀταλάντη*] ἡ νῦν λεγομένη Κασανδρία. (*Bas.*)

Αὐτοὶ Ἀθην. Cod. Bas. Laur. E. Ar. Chr. et Aug. a man. rec. *αὐτοὶ οἱ Ἀθ.* Quo non opus. Vid. quae in script. discrep. adnotata sunt II, 11, 1.

Αὐτοῖς. G. *αὐτῆς.*

Ξυνεσέβαλον. Gr. Vind. Ar. Chr. *ξυνέβαλον.*

Ὀλίγος. Cl. *ὀλίγων.* Gr. *ὀλίγῳ*, et ex emend. *ὀλίγος.*

3. *Ἐγένοντο.* Vind. *ἐγένετο.*

Ἄλλαι. Quod vulgo subiicitur *καλαί*, de. Cass. Cl. C. F. Pal. It. Vat. H. Reg. (G.) cod. Bas. Gr. D. Laur. Vind. Mosqu. m. Haack. Bekk.

Πανστρατιᾷ. Vind. *πανστρατιά.*

Μέχρι. Cass. C. m. Haack. Bekk. Vulgo *μέχρις.* Vid. I. 1. p. 215.

Cap. XXXII. *Μετὰ τὴν Πελοπ.* Aug. C. F. It. Vat. H. G. cod. Bas. et alii plures; nam *μετὰ τῶν Π.* (quod B. exhibet,) in Duk. edit. typothetarum incuria irrepsisse videtur, quum *μετὰ τὴν Π.* suppeditent Ald. Bas. Steph. *Μετὰ τὴν τῶν Π.* (ut ex emend. legitur in cod. Bas.) temere scripsit Gottl. *Τῶν* uncis inclusit Haack., expunxit Bekk. Sic *μετὰ τὴν Μήδων ἀναχώρησιν* I, 93.

Digitized by Google

(Β. Χειμών. — Κεφ. μ'. 1) *Κορίνθιοι Εὔαρχον ἐς Ἄστακον κατάγουσι, καὶ ἐς Κεφαλληνίαν ἀποβάντες νικῶνται.*)

Ὀλ. πζ'. ἔτ. β'. πρὸ Χρ. υλά'. ἀπὸ μην. Οκτ. ἀρχ.

λγ'. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Εὔαρχος ὁ Ἀκαρνὰν, βουλόμενος ἐς τὴν Ἄστακον κατελθεῖν, πείθει Κορινθίους τεσσαράκοντα ναυσὶ καὶ πεντακοσίοις καὶ χιλίοις ὁπλίταις ἑαυτὸν κατάγειν πλεύσαντας· καὶ αὐτὸς ἐπικούρους τινὰς προεμισθώσατο. ἦρχον δὲ τῆς στρατιᾶς Εὐφαμίδας τε ὁ Ἀριστωνύμου, καὶ Τιμόξενος ὁ Τιμοκράτους, καὶ Ξύμαχος ὁ Χρύσιδος. 2. καὶ πλεύσαντες κατήγαγον· καὶ τῆς ἄλλης Ἀκαρνανίας τῆς περὶ θάλασσαν ἔστιν ἃ χωρία βουλόμενοι προσποιήσασθαι, καὶ πειραθέντες, ὡς οὐκ ἠδύναντο, ἀπέπλεον ἐπ' οἴκου. 3. σχόντες δ' ἐν τῷ παράπλῳ ἐς Κεφαλληνίαν, καὶ ἀπόβασιν ποιησάμενοι ἐς τὴν Κρανίων γῆν, ἀπατηθέντες ὑπ' αὐτῶν ἐξ ὁμολογίας τινὸς, ἄνδρας τε ἀποβάλλουσι σφῶν

λγ'. 1. *Εὔαρχος*] ὁ τύραννος Ἀστάκου. — 3. *Τῆς στρατιᾶς*] τῶν Κορινθίων δηλονότι. (λ. Αὐγ.) — 8. *Κατήγαγον*] τὸν Εὔαρχον δηλονότι. (λ Αὐγ.) — 9. *Προσποιήσασθαι*] οἰκειοποιήσασθαι. — 10. *Πειραθέντες*] πεῖραν σχόντες. (λ. Αὐγ.) — *Οὐκ ἠδύναντο*] λαβεῖν δηλονότι. — 12. *Ὑπ' αὐτῶν*] τῶν Κρανίων δηλονότι. — 13. *Ἀποβάλλουσι*] ζημιοῦνται. (λ. Αὐγ.)

Cap. XXXIII. *Ἄστακον*. Dan. rursus *Ἄστακτον*, ut cap. 30.

Ἐπικούρους. B. *ἐπικούρεις*.

Προεμισθώσατο. Marg. Steph. *ἐμισθ.*

Ἦρχον. Laur. E. *ἤρχοντο*.

2. *Ἠδύναντο*. D. Ar. Chr. *ἐδύν.* Cf. I. 1. p. 226.

Εὐφαμίδας. Pal. *Εὐφανίδας*.

Χρύσιδος. Hoc nomen de viris Heilmanno inusitatum videtur, unde *Χρυσίδου* conflicit.

Ἀπέπλεον. m. Ar. Chr. Dan. *ἀπέπλευσαν*, in m. tamen *εον* supra scr. D. *ἐπέπλεον*. E. *ἔπλεον ἀπ. ν.*

3. *Σχόντες*. „Thom. Mag. in *ἐπέσχον*, *Σχόντες δὲ ἐν τῷ παράπλῳ ἐς Κεφαλληνίαν*. Male pro *Κεφαλλ.*“ DUK. *Κεφαλληνίαν* etiam Pal. C. E, Vid. tamen I. 2. p. 152. sq.

Κρανίων. Ar. Chr. Dan. *Κρανείων* Mosqu. *Κρανίαν*. Vind. *Κρανωνίων*. „*Cranonii* pro *Cranii* legebatur quondam apud Liv. XXXVIII, 28. Emendavit ibi Sigonius.“ DUK. Cf. supra c. 30, 2.

Ἀπατηθέντες. D. *ἀπανηθέντες*.

Ἀποβάλλουσι. F. *ἀποβάλουσι*.

Digitized by Google

αὐτῶν, ἐπιθεμένων ἀπροσδοκήτοις τῶν Κρανίων, καὶ βιαιότερον ἀναγαγόμενοι, ἐκομίσθησαν ἐπ' οἶκου.

(2. Ταφὴ δημοσία ἐν Ἀθήναις τῶν ἐν τῷ πολέμῳ ἀποθανόντων μετὰ τοῦ ἐπιταφίου λόγου. — μϛ'. ά) Ἡ ταφὴ αὐτή. λδ'.)

λδ'. Ἐν δὲ τῷ αὐτῷ χειμῶνι οἱ Ἀθηναῖοι, τῷ πατρίῳ νόμῳ χρώμενοι, δημοσίᾳ ταφὰς ἐποιήσαντο τῶν ἐν τῷδε τῷ πολέμῳ πρῶτον ἀποθανόντων, τρόπῳ τοιῷδε. 2. τὰ μὲν ὀστᾶ προτίθενται τῶν ἀπογενομένων, πρότριτα σκηνὴν ποιήσαντες, καὶ ἐπιφέρει τῷ αὐτοῦ ἕκαστος ἤν τι βούληται. 3. ἐπειδὰν δὲ ἡ ἐκφορὰ ᾖ, λάρνακας κυπαρισσίνας ἄγουσιν ἅμαξαι, φυλῆς ἑκάστης μιαν· ἔνεστι

λδ'. 3. Τῷ πατρίῳ νόμῳ χρώμενοι] [τὸν πάτριον νόμον πληροῦντες περὶ τῆς τῶν Ἀθηναίων ταφῆς, (λ. Αὐγ.)] δηλονότι καύσαντες τὰ σώματα· οὗτος γὰρ ἦν νόμος Ἀθηναίοις καὶ πᾶσιν Ἕλλησι. — 5. Τρόπῳ τοιῷδε] τῷ δηθησομένῳ. (λ. Αὐγ.) — 6. Πρότριτα] πρὸ τρίτης ἡμέρας τῆς ἐκκομιδῆς, ἢ ἐπὶ ἡμέρας τρεῖς. ἄμεινον δὲ τὸ πρῶτον. — 7. Ἐπιφέρει] ἐναγίζει. — 8. Κυπαρισσίνας] διὰ τὸ ἄσηπτον εἶναι. (λ. Αὐγ.) — 9. Ἔνεστι] τῇ λάρνακι δηλονότι. (λ. Αὐγ.)

Ἀπροσδοκήτοις Cass. Aug. C. It. H. Reg. (G. ubi in marg. man. rec. adnot. γρ. ἀπροσδοκήτως,) Gr. Mosqu. Haack. Bekk. Vulgo ἀπροσδοκήτως. Cl. ἀπροσδοκήτους. Cod. Bas. ἀπροσδόκητοι.

Κρανίων. Laur. E. Vind. Ar. Chr. Κρανωνίων, ut Vind. iam paucis versibus ante.

Ἀναγαγόμενοι. C. Vat. E. Mosq. Ar. Chr. Dan. ἀναγόμενοι. H. ἀνγαγόμ., α s. αν. al. man.

Ἐκομίσθησαν. E. ἀνεκομίσθ. Utrumque dicit Thuc.

Cap. XXXIV. Οἱ Ἀθην. Οἱ de. Laur. E. m. Ar. Chr. Dan.

Δημοσίᾳ. Ar. Chr. Dan. δημοσίας.

Ταφάς. Cl. τὰς ταφάς.

2. Προτίθενται. Marg. Ald. Vin. προτιθέντες.

Αὐτοῦ. Cass. Cl. Pal. Reg. Gr. αὐτ. cf. Farr. discrep. script. D. ἑαυτ.

Βούληται. Pal. βούλεται.

3. Δὲ ἡ Cass. Aug. Cl. Pal. It. Vat. H. Reg. (G.) Gr. D. I. Laur. E. Ar. Chr. Dan. Ald. Flor. Bas. Steph. 1. Haack. Bekk. Vulgo δὲ καὶ ἡ.

Λάρνακας κυπαρισσίνας. „Hunc locum respicit et illustrat Theodor. Therapeut. 8. καὶ ὁ Θουκυδίδης — τῶν ἐν τῷ Πελοποννησιακῷ πολέμῳ τετελευτηκότων διηγεῖται τὸ γέρας, καὶ ὅπως μὲν τὰ εὑρηθέντα σώματα τῶν προσηκόντων ἕκαστος ἠξίου τάφου, ἠλίκην δὲ τοῖς ἥκιστα εὑρηθεῖσιν [εὑρεθεῖσιν] ἐμηχανῶντο τιμὴν, κυπαριττίνας μὲν κατασκευάζοντες λάρνακας. Vid. Gallaei Comment. in Orac. Sibyll. p. 100." HUDS.

Ἅμαξαι. Pal. ἅμ. Cf. script. discr. II, 3, 3. Reg. (G.) H. post ἅμ. pergunt οὖσαι φυλῆς, et Reg. (G.) deinde μία habet pro μίαν.

Digitized by Google

δὲ τὰ ὀστᾶ ἧς ἕκαστος ἦν φυλῆς. μία δὲ κλίνη κενὴ φέρεται, ἐστρωμένη, τῶν ἀφανῶν, οἳ ἂν μὴ εὑρεθῶσιν ἐς ἀναίρεσιν. 4. ξυνεκφέρει δὲ ὁ βουλόμενος καὶ ἀστῶν καὶ ξένων, καὶ γυναῖκες πάρεισιν αἱ προσήκουσαι ἐπὶ τὸν τάφον, ὀλοφυρόμεναι. 5. τιθέασιν οὖν ἐς τὸ δημόσιον σῆμα, ὅ ἐστιν ἐπὶ τοῦ καλλίστου προαστείου τῆς πόλεως, καὶ ἀεὶ ἐν αὐτῷ ϑάπτουσι τοὺς ἐκ τῶν πολέ-
118. μων, πλήν γε τοὺς ἐν Μαραθῶνι· ἐκείνων δὲ διαπρεπῆ τὴν ἀρετὴν κρίναντες, αὐτοῦ καὶ τὸν τάφον ἐποίησαν. 6. ἐπειδὰν δὲ κρύψωσι γῆ, ἀνὴρ ἡρημένος ὑπὸ τῆς πόλεως, ὃς ἂν γνώμῃ τε δοκῇ μὴ ἀξύνετος εἶναι, καὶ ἀξιώσει προήκῃ, λέγει ἐπ' αὐτοῖς ἔπαινον τὸν πρέποντα. μετὰ δὲ τοῦτο ἀπέρχονται. 7. ὧδε μὲν ϑάπτουσι· καὶ διὰ παντὸς τοῦ πολέμου, ὁπότε ξυμβαίη αὐτοῖς, ἐχρῶντο τῷ νόμῳ. 8. ἐπὶ δ' οὖν τοῖς πρώτοις τοῖσδε Περικλῆς

5. *Τὸ δημόσιον σῆμα*] *τὸ καλούμενον Κεραμεικόν.*

Δὲ τά Cass. Aug. Cl. C. F. Pal. It. Vat. H. Reg. (G.) Gr. I. Laur. Mosqu. Schol. Haack. Bekk. Vulgo *δὲ καὶ τά.*

4. *Ξυνεκφέρει.* Mosqu. *ξυνεμφέρει.*

Ἀστῶν. Ar. Chr. Dan. *ἀστικῶν.*

Πάρεισιν. Laur. *παρεῖσαν.* E. *παρῆσιν, ει s. η* al. man. Ar. Chr. Dan. Ald. Flor. ed. Bas. (non cod. Bas.) Steph. 1. *παρῆσαν.*

Ἐπί. Ar. *κατά.* m. Chr. Dan. *παρά.*

5. *Προαστείου.* In Pal. fuit aliquando *προαστίου*, ut passim apud tragicos exaratur.

Ἐκ τῶν πολ. D. *ἐν τῶν πολ.*

Ἐκείνων δέ. Ar. Chr. Dan. *ἐκ γάρ.*

Διαπρεπῆ τὴν ἀρετ. Ar. Chr. Dan. *τὴν ἀρετ. διαπρ.*

6. *Ἐπειδὰν δέ.* Mosqu. *ἐπειδὰν γάρ.*

Γῇ. Vat. H. Reg. *τῇ γῇ*, frustra.

Πόλεως. Post hoc voc. in marg. Ald. Vinar. est *ἀξιώματι*, ex seqq.

Γνώμῃ τε. Τε s. v. ead. man. C.

Δοκῇ. Vat. H. Reg. (G.) Mosqu. vitiose *δοκεῖ.*

Ἀξιώσει Cass. Aug. Cl. C. (nisi quod hic *ἀξιόσει* scrib.) F. Pal. It. Vat. H. Reg. (G.) cod. Bas. a pr. man. (nam corrector *ἀξιώματι* dedit,) Gr. Laur. D. I. E. Vind. Mosqu. marg. Ald. Vin. et marg. Steph. Haack. Vulgatam (et Greg. Cor. ad Hermog. p. 897.) *ἀξιώματι*, illius interpretationem, male restituit Bekk. Vid. not.

Προήκῃ. Cass. Aug. Pal. (Reg. ?) Gr. D. *προήκει.* Cod. Bas. *προσήκῃ.* C. It. Vat. H. G. (?) I. Mosqu. marg. Ald. Vin. *προσήκει.* In Dan. pro *προήκῃ* man. rec. int. vers. scrips. *προσίκει.*

Πρέποντα. Mosqu. Ar. Chr. Dan. *προσήκοντα.*

Ἀπέρχονται. E. *ἀπέρχεται.*

7. *Ξυμβαίη.* Vind. m. *ξυμβαίνει.*

8. *Ἐπί.* Laur. *ἐπεί.*

Δ' οὖν. Gr. *γοῦν.*

Digitized by Google

ὁ Ξανθίππου ῥηθὲν λέγειν· καὶ ἐπειδὴ καιρὸς ἐλάμβανε, προελθὼν ἀπὸ τοῦ σήματος ἐπὶ βῆμα ὑψηλὸν πεποιημένον, ὅπως ἀκούοιτο ὡς ἐπὶ πλεῖστον τοῦ ὁμίλου, ἔλεγε τοιάδε.

(β'. *Λόγος ἐπιτάφιος Περικλέους.* — *Κεφ. μέ'. Προοίμιον Κεφ. λέ'.*)

λέ'. „Οἱ μὲν πολλοὶ τῶν ἐνθάδε εἰρηκότων ἤδη ἐπαινοῦσι τὸν προσθέντα τῷ νόμῳ τὸν λόγον τόνδε, ὡς καλὸν ἐπὶ τοῖς ἐκ τῶν πολέμων θαπτομένοις ἀγορεύεσθαι αὐτόν. ἐμοὶ δ' ἀρκοῦν ἂν ἐδόκει εἶναι, ἀνδρῶν ἀγαθῶν ἔργῳ γενομένων, ἔργῳ καὶ δηλοῦσθαι τὰς τιμάς, (οἷα καὶ νῦν περὶ τὸν τάφον τόνδε δημοσίᾳ παρασκευα-

λέ'. 5. Οἱ μὲν πολλοί — —] οἱ μὲν πολλοί, φησὶ, τῶν ἐνθάδε ἤδη εἰρηκότων ἐπαινοῦσι τὸν νομοθέτην τὸν προσθέντα ἐν τῷ ἑαυτοῦ νόμῳ τὸν λόγον τὸν κελεύοντα λέγεσθαι τὸν ἐπιτάφιον ἐπὶ τοῖς θαπτομένοις δημοσίᾳ. (λ. *Λύγ.*) — *Τῶν ἐνθάδε εἰρηκότων*] τῶν ῥητόρων δηλονότι. — 6. *Τὸν προσθέντα*] τὸν νομοθέτην, δηλονότι τὸν Σόλωνα. — *Τῷ νόμῳ τὸν λόγον*] νόμος, ὅτι δεῖ τοὺς ἐκ τῆς πόλεως ἀνῃρημένους δημοσίᾳ ταφῆς ἀξιοῦν. προστιθέασι δὲ τῷ τοιούτῳ νόμῳ τὸ δεῖν καὶ ἐπιταφίους ἐπαίνους εἰς αὐτοὺς λέγειν, ὃ δὴ καὶ λόγον ὁ ῥήτωρ ἐνταῦθα καλεῖ, καὶ προσθήκην νόμου προσαγορεύει. (*Βασ.*)

Καιρός. Gl. (in cuius marg. καιρός,) It. Vat. H. G. Bekk. καιρόν. At vid. not.

, *Ἐπὶ πλεῖστον.* Ar. ἐπιτοπλεῖστον.

Cap. XXXV. *Οἱ μὲν — ἀγορεύεσθαι αὐτόν.* Dion. p. 113. Reisk. [p. 282. Schaef. p. 123. Goell.] Laur.

Εἰρηκότων ἤδη Cass. Aug. Pal. It. Vat. H. Reg. (G.) Bekk. Vulgo (et Haack.) ἤδη εἰρηκ. et ita quidem Dion., sed in eo quoque liber Victorii ἤδη transponit.

Τὸν λόγον τόνδε. Ald. Dion. τόνδε τὸν λόγον.

Ὡς καλόν. Quum Dionysius de cretico in his verbis loquatur, Goellerus Uptonum secutus ὡς καλόν γ' legi vult. Sed Schaeferus: „Si post καλόν", inquit, „ponas signum commatis, attendasque vim accentus in huius vocis syllaba posteriore, ὡς καλόν proxime accedere ad mensuram cretici facile sentias." Proximum ἐπί om. Gl.

Τῶν πολέμων. Τῶν om. D. et Dion. edd. vett. ante Sylb., qui ex libris addidit.

Πολέμων. Aug. It. Reg. πόλεων, postremus tamen ex emendat. rec. man. πολέμων.

Ἀρκοῦν ἄν Cass. Aug. Pal. It. H. Reg. (G.) Gr. I. Laur. E. Mosqu. m. Ar. Chr. Dan. Schol. Greg. Cor. ad Hermog. p. 897. Haack. Bekk. Vulgo ἂν ἀρκοῦν.

Ἔργῳ καὶ δηλ. Καί de. Gr., post δηλ. collocat E. Greg. Cor. l. d.

Τόνδε de. Chr. Dan.

Digitized by Google

σθέντα ὁρᾶτε,) καὶ μὴ ἐν ἑνὶ ἀνδρὶ πολλῶν ἀρετὰς κινδυνεύεσθαι, εὖ τε καὶ χεῖρον εἰκόνι πιστευθῆναι. 2. χαλεπὸν γὰρ τὸ μετρίως εἰπεῖν, ἐν ᾧ μόλις καὶ ἡ δόκησις τῆς ἀληθείας βεβαιοῦται. ὅ τε γὰρ ξυνειδὼς καὶ εὔνους ἀκροατὴς τάχ' ἄν τι ἐνδεεστέρως πρὸς ἃ βούλεταί τε καὶ ἐπίσταται νομίσειε δηλοῦσθαι, ὅ τε ἄπειρος ἔστιν ἃ καὶ πλεονάξεσθαι, διὰ φθόνον, εἴ τι ὑπὲρ τὴν ἑαυτοῦ φύσιν ἀκούοι. μέχρι γὰρ τοῦδε ἀνεκτοὶ οἱ ἔπαινοί εἰσι περὶ ἑτέρων λεγόμενοι, ἐς ὅσον ἂν καὶ αὐτὸς ἕκαστος οἴηται ἱκανὸς εἶναι δρᾶσαί τι ὧν ἤκουσε· τῷ δ' ὑπερβάλλοντι αὐτῶν φθονοῦντες ἤδη καὶ ἀπιστοῦσιν. 3. ἐπειδὴ δὲ
119. τοῖς πάλαι οὕτως ἐδοκιμάσθη ταῦτα καλῶς ἔχειν, χρὴ καὶ ἐμὲ ἑπόμενον τῷ νόμῳ πειρᾶσθαι ὑμῶν τῆς ἑκάστου βουλήσεώς τε καὶ δόξης τυχεῖν ὡς ἐπιπλεῖστον."

1. *Κινδυνεύεσθαι — πιστευθῆναι*] ἀπὸ κοινοῦ τὸ, ἐμοὶ δὲ ἀφανῶν ἂν ἐδόκει. ἀντὶ τοῦ, καὶ μὴ ἐν πολλῷ γίνεσθαι τὸ πιστευθῆναι. — 3. *Μετρίως*] συμμέτρως, ἀξίως. — *Ἡ δόκησης τῆς ἀληθείας*] περιφραστικῶς ἡ ἀλήθεια. — 4. *Ὁ τε γὰρ ξυνειδώς*] κατασκευὴ τοῦ προοιμίου. — 6. *Ὁ τε ἄπειρος*] προσυπακουστέον, καὶ μὴ εὔνους. — *Ἔστιν ἃ καὶ πλεονάξεσθαι*] κατὰ κοινοῦ τὸ νομίσειεν. — 9. *Ἐς ὅσον*] ἕως οὗ. (λ. *Λύγ.*) — 11. *Αὐτῶν*] τῶν ἐπαίνων δηλονότι. (λ. *Λύγ.*) — *Ἀπιστοῦσιν*] λείπει ἕκαστος· ἔστι δὲ σχῆμα. — 12. *Ἐδοκιμάσθη*] ἐκρίθη. (λ. *Λύγ.*) — 14. *Βουλήσεώς τε καὶ δόξ.*] βουλήσεως μὲν πρὸς τὸ εὔνοια, δόξης δὲ πρὸς τὸ ἄπειρος. — *Τυχεῖν*] τυχεῖν εἶπεν ὡς ἀπὸ μεταφορᾶς τῶν τοξευόντων κατὰ τοῦ σκοποῦ. — *Ὡς ἐπὶ πλεῖστον*] τὸ ἐπὶ πλεῖστον κα-

Ὁρᾶτε. Greg. Cor. l. d. *ὁρᾶται.*

Ἐν ἑνί. *Ἐν* om. m. Ar. Chr. Dan. At vid. not.

2. *Ἡ δόκησις τῆς ἀληθείας.* „Laudat et Scholia deserib it Suid. in *δόκησις ἀληθ.*" DUK. Cf. Phav.

Τί ἐνδεεστέρως. Τί om. Chr. *τι καὶ ἐνδ.* praebet F.

Ἐπίσταται. G. *ἐπίστατε.*

Νομίσειε. Ar. Chr. Dan. *νομίσοι*, sed in marg. rec. man. script. *νομίσειε.*

Ὅ τε ἄπ. F. *ὅτι ἄπ.* m. Chr. *ὁ δὲ ἄπ.*

Ἑαυτοῦ. Laur. E. m. Ar. Chr. Dan. *αὐτοῦ.*

Μέχρι γάρ etc. Complures imitati sunt. Vid. not.

Εἰσί de. Reg. Apud Greg. Cor. l. d. *ἀνεκτοί* post *εἰσί* collocatur.

Ἂν καί. Ἂν om. I. et deinde habet *οἴεται.*

Τῷ δ' ὑπερβ. Cass. Aug. C. Pal. Reg. Gr. Vulgo *τῷ δὲ ὑπερβ.* Dionysii quidam codd. p. 798. *τὸ δὲ ὑπερβάλλον.*

Αὐτῶν. Cass. a pr. man. (deinde emend. *αὐτᾶν*,) Aug. C. It. Vat. cod. Bas. Gr. B. Laur. Vind. Mosqu. m. Ar. Chr. marg. Ald. Vin. *αὐτόν.* Greg. Cor. om. At vid. not.

Φθονοῦντες. Utrum post hoc voc. an post *ἤδη* virgula ponenda sit, ambigunt viri docti. Nobis cum Bekk. neutro loco necessaria visa est.

3. *Καὶ ἐμέ* om. Gr. *Ἐπιπλεῖστον.* Ar. *ἐπιτοπλ.*

Digitized by Google

(α'. Ἔπαινος τῶν προγόνων τῶν ἀποθανόντων. — Κεφ. λϛ'.)

λϛ'. „Ἄρξομαι δ' ἀπὸ τῶν προγόνων πρῶτον· δίκαιον γὰρ αὐτοῖς, καὶ πρέπον δὲ ἅμα, ἐν τῷ τοιῷδε τὴν τιμὴν ταύτην τῆς μνήμης δίδοσθαι. τὴν γὰρ χώραν ἀεὶ οἱ αὐτοὶ οἰκοῦντες, διαδοχῇ τῶν ἐπιγιγνομένων μέχρι τοῦδε ἐλευθέραν δι' ἀρετὴν παρέδοσαν. 2. καὶ ἐκεῖνοί τε ἄξιοι ἐπαίνου, καὶ ἔτι μᾶλλον οἱ πατέρες ἡμῶν· κτησάμενοι γὰρ πρὸς οἷς ἐδέξαντο ὅσην ἔχομεν ἀρχὴν, οὐκ ἀπόνως, ἡμῖν τοῖς νῦν προσκατέλιπον. 3. τὰ δὲ πλείω αὐτῆς αὐτοὶ ἡμεῖς οἵδε, οἱ νῦν ἔτι ὄντες μάλιστα ἐν τῇ καθεστηκυίᾳ ἡλικίᾳ, ἐπηυξήσαμεν, καὶ τὴν πόλιν τοῖς πᾶσι παρεσκευάσαμεν καὶ ἐς πόλεμον καὶ ἐς εἰρήνην αὐταρκεστάτην. 4. ὧν ἐγὼ τὰ μὲν κατὰ πολέμους ἔργα, οἷς ἕκαστα ἐκτήθη, ἢ εἴ τι αὐτοὶ ἢ οἱ πατέρες ἡμῶν βάρβαρον ἢ Ἕλληνα πόλεμον ἐπιόντα προθύμως ἠμυνάμεθα, μακρηγορεῖν ἐν εἰδόσιν οὐ βουλόμενος, ἐάσω· ἀπὸ

λῶς· οὐ γὰρ δυνατὸν πᾶσιν ὁμοίως ἀρέσκοντα λέγειν, ἀλλὰ καὶ μέσως πως, ἵνα μήτε φθόνον μήτε ψεῦδος δόξῃ λέγειν.

λϛ'. 2. Ἐν τῷ τοιῷδε] τῷ ἐπαίνῳ. (λ. Ἀύγ.) — 5. Ἐκεῖνοι] οἱ πρόγονοι. (λ. Ἀύγ.) — 7. Πρὸς οἷς] μεθ' ὧν. (λ. Ἀύγ.) — Οὐκ ἀπόνως] τινὲς εἰς τὸ οὐκ ἀπόνως ὑποσιζύγουσι. — 9. Αὐτῆς] τῆς ἀρχῆς δηλονότι. (λ. Ἀύγ.) — Ἡμεῖς] ταῦτα λέγει ὁ Περικλῆς διὰ τὴν Σάμον καὶ Εὔβοιαν, ἣν αὐτὸς τοῖς Ἀθηναίοις προσεκτήσατο. (λ. Κασσ.) — 12. Ὧν] πατέρων, ἢ πραγμάτων τῶν κατὰ πόλεμον ἡμῖν παρεσκευασμένων καὶ εἰρήνην. — 15. Ἐάσω] ἰστέον ὅτι διὰ τοῦτο αὐτὰ παραιτεῖται λέγειν, ἵνα μὴ ἀναγκασθῇ καὶ τὰ τῶν προκειμένων νεκρῶν εἰπεῖν οὐκ ἀξιόλογα ὄντα.

Cap. XXXVI. Δ' ἀπό Cass. Aug. C. Pal. Reg. Vulgo δὲ ἀπό. Πρέπον δέ. Δέ om. Gr. At vid. not.

Ταύτην. H. D. I. E. Vind. (qui simul τῆς om.) Ar. Chr. ταύτης.

2. Ἀεὶ οἱ αὐτοί. Laur. E. Ar. Chr. Dan. οἱ αὐτοὶ ἀεί.

Ἀπόνως. Incisum post ἀπόνως iubente Reiskio primus addidit Gottleb. Cf. not.

3. Πλείω Cass. Aug. C. F. Pal. It. H. Reg. (G.) Gr. I. Mosqu. Tus. Aem. Port. Schol. Haack. Bekk. Vulgo πλέω. Cf. I. 1. p. 223. ubi in nostro loco erratum.

Αὐτοὶ ἡμεῖς om. Gr.

Μάλιστα de. Dan. ubi in marg. adscript.

Ἐς εἰρήνην. Ἐς de. Bar.

4. Ἕκαστα post ἐκτήθη (pro quo B. ἐκτήσθη) collocat C.

Εἴ τι. Marg. Steph. εἴ τινα.

Ἢ οἱ. Ἢ s. v. al. man. C.

Βάρβαρον ἢ Ἑλλ. π. „Agnoscit Thom. Mag. in βαρβαρικός." WASS. Cf. not.

Ἡμυνάμεθα. E. ἠμυνόμ.

„Ἀπὸ — αὐτῶν Dion. Hal. p. 47. Sylb. [299. Reisk.] ubi ἡλ-

Digitized by Google

δὲ οἵας τε ἐπιτηδεύσεως ἦλθον ἐπ' αὐτὰ, καὶ μεθ' οἵας πολιτείας, καὶ τρόπων ἐξ οἵων μεγάλα ἐγένετο, ταῦτα δηλώσας πρῶτον, εἶμι καὶ ἐπὶ τὸν τῶνδε ἔπαινον, νομίζων ἐπί τε τῷ παρόντι οὐκ ἂν ἀφορμὴ λεχθῆναι αὐτὰ, καὶ τὸν πάντα ὅμιλον καὶ ἀστῶν καὶ ξένων ξύμφορον εἶναι αὐτῶν ἀκοῦσαι."

(β'. Ἔπαινος τῆς πολιτείας. — Κεφ. μα'. αα'., ὅτι δημοκρατία ἐστὶ, καὶ ἰσότητα, χρηστότητα καὶ πειθαρχίαν σώζει.)

λζ'. „Χρώμεθα γὰρ πολιτείᾳ οὐ ζηλούσῃ τοὺς τῶν πέλας νόμους, παράδειγμα δὲ μᾶλλον αὐτοὶ ὄντες τινὶ, ἢ μιμούμενοι ἑτέρους. καὶ ὄνομα μὲν, διὰ τὸ μὴ ἐς ὀλίγους ἀλλ' ἐς πλείονας οἰκεῖν, δημοκρατία κέκληται· μέτε-

1. Ἐπιτηδεύσεως] πράξεως. (λ. Αὐγ.) — 3. Εἶμι] πορεύσομαι. (Βας.) — 4. Οὐκ ἂν ἀφορμὴ λεχθ.] οὐκ ἂν ἔξω τοῦ προσήκοντος λεχθῆναι. (λ. Αὐγ.) — 5. Τὸν πάντα ὅμιλον] σχῆμά ἐστιν, ἀντὶ τοῦ παντὶ τῷ ὁμίλῳ.

λζ'. 7. Χρώμεθα γάρ] τὸ δεύτερον κεφάλαιον τοῦ ἐγκωμίου, ἡ ἀγωγή. (Κασσ. Αὐγ.) — Οὐ ζηλούσῃ] οὐ μιμουμένῳ. — Τοὺς τῶν πέλας νόμους] αἰνίττεται τοὺς τῶν Λακεδαιμονίων, οὓς Λυκοῦργος ἔγραψε, μιμησάμενος τοὺς Κρητῶν καὶ Αἰγυπτίων νόμους. [καὶ τῶν ἄλλων τὰ πλείω πρὸς Λακεδαιμονίους. Ροστ.] — 9. Ὄνομα μὲν — —] ἐπειδὴ φαῦλον δοκεῖ ἡ δημοκρατία, καὶ ὀρῷ τοὺς Λάκωνας σεμνυνομένους ἐπὶ τῇ ἀριστοκρατίᾳ, ἐπάγει λέγων ὅτι τῷ μὲν ὀνόματι δημοκρατία, τῷ δὲ ἔργῳ ἀριστοκρατία ἐστὶν ἡμῶν ἡ πολιτεία.

θον ἐπ' αὐτά, et ἀπὸ οἵας τε, et ἐπακοῦσαι αὐτῶν." WASS. „Desiderantur etiam in Dion. haec, καὶ μεθ' οἵας πολιτείας· pro τρόπων ἐξ οἵων in eo est τρόπων ἐξ ὧν, et λεχθῆναι δεῖν αὐτῶν." DUK. Add. Greg. Cor. ad Hermog. p. 938.

Ἦλθον Cass. Aug. Cl. H. Vat. Dion. Vulgo (Haack. Bekk.) ἤλθομεν. Cf. I. 1. p. 275. sq.

Ἐξ οἵων om. Reg. (G.)

Μεγάλα. H. μεγάλων, ᾱ s. ων al. man.

Ἀφορμὴ. Marg. Ald. Vin. ἀφορμῶς.

Ξύμφορον. D. ξύμφονον.

Αὐτῶν ἐπακοῦσαι. Laur. E. m. Ar. Chr. Dan. Dion. ἐπακοῦσαι αὐτῶν.

CAP. XXXVII. Μᾶλλον αὐτοὶ ὄντες Cass. Aug. C. F. Pal. It. Vat. H. Reg. (G.) Gr. D. I. Laur. E. Mosqu. m. Ar. Chr. Dan. Haack. Bekk. Vulgo αὐτοὶ μᾶλλον ὄντες. Marg. Steph. μᾶλλον ὄντες αὐτοί.

Τινί Cass. Aug. Cl. C. Pal. It. Vat. Reg. cod. Bas. Gr. (int. vers. etiam Dan.) Haack. Bekk. Vulgo τισίν. Pluralis huius pronom. pro singulari similiter a librariis illatus erat I, 37, 3.

Ἢ ἑτέρους. I. καὶ ἑτ.

Ἀλλ' ἐς. Cod. Bas. ἀλλ' ἐπί.

Πλείονας. E. πλέονας.

Οἰκεῖν. Gottleb. ex Cl. (in cuius tamen marg. scribitur οἰκεῖν,) Ar. Chr. Dan. recepit

Digitized by Google

σει δὲ, κατὰ μὲν τοὺς νόμους, πρὸς τὰ ἴδια διάφορα πᾶσι τὸ ἴσον, κατὰ δὲ τὴν ἀξίωσιν, ὡς ἕκαστος ἐν τῳ εὐδοκιμεῖ, οὐκ ἀπὸ μέρους τὸ πλεῖον ἐς τὰ κοινὰ ἢ ἀπὸ ἀρετῆς προτιμᾶται· οὐδ' αὖ κατὰ πενίαν, ἔχων δέ τι ἀγαθὸν δρᾶσαι τὴν πόλιν, ἀξιώματος ἀφανείᾳ κεκώλυται. 2. ἐλευθέρως δὲ τά τε πρὸς τὸ κοινὸν πολιτεύομεν, καὶ ἐς τὴν πρὸς ἀλλήλους τῶν καθ' ἡμέραν ἐπιτηδευμά-

1. Πρὸς τὰ ἴδια διάφορα] τὰ διαφέροντα τοῖς ἰδιώταις. — 3. Οὐκ ἀπὸ μέρους] τοῦτο λέγει διὰ τοὺς Ἡρακλείδας βασιλεῖς τῶν Λακώνων, οἵτινες ἀπὸ μέρους ἦρχον διὰ μόνην τὴν εὐγένειαν, κἂν μὴ εἶχον ἀρετήν. — Ἢ ἀρετῆς] ἀπὸ τῆς ἀρετῆς. [τὸ δὲ πλεῖον ἀντὶ τοῦ μᾶλλον. (λ. Κασσ.)] — 4. Ἔχων δέ τι ἀγαθόν] ὁ δὲ ἀντὶ τοῦ μέν κεῖται. — 5. Ἀξιώματος] ἀντὶ τύχης. (Ἀνγ.) — Ἀξιώματος ἀφανείᾳ] ὅτι οὐκ ἔστι πλούσιος ἢ εὐγενής. ** ὁρίσατο πολιτεύειν τὸ κατὰ νόμους μὲν ἀπονέμειν πᾶσι τὸ δίκαιον κατὰ τὰς ἰδίας διαφορὰς τε καὶ † διενίξας †, καὶ μὴ περιορᾶν μήτε τὸν ἀδικούμενον μήτε τὸν ἀδικοῦντα, ἕκαστον δὲ τῶν πολιτῶν οὐκ ἀπὸ μέρους προτιμᾶν, ἢ διὰ τὴν ἀξίαν, εἴ τύχοι τις ἀξιώματι σεμνυνόμενος, ἢ διὰ τὸ γένος, ἢ διὰ πλοῦτον, ἤ τι τῶν ἄλλων, ᾧ τις διαφέρειν οἴεται τῶν πολλῶν καὶ εὐδοκίμων ἐν μέρει, ἀλλ' ἀπὸ ἀρετῆς καὶ ἀρίστης ἐπιτηδεύσεως· ὁ γὰρ τοιοῦτος, κἂν πένης καὶ ἄδοξος, ἐκ πενήτων τε καὶ ἀδόξων εἴη, κἂν ἀφανής, τῶν πλουσίων τε καὶ ἐνδόξων ἔστιν ἐντιμότερος. (Βάσ.) — 5. Ἐλευθέρως δὲ —] ὡσανεὶ ἔλεγεν, οὐκ ἐσμὲν ἀλλήλοις ὕποπτοι. — 7. Ἐπιτηδευμάτων] κατὰ κοινοῦ τὸ πολιτευόμεθα. [Ἐνταῦθα τὴν διαγωγὴν δηλοῖ. (Βασ.)]

ἥκειν, quae scriptura etiam in marg. cod. Bas. et a Tus. adnotatur. Utriusque vestigia extant etiam in Mosqu., qui ἥκειν, et m., qui ῆ s. οἱ habet. Ἥκειν fortassis etiam aliquot Part. Meliorum librorum scripturam in Obss. critt. a nobis defensam revocarunt Haack. et Bekk. Cf. I. 1. p. 283.

Μέτεστι — ἴσον.) „Thom. Mag. in μέλει." DUK.

Ἴσον. Pal. ἶσον. At vid. I. 1. p. 214.

Ἀξίωσιν. In Aug. superscr. ἀξίωμα.

Ἐν τῳ. Reg. ἐν τῷ. Aug. ἔν τω (sine ι) et superscr. ἔν τινι. Pal. ἔν τῳ super rasura, in marg. ἔν τινι, διὸ ἐγκλίνει. Etiam C. cod. Bas. Gr. D. I. marg. Steph. ἔν τινι, ex interpr.

Εὐδοκιμεῖ. Dan. ex emend. rec. man. εὐδοκιμεῖν.

Τὸ πλεῖον. Baur. D. m. Ar. Chr. Dan. τὰ πλέω.

Ἀπὸ ἀρετῆς Cass. Aug. G. Reg. (G.) H. Gr. Mosqu. Vulgo. (Haack. Bekk.) ἐκ' αὐτ. Praepositio de. D. I. Schol.

Οὐδ' αὖ — κεκώλυται. „Dion. Hal. p. 133. [794. R.]" WASS.

Ἔχων δέ. Frustra Reisk. ἔχων γε coniicit. Vid. not.

Ἀγαθόν. C. καὶ ἀγαθόν.

Ἀφανείᾳ. Gr. B. Bar. Ald. Flor. Bas. Steph. 1. atque Dion. Hal. edit. Steph. ἀφανίᾳ. Cf. de Art. crit. ap. Thuc. c. 12.

2. Πολιτευόμεν. Ar. Chr. πολιτευόμενοι. Dan. πολιτευόμεθον, sed inductis man. rec. literis εν. Marg. Flor. Vind. πολιτευόμεθα. Quibus omnibus activum

τῶν ὑποφίαν, οὐ δι' ὀργῆς τὸν πέλας, εἰ καθ' ἡδονήν τι δρᾷ, ἔχοντες, οὐδὲ ἀζημίους μὲν, λυπηρὰς δὲ τῇ ὄψει ἀχθηδόνας προστιθέμενοι. 3. ἀνεπαχθῶς δὲ τὰ ἴδια προσομιλοῦντες, τὰ δημόσια διὰ δέος μάλιστα οὐ παρανομοῦμεν, τῶν τε ἀεὶ ἐν ἀρχῇ ὄντων ἀκροάσει, καὶ τῶν νόμων, καὶ μάλιστα αὐτῶν ὅσοι τε ἐπ' ὠφελείᾳ τῶν ἀδικουμένων κεῖνται, καὶ ὅσοι ἄγραφοι ὄντες αἰσχύνην ὁμολογουμένην φέρουσι."

(βϐ'. Διὰ τὴν τοῦ βίου τερπνότητα καὶ τὴν ἐμπορίαν.)

λή'. „Καὶ μὴν καὶ τῶν πόνων πλείστας ἀναπαύλας τῇ γνώμῃ ἐπορισάμεθα, ἀγῶσι μέν γε καὶ θυσίαις διετησίοις νομίζοντες, ἰδίαις δὲ κατασκευαῖς εὐπρεπέσιν, ὧν καθ' ἡμέραν ἡ τέρψις τὸ λυπηρὸν ἐκπλήσσει. 2. ἐπεισέρχεται δὲ διὰ μέγεθος τῆς πόλεως ἐκ πάσης γῆς τὰ

2. Λυπηρὰς δὲ τῇ ὄψει ἀχθηδόνας] τοῦτο λέγει, ἐπειδή ποτε οἱ Λακεδαιμόνιοι, Αἰλαμένη ἐν πρασσείῳ θεασάμενοι μετεωρίζοντα, κακῶς ἐχρήσαντο. οἱ γὰρ Λακεδαιμόνιοι σκυθρωποί εἰσι, διαπαντὸς ἐπιείκειαν ὑποκρινόμενοι, καὶ τοὺς ἀβροτέρους κολάζουσι. τὸ γὰρ τερπνὸν τοῦ βίου πάλυμα νομίζουσι τῶν ἀναγκαίων. — 3. Ἀνεπαχθῶς δὲ τὰ ἴδια προσομιλοῦντες] ταῦτα πρὸς Λακεδαιμονίους αἰνίττεται. (Ἀνγ.) — 5. Τῶν — ἐν ἀρχῇ ὄντων] τῶν ἀρχόντων. (Ἀνγ.) — 6. Αὐτῶν] τῶν νόμων δηλονότι. — 7. Ἄγραφοι] ἄγραφοι νόμοι τὰ ἔθη εἶναι.

λή'. 10. Τῇ γνώμῃ] τῇ ψυχῇ, ἢ τῇ συνέσει. — Διετησίοις] δι' ὅλου τοῦ ἔτους θυουσιῶν οἱ Ἀθηναῖοι καθ' ἑκάστην, πλὴν μιᾶς ἡμέρας. — 12. Ἡ τέρψις] ἡ † ζωγραφία †. — Τὸ λυπηρὸν] αἰνίττεται πρὸς τοὺς ταπεινοὺς καὶ εὐτελεῖς Λακεδαιμονίους. — Ἐπεισέρχεται — —] τοῦ Θησέως ἐν Ἀττικῇ τε καὶ ταῖς Ἀθήναις βασι-

offensioni fuit, quod satis tuebitur Ind.

Τὸν πέλας. Cl. τῶν π., et ex emend. τὸν π. Τῶν etiam It. Vat.

Εἰ — δρᾷ. Bar. Ald. Flor. Bas. marg. Steph. οἱ — δρᾶν. Solum δρᾶν etiam Cl. It. Vat. H., in Cl. tamen emend. δρᾷ.

3. Τὰ ἴδια. Dan. τῇ ἰδίᾳ, in marg. tamen τὰ ἴδια.

Καὶ μάλιστα. Καὶ om. I.

Ὠφελείᾳ. m. ὠφελίᾳ. cf. de Art. crit. ap. Thuc. c. 12.

Ὅσοι ἄγραφοι. C. ὅσον ἄγρ.

CAP. XXXVIII. Πόνων. D. νόμων, alterum s. v. al. man.

Μέν γε. Ar. μέντοιγε. Ghr. μέντοι καί.

Διετησίοις. Bekk. Anecdd. p. 95. Διετησίοις, ἀντὶ τοῦ δι' ἔτους, οἷον καθ' ἕκαστον ἔτος — Θουκυδίδης καὶ Ἀριστοφάνης. Quod ad hunc solum locum spectare potest.

Κατασκευαῖς. Dan. παρασκευαῖς, male. Vid. not. ad c. 14.

Ὧν — ἐκπλήσσει. „Thom. Mag. in ἐκπλήσσει." WASS.

2. Ἐπεισέρχεται. In ἐπεισέρχε-

Digitized by Google

παντα, καὶ ξυμβαίνει ἡμῖν μηδὲν οἰκειοτέρᾳ τῇ ἀπολαύσει τὰ αὐτοῦ ἀγαθὰ γιγνόμενα καρποῦσθαι, ἢ καὶ τὰ τῶν ἄλλων ἀνθρώπων.“

(γγ'. *Διὰ τὴν ἀνδρείαν τὴν ἄνευ ἀπιστίας καὶ ἐπιπόνου ἀσκήσεως.*)

λθ'. „Διαφέρομεν δὲ καὶ ταῖς τῶν πολεμικῶν μελέταις τῶν ἐναντίων τοῖσδε. τήν τε γὰρ πόλιν κοινὴν 5
παρέχομεν, καὶ οὐκ ἔστιν ὅτε ξενηλασίαις ἀπείργομέν τινα ἢ μαθήματος ἢ θεάματος, ὃ μὴ κρυφθὲν ἄν τις τῶν πολεμίων ἰδὼν ὠφεληθείη, πιστεύοντες οὐ ταῖς παρασκευαῖς τὸ πλέον καὶ ἀπάταις, ἢ τῷ ἀφ' ἡμῶν αὐτῶν ἐς τὰ ἔργα εὐψύχῳ· καὶ ἐν ταῖς παιδείαις οἱ μὲν ἐπι- 10
πόνῳ ἀσκήσει, εὐθὺς νέοι ὄντες, τὸ ἀνδρεῖον μετέρχου-

λεύσαντος, συνειςέφερον πανταχόθεν αὐτῷ τὰ πρὸς χρείαν οἱ Ἕλληνες, ἐπειδήπερ ταύτην ὁ βασιλεὺς πρυτανεῖον καθεστήκει καὶ μητρόπολιν τῆς Ἑλλάδος, τὰς ἄλλας καθηρηκὼς διὰ τοῦτο πόλεις. (Βασ.)

λθ'. 4. *Καὶ ταῖς τῶν πολεμικῶν μελέταις*] πληρώσας τὰ ἐν εἰρήνῃ γινόμενα ἀγαθὰ, νῦν μετέρχεται ἐπὶ τὰ ἐν πολέμῳ. — 5. *Τῶν ἐναντίων*] τῶν Λακεδαιμονίων [φησί. (λ. Αὐγ.)] — *Τοῖσδε*] τοῖς ῥηθησομένοις. — *Κοινὴν*] κοινωνικὴν καὶ ἀνειμένην πᾶσιν ἀνθρώποις. — 6. *Ξενηλασίαις*] ὥςπερ οἱ Λακεδαιμόνιοι. — 7. *Ὃ μὴ κρυφθὲν ἄν τις — —*] τὸ ἐξῆς, ὠφεληθείη ἄν τις, ἰδὼν μὴ κρυφθέν. — 9. *Καὶ ἀπάταις*] πάλιν πρὸς Λακεδαιμονίους αἰνίττεται, οἳ τὸ πλέον ἀπάτῃ καὶ γοητείᾳ γνώμης ἐκράτουν ἐν τοῖς πολεμικοῖς. — 11. *Εὐθὺς νέοι ὄντες*] καὶ ταῦτα πρὸς Λακεδαιμονίους. ἐκεῖνοι γὰρ ἀπὸ μικρᾶς ἡλικίας εἰς τὰ πολέμια ηὐτρεπίζοντο· καὶ εὐθὺς ὡς ἐτέτατο τὸ παιδίον, ἐν ἀσπίδι ἐτίθεσαν αὐτὸ καὶ δόρυ πλησίον, καὶ ἐπεβόων ἢ τὰν ἢ ἐπὶ τὰν, τουτέστιν, ἢ ταῦτα σῶσον, ἢ μετ' αὐτῶν ἀναιρέθητι. οἱ δὲ αὐτοὶ οὕτως ἐπιπόνως ἤσκουν, ὡς μηδὲ λουτρῶν ἀνέχεσθαι, ἀλλ' ἀρκεῖσθαι τῷ Εὐρώτᾳ ποταμῷ πρὸς τὸ λούσασθαι. ἀμέλει καὶ διαμαστιγώσεις ἐγίνοντο κατά τινα καιρὸν, ἐν αἷς οἱ πλείονας ἐνεγκόντες, ἀνδρειότεροι ἐνομίζοντο. — *Τὸ ἀνδρεῖον*] τὸ τοῖς ἀνδράσι πρέπον. (λ. Αὐγ.)

ται invitis omnibus libris cum Haack. mutare non ausi sumus ob ea, quae I. 1. p. 212. adnotata sunt.

Οἰκειοτέρᾳ. Ar. Chr. Dan. *οἰκειότερον*.

Αὐτοῦ. Marg. Steph. *αὐτά*.

Cap. XXXIX. *Τοῖσδε*. Tus. *ταῖσδε*.

Πιστεύοντες. G. *πιστεύσαντες*.

Ἡμῶν. Gr. *ὑμῶν*.

Αὐτῶν de. Dan.

Εὐψύχῳ. Maiorem distinctionem, quae vulgo post hoc voc. est, cum Haack. et Bekk. in minorem mutavimus, ut sequens *καὶ* iam praeparatum sit partic. *τέ* in *τήν τε γάρ*.

Ἐπιπόνῳ ἀσκήσει. Cass. *ἐπὶ πόνῳ καὶ ἀσκ*, sed deinde cor-

Digitized by Google

ται, ἡμεῖς δὲ, ἀνειμένως διαιτώμενοι, οὐδὲν ἧσσον ἐπὶ
121. τοὺς ἰσοπαλεῖς κινδύνους χωροῦμεν. 2. τεκμήριον δέ· οὔτε γὰρ Λακεδαιμόνιοι † καθ' ἑκάστους †, μετὰ πάντων δ' ἐς τὴν γῆν ἡμῶν στρατεύουσι· τήν τε τῶν πέλας αὐτοὶ ἐπελθόντες, οὐ χαλεπῶς ἐν τῇ ἀλλοτρίᾳ τοὺς περὶ τῶν οἰκείων ἀμυνομένους μαχόμενοι τὰ πλείω κρατοῦμεν. 3. ἀθρόᾳ τε τῇ δυνάμει ἡμῶν οὐδείς πω πολέμιος ἐνέτυχε, διὰ τὴν τοῦ ναυτικοῦ τε ἅμα ἐπιμέλειαν, καὶ τὴν ἐν τῇ γῇ ἐπὶ πολλὰ ἡμῶν αὐτῶν ἐπίπεμψιν· ἤν δέ που μορίῳ τινὶ προσμίξωσι, κρατήσαντές τε τινὰς ἡμῶν, πάντας αὐχοῦσιν ἀπεῶσθαι, καὶ νικηθέντες, ὑφ' ἁπάντων ἡσσῆσθαι. 4. καίτοι εἰ ῥᾳθυμίᾳ μᾶλλον ἢ πόνων μελέτῃ, καὶ μὴ μετὰ νόμων τὸ πλεῖον ἢ τρόπων ἀν-

5. *Αὐτοί*] ἡμεῖς δηλονότι. — 7. *Ἀθρόᾳ τε τῇ δυνάμει — ἐνέτυχε*] μεμέρισται γὰρ αὐτῶν τὸ στράτευμα εἰς δύο, [εἰς Θρᾴκην καὶ Ἰωνίαν. (λ. *Αὐγ.*)] — 9. *Ἐπίπεμψιν*] εἰς στρατείαν. (λ. *Αὐγ.*) — 10. *Μορίῳ τινί*] μέρει τινὶ ἐξ ἡμῶν. (λ. *Αὐγ.*) — *Κρατήσαντές τε τινὰς ἡμῶν*] αἰνίττεται τοὺς ἱππέας αὐτῶν τοὺς κειμένους. — 11. *Ἀπεῶσθαι*] ἀποδεδιωχέναι. (λ. *Αὐγ.*) — 12. *Καίτοι εἰ ῥᾳθυμίᾳ —*] πάντα συνάγει τὰ εἰρημένα, καὶ ὥςπερ ἀνάμνησιν αὐτῶν ποιεῖται ἀνακεφαλαιούμενος. αἰνίττεται δὲ πρὸς Λακεδαιμονίους.

rect. man. rec. *Ἐπὶ πόνῳ* et ab emend. *ἐπιπόνῳ* etiam Gr.

2. *Καθ' ἑκάστους*. Marg. Flor. Vinar. *καθ' ἑαυτούς*, quod placet. Vid. not.

Μετὰ πάντων. Laur. Vind. Ar. Chr. *μεθ' ἁπάντ.*, quod ne forte oppositi membri causa praeferas, vid. *τὴν πᾶσαν πόλιν* c. 41.

Δ' ἐς. F. E. *δὲ ἐς*, quod ut voce melius subsistas non male commendat Gail. Vid. tamen I. 1. p. 218.

Στρατεύουσι. Dan. *στρατεύονται*, quod etiam in Ar. et Chr. legi videtur, e quibus Huds. *στρατεύουσι* enotavit, quanquam id ipsum in orationis continuatione scriptum est.

3. *Ἀθρόᾳ τε*. G. *ἀθρ. δε*, τ s. δ. ead. man. — *Ἐπὶ πολλά* s. v. al. man. E. *Ἐπίπεμψιν*. G. *ἐπίμεμψιν*, π s. μ. — *Δέ που*. C. *δέ πω*.

Κρατήσαντές τε. Τε om. Cl. Laur. E. m. Ar. Chr. Dan.

Τινάς. Accentum ob graviorem vim, quae huic voc. hic inest, cum Bekk. in praec. reiicere noluimus.

4. *Καίτοι — φαίνεσθαι*. „Dion. Hal. p. 135. [801. R.]" WASS. — *Μετά*. D. *κατά*.

Τὸ πλεῖον. F. Laur. E. m. Ar. Chr. Dion. *τὸ πλέον* s. *τοπλέον*.

Τρόπων. Cass. Aug. Gr. Mosqu. *τρόπον*, in Gr. tamen ex emend. int. vers. *τρόπων*. Iidem libri (et Bekk.), sed praeter Gr., *ἀνδρίας* pro vulg. (et Haack.) *ἀνδρείας* praebuerunt. Cf. de Art. crit. ap. Thuc. c. 12. In Gr. *ἀνδρείας* et ex emend. int. vers. *ἀνδρείως*.

Digitized by Google

δρείας † ἐθέλοιμεν † κινδυνεύειν, περιγίγνεται ἡμῖν τοῖς τε μέλλουσιν ἀλγεινοῖς μὴ προκάμνειν, καὶ ἐς αὐτὰ ἐλθοῦσι, μὴ ἀτολμοτέρους τῶν ἀεὶ μοχθούντων φαίνεσθαι, καὶ ἔν τε τούτοις τὴν πόλιν ἀξίαν εἶναι θαυμάζεσθαι, καὶ ἔτι ἐν ἄλλοις."

(δδ'. Διὰ τοὺς ἄλλους τρόπους τῶν ἐνόντων.)

μ'. „Φιλοκαλοῦμέν [τε] γὰρ μετ' εὐτελείας, καὶ φιλοσοφοῦμεν ἄνευ μαλακίας· πλούτῳ τε ἔργου μᾶλλον

2. Ἐς αὐτὰ] τὰ ἀλγεινὰ δηλονότι. — 3. Τῶν ἀεὶ μοχθούντων] τῶν Λακεδαιμονίων δηλαδή. — 4. Τούτοις] τοῖς εἰρημένοις δηλονότι. (λ. Ἀνγ.) — Θαυμάζεσθαι] κατὰ κοινοῦ τὸ περιγίγνεται.

μ'. 6. Φιλοκαλοῦμέν τε γὰρ μετ' εὐτελ.] ἐπειδὴ διεβάλλοντο οἱ Ἀθηναῖοι ἐπὶ μαλακίᾳ, καὶ τρυφῇ βίου, καὶ σχολῇ πολλῇ, τοῦτο λέγει, ὅτι φιλοκαλοῦμεν μετὰ εὐτελείας [καὶ τακτινότητος. (λ. Κασσ. Ἀνγ.)] τῇ γὰρ φιλοκαλίᾳ τὸ ἄσωτον ἕπεται, [τῇ δὲ φιλοσοφίᾳ τὸ μαλακὸν καὶ ἀνειμένον. (Κασ.)] — Μετ' εὐτελείας] σμικροπρεπείας. (λ. Ἀνγ.) — Καὶ φιλοσοφοῦμεν ἄνευ μαλακίας] τὰ δυσχερῆ τῆς πενίας ὑπομένομεν. (λ. Ἀνγ.) — 7. Πλούτῳ τε ἔργου] τὸ ἐξῆς, τῷ πλούτῳ χρώμεθα ἐν τῷ καιρῷ τοῦ ἔργου, καὶ οὐ κόμπῳ λόγου.

Ἐθέλοιμεν. Laur. Vind. Bekk. ἐθέλομεν., quod etiam Krueg. l. l. p. LVIII. recipi iussit. Quibus nos contra reliquorum omnium codd. et Dionysii ob hunc ipsum insolentiorem optativum haec verba afferentis auctoritatem obtemperare non potuimus. Cf. Matth. Gr. §. 524. 3. et Schaef. ad Dion. Hal. p. 214.

Ἡμῖν τοῖς τε. Cass. Aug. C. Pal. It. Gr. ἡμῖν τε τοῖς.

Προκάμνειν. D. προσχ.

Ἐλθοῦσι. F. post hoc addit τὰ πράγματα.

Ἀτολμοτέρους. Cass. ἀτολμοτέροις et rec. man. supra emend. τέρους. Aug. ἀτολμοτέρους, sed corr. ἀτολμοτέροις. m. ἀτολμοτέρους, et supra scr. οι. Dativum habent Mosqu. Dan. et Dion., eumque praefert Blomf. ad Aesch. Agam. v. 244. At rectius iam Duk. „Parum interest," inquit, „utro modo legatur." Cf. I. 1. p. 128.

Ἀεί. Pal. rursus αἰεί. Vid. I. 1. p. 211.

Καὶ — ἄλλοις. Haec inepte vulgo novum caput incipiunt, quum infinitivus adhuc pendeat ex περιγίγνεται.

Καὶ ἐν. Καί, G. s. v.

Cap. XL. Τὲ γὰρ. Τέ om. Cass. Aug. It. Vat. E. Mosqu. Bekk. Nobis uncos addidisse satis fuit.

τε

Εὐτελείας. It. εὐμελείας.

Πλούτῳ. Mosqu. m. Ar. Chr. Dan. πλούτου.

Ἔργου. Cl. Mosqu. m. Ar. Chr. ἔργῳ, F. G. H., si Gailio fides, ἔργω sine ι, et F. G. cum οῦ s. ῶ.

Digitized by Google

καιρῷ ἢ λόγου κόμπῳ χρώμεθα· καὶ τὸ πένεσθαι οὐχ ὁμολογεῖν τινὶ αἰσχρὸν, ἀλλὰ μὴ διαφεύγειν ἔργῳ αἴσχιον. 2. ἔνι τε τοῖς αὐτοῖς οἰκείων ἅμα καὶ πολιτικῶν ἐπιμέλεια, καὶ ἑτέροις, πρὸς ἔργα τετραμμένοις, τὰ πολιτικὰ μὴ ἐνδεῶς γνῶναι· μόνοι γὰρ τόν τε μηδὲν τῶνδε μετέχοντα οὐκ ἀπράγμονα, ἀλλ' ἀχρεῖον νομίζομεν, καὶ αὐτοὶ ἤτοι κρίνομέν γε ἢ ἐνθυμούμεθα ὀρθῶς τὰ πράγματα, οὐ τοὺς λόγους τοῖς ἔργοις βλάβην ἡγούμενοι, ἀλλὰ μὴ προδιδαχθῆναι μᾶλλον λόγῳ πρότερον ἢ ἐπὶ ἃ δεῖ ἔργῳ ἐλθεῖν. 3. διαφερόντως γὰρ δὴ καὶ
122. τόδε ἔχομεν, ὥστε τολμᾶν τε οἱ αὐτοὶ μάλιστα, καὶ περὶ

1. *Καὶ τὸ πένεσθαι οὐχ ὁμολογεῖν τινὶ αἰσχρὸν — αἴσχιον*] γνώμης ἀρίστης τὸ μήτε πενίαν ὀνειδίσαι τοῖς ἔχουσι, καὶ παροῦσαν ζητεῖν ἐκ παντὸς τρόπου φυγεῖν. — 3. *Ἔνι τε τοῖς αὐτοῖς*] οἷον τοῖς δημιουργοῖς, καὶ γεωργοῖς, καὶ κυνηγοῖς, καὶ τοῖς ἄλλοις ἰδιώταις καὶ χειροτέχναις. τοῦτο δὲ πρὸς Λακεδαιμονίους, ἐπειδὴ ὀλίγοι ἦσαν αὐτῶν οἱ τὰ πολιτικὰ σκοποῦντες, οἱ δὲ τὰ πολέμια πάντες. — 6. *Τῶνδε*] τῶν πολεμικῶν. — 8. *Οὐ τοὺς λόγους τοῖς ἔργοις βλάβ. ἡγούμ.*] διεβάλλοντο γὰρ ὡς λόγων μόνον ἀντιποιούμενοι ὑπὸ τῶν Λακεδαιμονίων. — 9. *Μὴ προδιδαχθῆναι*] ἀπὸ κοινοῦ τὸ βλάβην ἡγούμενοι. (*Αὐχ.*)

Καιρῷ. Vulgo (et Haack.) ἐν καιρῷ, sed ἐν de. Aug. Cl. C. F. Pal. It. Vat. Reg. (G.) cod. Bas. (in quo corrector adscripsit,) Gr. Laur. E. B. Ald. Flor. ed. Bas. Steph. 1. Bekk. Cf. not. Praeterea F. καιροῦ, ω s. ου.

Λόγου κόμπῳ. D. λόγῳ κόμπου.

Πένεσθαι. „Pro πένεσθαι Plut. perperam exhibet Moral. 533. πενίαν." WASS.

Τινί om. Vat. et s. v. al. man. H.

2. *Ἔνι τε.* Cass. Aug. It. Vat. Tus. ἔν τε, in Aug. tamen man. rec. superscr. ἔνι.

Πολιτικά. Reg. (G.) Ar. πολεμικά, in illo tamen int. vers. rec. man. γρ. πολιτικά. Add. Schol. ad τῶνδε. Cf. not.

Τῶν δέ. F. E. τῶν τε. Vind. τῶν.

Αὐτοί. Laur. E. m. Ar. Chr. Dan. οἱ αὐτ.

Ἢν ἐνθ. „Est etiam alia lectio ἢ ἀεὶ ἐνθ., sed quem hic locum istud adverbium habere dicemus?" STEPH.

Ἡγούμενοι. Reg. (G.) ἡγούμεθα, deinde emend. ἡγούμενοι.

Προδιδαχθ. D. προςδιδαχθ. E. διδαχθ., προ s. v. al. man.

Λόγῳ. Mosqu. ἐν λόγῳ.

Ἐπὶ ἃ. Ar. Chr. ἐπὶ τὰ ἃ, quod si illis libris plus auctoritatis esset, defendi posset. cf. Matth. Gr. §. 287. 1.

3. *Διαφερόντως — κινδύνων.* „Stobaeus (S. VII.) p. 88." WASS.

Δή. It. H. et Steb. cod. A. δεῖ, noto errore.

Digitized by Google

ὧν ἐπιχειρήσομεν, λελογίζεσθαι· ὃ τοῖς ἄλλοις — ἀμαθίᾳ μὲν θράσος, λογισμὸς δὲ ὄκνον φέρει. κράτιστοι δ' ἂν τὴν ψυχὴν δικαίως κριθεῖεν οἱ τά τε δεινὰ καὶ ἡδέα σαφέστατα γιγνώσκοντες, καὶ διὰ ταῦτα μὴ ἀποτρεπόμενοι ἐκ τῶν κινδύνων. 4. καὶ τὰ ἐς ἀρετὴν ἡγαντιώμεθα τοῖς πολλοῖς· οὐ γὰρ πάσχοντες εὖ, ἀλλὰ δρῶντες, κτώμεθα τοὺς φίλους. βεβαιότερος δὲ ὁ δράσας τὴν χάριν, ὥστε ὀφειλομένην δι' εὐνοίας ᾧ δέδωκε σώζειν· ὁ δ' ἀντοφείλων, ἀμβλύτερος, εἰδὼς οὐκ ἐς χάριν, ἀλλ' ἐς ὀφείλημα, τὴν ἀρετὴν ἀποδώσων. 5. καὶ μόνοι

1. *Δεινὰ καὶ ἡδέα*] δεινὰ τὰ πολέμια, ἡδέα τὰ τῆς εἰρήνης. — 5. *Ἐς ἀρετήν*] ἀρετὴν λέγει νῦν τὴν φιλίαν καὶ εὐεργεσίαν. — 7. *Ὁ δράσας τὴν χάριν*] ὁ ἀρξάμενος χαρίζεσθαι. — 8. *Ὥστε ὀφειλομένην* —] ἢ σύνταξις οὕτως, ὥστε ὀφειλομένην σώζειν, ἐκεῖνον δηλονότι ᾧ δι' εὐνοίας δέδωκεν. — 9. *Ὁ δ' ἀντοφείλων*] ὁ δὲ εὖ πάσχων. (λ. *Αὐγ.*) — *Ἀμβλύτερος*] ἀσθενέστερος. (λ. *Αὐγ.*) — 10. *Τὴν ἀρετήν*] τὴν εὐεργεσίαν.

Ὅ. „Stobaeus pro ὃ legit ὡς." WASS. Quam Gesneri mutationem a Gaisf. expulsam noli probare, neve ὡ, quod in marg. Chr. apponitur. Vid. not.

Ἀμαθίᾳ. It. *ἀμάθεια*.

Ἂν τὴν ψυχὴν δικαίως κρ. Dan. *ἂν εἰκότως τ. ψ. κρ.*, et sic etiam Ar, Chr. exhibuisse videntur aut certe exhibere voluerunt, e quibus *ἂν εἰκότας τ. ψ. κρ.* laudatur. *Εἰκότως* pro *δικαίως* praebet etiam m. At vid. de his libris de Art. crit. ap. Thuc. c. 6. *Τὴν* om. Laur. E. et Stob. cod. A., *τὰς ψυχάς* habet F.

Σαφέστατα om. C. F. et uncis vulgo includitur, quos sustulerunt Haack. et Bekk. Sic in iisdem libris excidit *εἰκότως* II, 58.

Μή. Vind. *μοι*.

4. *Ἡγαντιώμεθα*. Gr. *ἐναντιώμεθα*. Marg. Flor. Vin. *ἐναντιούμεθα*. „Hesychius in *ἤντεον* scribit apud Thucyd. esse *ἠντιώμεθα* pro *ἐναντιώμεθα*. Si huc respexit, vel aliis codd. usus est, vel erravit." DUK. Ob Hesych. verba *ἂν ἠντιώμεθα* legendum esse perperam coniecit Reisig. Coniectt. in Aristoph. p. 145. Nam nec *ἀντιᾶσθαι* alibi apud Thuc. legitur (unde etiam Schneid. coniectura *ἀντιώμεθα* in Lex. Gr. s. *ἀντιάω* proposita repudianda,) nec *ἂν ἠντιᾶ. nonnunquam accidebat, ut adversaremur* hic ullo modo aptum; perfectum *ἠναντίωμαι* autem notione praesentis legitur apud Liban. Progymn. p. 89. ed. Morell. (notione praeteriti Dem. Cor. 90, 4.)

Πολλοῖς. F. *πολοῖς*.

Οὐ γὰρ πάσχοντες etc. Huc respicit Liban. Epist. CCCXXX.

Βεβαιότερος. „Vid. Wakef. Silv. Crit. 4. p. 120." BEKK.

Δ' ἀντοφείλων. Ar. Chr. *δὲ αὐτὸς ὀφείλων*.

Ἀμβλύτερος. C. *ἀμβρύτερος*. Cod. Bas. *βραδύτερος*.

Εἰδὼς οὐκ. F. *εἰδ. ὡς οὐκ*.

Ὀφείλημα. Cl. (in quo tamen emend. *ὄφλημα*,) C. Ar. *ὄφλημα*. „Male omnino; illud *ἐκ δανείου*, hoc vero *ἐκ παραδείγματος* mendose etiam Dion. Hal. 407,

οὐ τοῦ ξυμφέροντος μᾶλλον λογισμῷ ἢ τῆς ἐλευθερίας τῷ πιστῷ ἀδεῶς τινὰ ὠφελοῦμεν."

(εε'. Διὰ τὴν παιδείαν, καὶ δύναμιν, καὶ δόξαν.)

μά. „Ξυνελών τε λέγω τήν τε πᾶσαν πόλιν τῆς Ἑλλάδος παίδευσιν εἶναι, καὶ καθ' ἕκαστον δοκεῖν ἄν μοι τὸν αὐτὸν ἄνδρα παρ' ἡμῶν ἐπὶ πλεῖστ' ἂν εἴδη καὶ μετὰ χαρίτων μάλιστ' ἂν εὐτραπέλως τὸ σῶμα αὔταρκες παρέχεσθαι. 2. καὶ ὡς οὐ λόγων ἐν τῷ παρόντι κόμπος τάδε μᾶλλον ἢ ἔργων ἐστὶν ἀλήθεια, αὐτὴ ἡ δύναμις τῆς πόλεως, ἣν ἀπὸ τῶνδε τῶν τρόπων ἐκτησάμεθα, σημαίνει. 3. μόνη γὰρ τῶν νῦν ἀκοῆς κρείσσων ἐς πεῖραν ἔρχεται, καὶ μόνη οὔτε τῷ πολεμίῳ ἐπελθόντι ἀγανάκτησιν ἔχει ὑφ' οἵων κακοπαθεῖ, οὔτε τῷ

1. Οὐ τοῦ ξυμφέροντος — πιστῷ] οὐ τῇ ἐλπίδι τοῦ κέρδους, ἀλλὰ τῷ ἀεὶ εὐεργετεῖν καὶ μὴ δέεσθαι ἄλλων. — 2. Ἀδεῶς] ἀντὶ τοῦ μεγάλως.

μά. 5. Ἐπὶ πλεῖστ' ἂν εἴδη] εἰς πολλὰ πράγματα. [εἰς διάφορα πράγματα. (λ. Αὐγ.)] — 6. Εὐτραπέλως] εὐκινήτως, ἐνδεξίως. — 9. Ἀπὸ τῶνδε] ὧν προεῖπε. — 10. Ἀκοῆς κρείσσων] ὑπὲρ ἀκοὴν ἀνθρώπου. — 12. Ὑφ' οἵων] ὑπὸ Ἀθηναίων. — Οὔτε τῷ ὑπηκόῳ] τῷ Ναξίῳ, καὶ Σαμίῳ, καὶ Βυζαντίῳ, καὶ τοῖς ἄλλοις ὅσοι ὑπήκουον αὐτῶν.

28. ὀφελήματα." WASS. Discrimen tamen inter ὄφλημα et ὀφείλημα non ita certum. Vid. Voigtl. ad Luc. D. M. IV.

Ἀποδώσων. Ar. Dan. male ἀποδώσειν. Nam nihil huc pertinent poetarum exempla apud Matth. Gr. §. 550. adnot. 3.

5. Μόνοι οὐ. It. μόνοι οἱ.

Cap. XLI. Τῆς s. v. B.

Δοκεῖν. Gr. δοκεῖ.

Ἡμῶν. In Gr. emend. superscr. ὑμῶν.

Πλεῖστ' ἄν Cass. Aug. Cl. Pal. Reg. Vat. Gr. I. Laur. Vind. Mosqu. m. Ar. Chr. Dan. Bar. Ald. Flor. Bas. Schol. Haack. Bekk. Vulgo sine ἄν. Cf. not. H. It. πλεῖστον ἄν, quod in Cl. ex emend. est.

Εἴδη. Cl. ἤδη. Bar. Ald. Flor. Bas. εἴδῃ. It. et ex emend. Cl. εἰδῇ. I. Mosqu. m. Ar. Chr. Dan. ἡδύ.

2. Λόγων. Cl. λόγου, non male. Vid. I. 1. p. 267.

Τάδε μᾶλλον. F. μᾶλλ. τάδε.

Αὐτή Cass. Cl. Pal. It. Vat. Gr. Mosqu. Bekk. Vulgo (et Haack.) αὕτη. De Parr. Gailius tacet.

Τῶνδε s. v. ead. man. B.

3. Τῶν νῦν ἀκοῆς. E. ἀκοῆς τῶν νῦν.

Κρείσσων. Laur. Vind. Ar. Chr. Dan. κρεῖσσον.

Οὔτε — ἔχει Bekk. Anecdd. p. 334. ubi male πολέμῳ.

Ὑφ' οἵων κακοπαθεῖ marg. al. man. et addito καί post οἵων I.

Digitized by Google

ὑπηκόῳ κατάμεμψιν ὡς οὐχ ὑπ' ἀξίων ἄρχεται. 4. μετὰ μεγάλων δὲ σημείων, καὶ οὐ δή τοι ἀμάρτυρόν γε τὴν δύναμιν παρασχόμενοι, τοῖς τε νῦν καὶ τοῖς ἔπειτα θαυμασθησόμεθα, καὶ οὐδὲν προςδεόμενοι οὔτε Ὁμήρου 132
ἐπαινέτου, οὔτε ὅςτις ἔπεσι μὲν τὸ αὐτίκα τέρψει, τῶν δὲ ἔργων τὴν ὑπόνοιαν ἡ ἀλήθεια βλάψει, ἀλλὰ πᾶσαν μὲν θάλασσαν καὶ γῆν ἐςβατὸν τῇ ἡμετέρᾳ τόλμῃ καταναγκάσαντες γενέσθαι, πανταχοῦ δὲ μνημεῖα κακῶν τε κἀγαθῶν ἀΐδια ξυγκατοικίσαντες.

5. Περὶ τοιαύτης οὖν πόλεως οἵδε τε γενναίως, δικαιοῦντες μὴ ἀφαιρεθῆναι αὐτὴν, μαχόμενοι ἐτελεύτη-

1. *Μετὰ μεγάλων δὲ — καὶ οὐ — ἀμάρτυρόν γε*] πολυδεσμός ἐστιν ὁ Θουκυδίδης μᾶλλον ἢ πάντες οἱ Ἀττικοί. — 4. *Οὔτε Ὁμήρου*] ἀπὸ μέρους, τῶν πάντων ποιητῶν. [ὁ γὰρ Ὅμηρος πεποίηκε τὸν Μενεσθέα πάντων ἄριστα ἀνθρώπων κοσμεῖν ἵππους τε καὶ ἄνδρας ὁπλίτας· καὶ δῆλον ὅτι τοῦτο σοφίας περιουσίᾳ καὶ ἀρετῆς γίνεται. ἐν δὲ τῇ Ὀδυσσείᾳ πεποίηκε περὶ τῆς Ἀθηνᾶς τῆς θεοῦ οὕτως· Ἵκετο δ' ἐς Μαραθῶνα καὶ εὐρυάγυιαν Ἀθήνην, καὶ τὰ ἑξῆς. ἅπερ καὶ αὐτὰ ἐγκώμιον τῆς πόλεως. (*Κασσ. Αὐγ.*)] — 7. *Καταναγκάσ. γενέσθαι*] ἀπὸ κοινοῦ τὸ θαυμασθησόμεθα. — 8. *Κακῶν τε κἀγαθῶν*] κακῶν πρὸς τοὺς πάσχοντας. λέγει δὲ τὰ τρόπαια. — 10. *Οἵδε*] οἱ κείμενοι. (*λ. Αὐγ.*)

Ὡς. Pal. It. H. ἕως, in It. tamen s. v. al. man. γρ. ὡ.

Ἄρχεται. H. Vat. ἔρχεται, in H. tamen ἄρ s. ερ al. man.

4. *Οὐ δή τοι — γε.* Insolens particularum consociatio. Exspectaveris οὐ δήπου — γε. Pro γέ autem Vat. G. male τέ, in hoc tamen γέ s. v.

Ἔπεσι. It. ἔπεισι.

Δὲ ἔργων Cass. Aug. C. F. Pal. G. Gr. D. Vulgo (Haack. Bekk.) δ' ἔργων.

Τὴν ὑπόνοιαν ἡ ἀλήθεια. Mosqu. Ar. ἡ ὑπόνοια τὴν ἀλήθειαν. Chr. Dan. om. ἡ.

Ἐςβατόν. Secundum praecepta in Buttm. Gr. max. p. 246. adnot. 2. exspectaveris ἐςβατήν. At vid. not.

Πανταχοῦ δέ. Gr. παντ. τε.

Κακῶν. Καλῶν C. F. item ex emend. rec. man. int. vers. Reg. (G.) et corrector cod. Bas.

Κἀγαθῶν. F. E. Mosqu. m. Ar. Chr. Dan. καὶ ἀγ.

Ἀΐδια. Cass. Aug. It. Vat. Reg. ἰδία, Pal. ἰδία, alterutrum etiam H. In Reg. et Cass. tamen rec. man. emend., in marg. Reg., int. vers. Cass. Contra in Dan. rec. corrector ex ἀΐδια fecerat ἰδία.

Ξυγκατοικίσαντες. F. Gr. Laur. E. Vind. m. Ar. Chr. Dan. Ald. Bas. ξυγκατοικήσαντες. Etiam in Cass. erasa scriptura vetusta demum factum erat ξυγκατοικίσαντες.

5. Τοιαύτης. Reg. (G.) τῆς τοιαύτης, non inepte. Dion. p. 275. (de quo loco add. not.) ταύτης; sed codd. τοιαύτης.

Οὖν om. Vat. H. G.

Μὴ ἀφαιρεθῆναι αὐτήν. F. αὐτ. μὴ ἀφαιρεθ.

Digitized by Google

σαν, καὶ τῶν λειπομένων πάντα τινὰ εἰκὸς ἐθέλειν ὑπὲρ αὐτῆς κάμνειν."

(γ'. Ἔπαινος τῶν ἀποθανόντων αὐτῶν. Κεφ. μβ'.)

μβ'. „Διὸ δὴ καὶ ἐμήκυνα τὰ περὶ τῆς πόλεως, διδασκαλίαν τε ποιούμενος μὴ περὶ ἴσου ἡμῖν εἶναι τὸν ἀγῶνα καὶ οἷς τῶνδε μηδὲν ὑπάρχει ὁμοίως, καὶ τὴν εὐλογίαν ἅμα ἐφ' οἷς νῦν λέγω φανερὰν σημείοις καθιστάς. 2. καὶ εἴρηται αὐτῆς τὰ μέγιστα· ἃ γὰρ τὴν πόλιν ηὔξησα, αἱ τῶνδε καὶ τῶν τοιῶνδε ἀρεταὶ ἐκόσμησαν, καὶ οὐκ ἂν πολλοῖς τῶν Ἑλλήνων ἰσόῤῥοπος ὥσπερ τῶνδε, ὁ λόγος τῶν ἔργων φανείη. δοκεῖ δέ μοι δηλοῦν ἀνδρὸς ἀρετὴν, πρώτη τε μηνύουσα, καὶ τελευταία βεβαιοῦσα, ἡ νῦν τῶνδε κατασκαφή. 3. καὶ γὰρ τοῖς ἄλλα χείροσι δίκαιον τὴν ἐς τοὺς πολέμους ὑπὲρ τῆς πατρίδος ἀνδραγαθίαν προτίθεσθαι· ἀγαθῷ γὰρ κακὸν ἀφανίσαντες, κοινῶς μᾶλλον ὠφέλησαν, ἢ ἐκ τῶν ἰδίων ἔβλαψαν. 4. τῶνδε δὲ οὔτε πλούτῳ τις, τὴν ἔτι

μβ'. 5. Οἷς] τοῖς Πελοποννησίοις. — Τὴν εὐλογίαν] τὸν ἔπαινον. — 6. Σημείοις καθιστάς] ἀπὸ κοινοῦ τὸ ἐμήκυνα. — 7. Καὶ εἴρηται αὐτοῖς τὰ μέγιστα] ἐπηνέθησαν δηλονότι. — Τὴν πόλιν] λείπει ἡ εἰς. — 9. Ἰσόῤῥοπος] ἰσοστάσιος, μὴ ὑπερβάλλων τὰ πράγματα. — 11. Πρώτη τε μηνύουσα] τῇ τιμῇ. — 12. Τῶνδε] τῶν ἀνθρώπων. — Καταστροφή] ὁ θάνατος. — 14. Προτίθεσθαι] προτιμᾶσθαι. (l. Ἀγ.) — Κακὸν] οἷον κλοπὴν, μοιχείαν, καὶ τὰ τοιαῦτα. — 15. Ἐκ τῶν ἰδίων] ἁμαρτημάτων δηλονότι.

Cap. XLII. Διὸ — κρθτισάς. „Dion. Hal. p. 47. [299.] καὶ εἰ ἐμήκυνα, et om. voc. ὁμοίως." WASS.

Δή de. Ar.

Ὁμοίως, καί. Cod. Bas. ὁμοίως τε καί.

Ἅμα om. E.

2. Αὐτῆς. Cass. a man. rec. ahtasa priore scriptura, C. Ar. marg. Flor. Vin. et marg. Steph. cum Schol. αὐτοῖς. D. αὐτει, ῃ s. οι ead. man.

Ἐκόσμησαν. I. ὕμνησαν, marg. ead. man. ἐκόσμησαν.

Πολλοῖς. E. πολύς.

Ἀρετὴν. D. ζωὴ, sed ζωὴ erasum; et marg. al. man. ἀρετὴν ζωὴ, sicut Tus.

3. Τὴν ἐς. Τήν de. Gr.

Πολέμους. Πολεμίους legendum conieçimus Obss. critt. p. 226., quod adhuc placet. Haec vocabula saepissime confundi docet statim c. 43. et not. ad II, 36.

Τῆς πατρ. Chr. γῆς πατρ.

Κοινῶς. Marg. Flor. Vin. κοινῷ

4. Πλούτῳ Cass. Aug. Cl. C. F. Pal. H. Vat. Reg. (G.) Gr. D. I. B. Bar. Ald. Flor. Bas.

Digitized by Google

ἀπόλαυσιν προτιμήσας, ἐμαλακίσθη, οὔτε παυίας ἐλπίδι, ὡς κἂν ἔτι διαφυγὼν αὐτὴν πλουτήσειεν, ἀναβολὴν τοῦ δεινοῦ ἐποιήσατο· τὴν δὲ τῶν ἐναντίων τιμωρίαν ποδεινοτέραν αὐτῶν λαβόντες, καὶ κινδύνων ἅμα τόνδε 124
κάλλιστον νομίσαντες, ἐβουλήθησαν μετ' αὐτοῦ τοὺς μὲν 5
τιμωρεῖσθαι, τῶν δὲ ἐφίεσθαι, ἐλπίδι μὲν τὸ ἀφανὲς τοῦ κατορθώσειν ἐπιτρέψαντες, ἔργῳ δὲ περὶ τοῦ ἤδη ὁρωμένου σφίσιν αὐτοῖς ἀξιοῦντες πεποιθέναι· καὶ ἐν αὐτῷ τὸ ἀμύνεσθαι καὶ παθεῖν μᾶλλον ἡγησάμενοι, ἢ τὸ ἐνδόντες σώζεσθαι, τὸ μὲν αἰσχρὸν τοῦ λόγου ἔφυγον, τὸ δ' ἔργον τῷ σώματι ὑπέμειναν, καὶ δι' ἐλαχί- 10

2. *Τοῦ δεινοῦ*] τοῦ τιμωρεῖσθαι τοὺς ἐναντίους. — 5. *Μετ' αὐτοῦ*] τοῦ κινδύνου. — 6. *Τόνδε*] τῶν ἀρετῶν. — *Ἐλπίδι μὲν τὸ ἀφανὲς* — *ἐπιτρέψ.*] τουτέστιν, εὐέλπιδες γενόμενοι ὅτι νικήσουσι. — 7. *Ἐπιτρέψαντες*] δόντες. (λ. Ἀύγ.) — 8. *Καὶ ἐν αὐτῷ*] τῷ ἔργῳ. (λ. Ἀύγ.) — 9. *Μᾶλλον*] ἀντὶ τοῦ πρεῖσσον. (Βασ.) — *Ἡγησάμενοι*] ἀπὸ κοινοῦ τὸ κάλλιστον. (λ. Ἀύγ.) — 10. *Τὸ μὲν αἰσχρὸν τοῦ λόγου*] τὸ ὀνειδίζεσθαι ὡς δειλοί, [ὡς ἀκοῦσαι δειλοί. (Βασ.)] [*τὸ δὲ ἔργον, τὸ ἀποθανεῖν.* (λ. Ἀύγ.)] — 11. *Καὶ δι'*

marg. Steph. Haack. Vulgatum *πλούτῳ* temere revocavit Bekk. Dativus quo spectet ut clarius intelligatur, virgula post *τίς* et *προτιμήσας* interpunximus.

Ἔτι de. Cass. et m. abrasa script. Etiam in Aug. deletum. F. *εἰς ἔτι*.

Ὡς. Mosqu. *οὐκ ὡς*, sed *ὡς* a man. rec.

Κἂν. Dan. *ἄν*. in marg. Ald. Vin. *οὐκ ἄν*.

Τὴν δὲ – ἀπηλλάγησαν. „Dion. Hal. p. 136. [806. Reisk.]" WASS.

Τιμωρίαν. Marg. Flor. Vin. *σωτηρίαν*.

Αὐτῶν. Dan. *αὐτοῖν*.

Ἐβουλήθησαν Cass. Aug. F. Pal. It. Vat. Reg. (G.) cod. Bas. Gr. Laur. m. Dion. Haack. Bekk. Vulgo *ἠβ*. At vid. I. 1. p. 226.

Μετ' αὐτοῦ om. Dion. Hal. Vid. not.

Ἐφίεσθαι. Tus. *ἐφιεῖσθαι*, apud Dion. Hal. cod. Reg. 2. *ὑφίεσθαι*. Nos *ἀφίεσθαι* legendum esse coniecimus in Obss. critt. Cf. not.

Πεποιθέναι. E. *πεποιθέναι*, *οι* s. *ῑ* al. man.

Τὸ ἀμύνεσθαι Aug. It. H. G. Gr. a pr. man. (deinde enim emend. *τῷ ἀμύν.*) D. I. E. m. Schol. Bekk. Vulgo *τῷ ἀμύνασθαι*. Cf. not. *Τό* praebet etiam Vat. et Steph. 2., *ἀμύνεσθαι* autem Cass. F. Laur. Ar. Chr. Dan. Bar. Ald. Flor. Bas. Steph. 1. Haack., etiam Dion., qui insuper *καί* et *αὐτῷ* om. et habet tantum *ἐν τῷ ἀμύνεσθαι*.

Ἢ τό Cass. Aug. It. Vat. Reg. Gr. a pr. man. item Laur. m. Steph. 2. Bekk. Post Steph. 2. ad Gottl. usque *ἢ τῷ*, Gottl. et Haack. *ἢ τῳ*. Vid. not.

Σώζεσθαι. Cum Pal. hic Aug. *σῴζ*. Vid. de Art. crit. ap. Thuc. c. 12.

Καὶ δι' — ἀπηλλάγησαν om. Pal.

Digitized by Google

στου καιροῦ τύχης ἅμα ἀκμῇ τῆς δόξης μᾶλλον ἢ τοῦ δέους ἀπηλλάγησαν."

(δ'. Παρόρμησις τῶν λοιπῶν, ζηλῶσαι ἐκείνους. Κεφ. μγ'.)

μγ'. „Καὶ οἵδε μὲν προσηκόντως τῇ πόλει τοιοίδε ἐγένοντο· τοὺς δὲ λοιποὺς χρὴ ἀσφαλεστέραν μὲν εὔχεσθαι, ἀτολμοτέραν δὲ μηδὲν ἀξιοῦν τὴν ἐς τοὺς πολεμίους διάνοιαν ἔχειν, σκοποῦντας μὴ λόγῳ μόνῳ τὴν ὠφέλειαν, (ἣν ἄν τις πρὸς οὐδὲν χεῖρον αὐτοὺς ὑμᾶς εἰδότας μηκύνοι, λέγων ὅσα ἐν τῷ τοὺς πολεμίους ἀμύνεσθαι ἀγαθὰ ἔνεστιν,) ἀλλὰ μᾶλλον τὴν τῆς πόλεως δύναμιν καθ' ἡμέραν ἔργῳ θεωμένους, καὶ ἐραστὰς γιγνομένους αὐτῆς, καὶ ὅτ' ἂν ὑμῖν μεγάλη δόξῃ εἶναι, ἐνθυμουμένους ὅτι τολμῶντες, καὶ γιγνώσκοντες τὰ δέοντα, καὶ ἐν τοῖς ἔργοις αἰσχυνόμενοι ἄνδρες αὐτὰ

ἐλαχίστου καιροῦ τύχης] τύχην ἀεὶ ὁ Θουκυδίδης καλεῖ τὸν πόλεμον. ἀκμάζοντες, φησὶν, ἐν εὐδοξίᾳ, καὶ οὐχὶ δειλίᾳ ἀπέθανον. — Καὶ δι' ἐλαχ. καιροῦ — ἀπηλλάγησαν] καὶ ἐν βραχεῖ καιρῷ, φησὶν, ἀπηλλάγησαν τὴν σφαγὴν δεξάμενοι, ἀκμαζούσης ἐν αὐτοῖς ἔτι τῆς δόξης, καὶ ἐλπίδος τοῦ νικῆσαι, μᾶλλον ἢ τοῦ δέους, καὶ τοῦ φυγεῖν· ἀπὸ κοινοῦ δὲ τὸ ἀκμάζοντος.

μγ'. 6. Λόγῳ μόνῳ] τῷ παρ' ἐμοῦ λόγῳ. (Ἀν.) — 7. Οὐδὲν χεῖρον] ἐμοῦ οὐδὲν χεῖρον. (Ἀν.) — 10. Καὶ ἐραστὰς γιγνομένους αὐτῆς] ἀπὸ κοινοῦ τὸ ἀτολμοτέραν δὲ μηδὲν ἀξιοῦν. — 11. Δόξῃ εἶναι] ἡ πόλις δηλονότι. (λ. Ἀν.) — 13. Αἰσχυνόμενοι] Ὅμηρος· Αἰδομένων δ' ἀνδρῶν πλείονες σόοι ἠὲ πέφανται. (Ἀν.) — Ἄνδρες] ἀνδρεῖοι. — Αὐτά] τὰ μεγάλα δηλονότι.

Cap. XLIII. Ἀτολμοτέραν δέ. Δέ om. Gr.

Πολεμίους. Ar. Chr. Dan. πολέμους.

Μόνῳ. Cod. Bas. μόνον.

Ὠφέλειαν. Pal. It. Vat. ὠφελίαν, in Pal. corr. rec. man. Vid. de Art. crit. ap. Thuc. c. 12.

Οὐδὲν χεῖρον αὐτούς. Cod. Bas. a corr. αὐτοὺς οὐδὲν χεῖρ.

Μηκύνοι. Hinc usque ad τὴν τῆς πόλ. lacuna in I. in marg. al. man. expleta.

Πόλεως. C. πολέμου.

Θεωμένους. Pal. θεμένους. I. γιγνομένους, ην s. ους al. man. D. γιγνομένην.

Γιγνομένους. Gr. γενομ. (E. Ar. Chr. Dan. γινομ.)

Ὅτ' ἄν. Gr. ὅταν μέν.

Ἐνθυμουμένους. Praecedenti ὑμῖν in errorem inductus Steph. contra mss. temere scripserat ἐνθυμουμένοις, quod a Duk. monitus correxit Gottl. In Aug. a pr. man. ἐνθυμούμενος, sed manus rec. accentum in antepenult. delevit et ō in ōῡ mutavit. Ἐνθυμούμενος etiam It. Vat. H. G., duo posteriores ους s. ος.

Ἄνδρες om. I.

Digitized by Google

ἐπήδαντο, καὶ ὁπότε καὶ πεῖρα τοῦ σφαλείησαν, οὔκουν καὶ τὴν πόλιν γε τῆς σφετέρας ἀρετῆς ἀξιοῦντες στερίσκειν, κάλλιστον δὲ ἔρανον αὐτῇ προϊέμενοι. 2. κοινῇ γὰρ τὰ σώματα διδόντες, ἰδίᾳ τὸν ἀγήρων ἔπαινον ἐλάμβανον, καὶ τὸν τάφον ἐπισημότατον, οὐκ ἐν ᾧ κεῖνται μᾶλλον, ἀλλ' ἐν ᾧ ἡ δόξα αὐτῶν παρὰ τῷ ἐντυγχάνοντι ἀεὶ καὶ λόγου καὶ ἔργου καιρῷ ἀείμνηστος καταλείπεται. 3. ἀνδρῶν γὰρ ἐπιφανῶν πᾶσα γῆ τάφος, καὶ οὐ στηλῶν μόνον ἐν τῇ οἰκείᾳ σημαίνει ἐπιγραφή, ἀλλὰ καὶ ἐν τῇ μὴ προσηκούσῃ ἄγραφος μνήμη παρ' ἑκάστῳ τῆς γνώμης μᾶλλον ἢ τοῦ ἔργου ἐνδιαιτᾶται. 4. οὓς νῦν ὑμεῖς ζηλώσαντες καὶ τὸ εὔδαιμον, τὸ ἐλεύθερον, τὸ δὲ ἐλεύθερον τὸ εὔψυχον κρίναντες, μὴ περιορᾶσθε τοὺς

1. *Πείρα του*] δοκιμῇ πολέμου. (λ. Λύγ.) — *Σφαλείησαν*] ἀπὸ κοινοῦ τὸ ἐνθυμούμενοι. — 3. *Κάλλιστον δὲ ἔρανον*] καλλίστην συνεισφοράν. (λ. Κασσ. Λύγ.) — *Προϊέμενοι*] διδόντες. ἀπὸ κοινοῦ τὸ ἐκτήσαντο αὐτά. (λ. Κασσ.) — *Κοινῇ γὰρ*] γνώμῃ δηλονότι. (λ. Λύγ.) — 4. *Τὰ σώματα διδόντες*] εἰς πόλεμον δηλονότι. (λ. Λύγ.) — 9. *Σημαίνει*] παρίστᾶ. (λ. Λύγ.) — 10. *Ἐν τῇ μὴ προσηκούσῃ*] γῇ δηλονότι. — 12. *Καὶ τὸ εὔδαιμον — τὸ εὔψ. κρίν.*] ἕπεται γὰρ εὐψυχίᾳ μὲν ἡ ἐλευθερία, ταύτῃ δὲ ἡ εὐδαιμονία καὶ ὁ μακάριος βίος καὶ [ὁ] σπουδαῖος. [*Ὅμηρος· Ἥμισυ γάρ τ' ἀρετῆς ἀπαλύνεται.* (Λύγ.)]

Πείρᾳ. Gr. *πεῖρα.*

Οὔκουν. Gr. *οὐκοῦν.*

Στερίσκειν. I. *διδάσκειν*, marg. al. man. *στερίσκ.*

Αὐτῇ. C. F. D. I. m. Ar. Chr. Dan. *αὐτοί*, postremus tamen rec. man. *αὐτῇ.*

Προϊέμενοι. Dan. *προέμενοι*, rec. man. *προϊέμ.*

2. *Ἀγήρων.* Reg. (G.) H. Gr. Vind. Tus. *ἀγήρω.* „*Ἀγήρων* e Thuc. Pollux II, 14." WASS. „Variat scriptura etiam infra cap. 44." DUK. Cf. I. 1. p. 220.

Ἐλάμβανον. D. *ἔλαβον.*

Ἀλλ'. Laur. E. Ar. Chr. Dan. marg. Steph. *ἤ.* At vid. Matth. §. 455. b. Utrumque om It.

Ἡ δόξα. *Ἡ* a rec. man. illat. in Pal.

3. *Ἀνδρῶν — τάφος.* „Stobaeus p. 614." WASS.

Πᾶσα γῆ. Dan. *πᾶσα ἡ γῆ.* Quod temere probat Doederlein. ad Soph. Oed. Col. p. 832.

Μόνον. Laur. Vind. B. ed. Bas. marg. Steph. *μόνων.* (Pariter scriptura fluctuabatur I, 89. fin.)

Οἰκείᾳ. Reg. (G.) H. *οἰκίᾳ.*

Σημαίνει. Reg. (?) *ἐπισημαίνει.*

Ἐπιγραφή. It. Vind. *ἐπιγεγραφῆ.*

Τῇ μή. G. *μή* s. v. Laur. Vind. *τιμῇ.*

4. *Νῦν* de. Chr.

Ὑμεῖς. Gr. D. H. m. *ἡμεῖς.*

Τὸ δὲ ἐλεύθ. Δέ om. C.

Μὴ περιορᾶσθε τοὺς κιν. κιν. „Thom. Mag. in *περιορῶ* ex h. l. ostendit *περιορᾶσθαι* etiam activa significatione dici pro *καταφρονῶ*. [cf. I. 1. p. 188.] Sed perperam apud eum editur *πε-*

Digitized by Google

κολεμικὰς κινδύνους. 6. οὐ γὰρ οἱ κακοπραγοῦντες δικαιότερον ἀφειδοῖεν ἂν τοῦ βίου, οἷς ἐλπὶς οὐκ ἔστ' ἀγαθοῦ, ἀλλ' οἷς ἡ ἐναντία μεταβολὴ ἐν τῷ ζῆν ἔτι κινδυνεύεται, καὶ ἐν οἷς μάλιστα μεγάλα τὰ διαφέροντα, ἤν τι πταίσωσιν. 6. ἀλγεινοτέρα γὰρ ἀνδρί γε φρόνημα ἔχοντι ἡ † ἐν τῷ μετὰ τοῦ † μαλακισθῆναι κάκωσις, ἢ ὁ μετὰ ῥᾳθυμίας καὶ κοινῆς ἐλπίδος ἅμα γιγνόμενος ἀναίσθητος θάνατος."

(ε. Παραινθία τῶν περιγενομένων (κεφ. μδ'. με'.), καὶ τῶν τοκέων τῶν τε ἔτι ἀκμαζόντων καὶ τῶν παρήβηκότων.)

μδ'. „Διόπερ καὶ τοὺς τῶνδε νῦν τοκέας, ὅσοι πάρεσσε, οὐκ ὀλοφύρομαι μᾶλλον, ἢ παραμυθήσομαι. ἐν

1. Οὐ γὰρ οἱ κακοπραγοῦντες — —] τὸ νόημα παράδοξον, καὶ ἐναντίον τῇ κοινῇ συνηθείᾳ· Θέογνις γάρ, ὁ ποιήσας τὰς ὑποθήκας, φησὶ, Χρὴ πενίην φεύγοντα καὶ ἐς μεγακήτεα πόντον Πίπτειν καὶ πετρῶν, Κύρν', κατ' ἠλιβάτων. τούτῳ οὖν ἐναντίως ὁ Περικλῆς ἀποφαίνεται, καὶ σπάνει τὴν ἀορίστειαν τῆς ἑρμηνείας, ὅτι καὶ τῆς εἰρημένης τοῦ Θεόγνιδος ὑποθήκης λανθανόντως ἐμνήσθη, καὶ ἠνίξατο, εἰκὼν τὸ δικαιότερον. τὸ γὰρ δικαιότερον συγκρίσεως ἔμφασιν ἔχει. — 8. Ἀναίσθητος] προσθεὶς τὸ ἀναίσθητος ἐποίησεν ἐγκώμιον καὶ ξένιον τοῦ θανάτου.

φιορᾶσθαι." DUK. *Περιορᾶσθαι* etiam F. H. E.

5. *Δικαιότερον*. C. δικαιότερον. *Ἔστ'*. Laur. E. m. Ar. Chr. *ἔστιν*, et rarissimus utique et fortassis non ferendus in hoc vocabulo apud Thuc. usus apostrophi. Dan. inverso ordine οὐκ ἔστιν ἐλπίς.

Πταίσωσιν. Gr. πταίωσιν.

6. *Ἀλγεινοτέρα — θάνατος*. „Stobaeus p. 88. [ubi γέ om. cod. A.]" WASS.

Ἐν τῷ μετὰ τοῦ μαλ. Locus difficillimus et suspectus. *Ἐν τῷ*, quod Stob. editt. om., deleri iusserunt Bredowius et Goellerus Actt. philoll. Monacc. II, 2. p. 214. „Nec mihi liquet, quae sit illarum sententia; sed totus locus est *δυσνόητος*." DUK. *Ἐν τῷ* post *μετὰ τοῦ* collocant Laur. E. Vind. m. Ar. Chr. Dan. et Stob. cod. A. *Ἐν τῷ* cum Abresch. scripserunt Gottl. et Bekk. *Μετὰ τοῦ* omittendum censuerunt Tus. Schneid. ad Xen. Anab. III, 2, 32. et Haack., qui uncis inclusit. Utrumque defendere conatur Krüg. ad Dion. Historiogr. p. 210. Vid. not. *Ἐν τῷ μετὰ τὸ μαλ.* aliquando placuit Hermanno, quod iusto obscurius videtur.

Ἐλπίδος ἅμα. Dan. ἐλπίδος κάκωσις ἅμα.

Ἅμα γιγνόμ. ἀναίσθ. Laur. E. Ar. Chr. *ἅμα τε γιγν. καὶ ἀναίσθ*. Dan. *ἅμα τε γιγν. ἀναίσθ*. Vind. Bar. ed. Bas. *ἅμα γιγν. καὶ ἀνάισθ*.

Cap. XLIV. *Διόπερ — παραμυθήσομαι*. „Dion. Hal. p. 47. [297. Reisk.]" WASS.

Πάρεστε. Gr. πάρισται.

Ὀλοφύρομαι. Cass. ὀλοφύρω-

Digitized by Google

πολυτρόπους γὰρ ξυμφορᾶις ἐπίστανται τραφέντες, τὸ δ' εὐτυχὲς, οἳ ἂν τῆς εὐκρεπεστάτης λάχωσιν, ὥςπερ οὗδε μὲν νῦν, τελευτῆς, ὑμεῖς δὲ, λύπης, καὶ οἷς ἐνευδαιμονῆσαί τε ὁ βίος ὁμοίως καὶ ἐντελευτῆσαι ξυνεμετρήθη. 2. χαλεπὸν μὲν οὖν οἶδα πεῖθειν ὅν, ὧν καὶ πολλάκις ἔξετε ὑπομνήματα ἐν ἄλλων εὐτυχίαις, αἷς ποτὲ καὶ αὐτοὶ ἠγάλλεσθε· καὶ λύπη οὐχ ὧν ἄν τις μὴ πειρασάμενος ἀγαθῶν στερίσκηται, ἀλλ' οὗ ἂν ἐθὰς γενόμενος ἀφαιρεθῇ. 3. καρτερεῖν δὲ χρὴ καὶ ἄλλων παίδων ἐλπίδι, οἷς ἔτι ἡλικία τέκνωσιν ποιεῖσθαι. ἰδίᾳ † γάρ τε † τῶν οὐκ ὄντων λήθη οἱ ἐπιγιγνόμενοι τισιν

ρδ'. 1. *Ἐπίστανται τραφέντες*] οὐχ οἱ τελευτήσαντες, ἀλλ' οἱ περιόντες αὐτῶν γονεῖς. — 3. *Οἷς*] λείπει τὸ ἐν ἐκείνοις. (*Κασσ. Ἀνγ.*) — *Ἐνευδαιμονῆσαι* —] τουτέστιν ἐν εὐδαιμονίᾳ καὶ ζῆσαι καὶ τελευτῆσαι. — 6. *Εὐτυχίαις*] τουτέστι τοῖς τέκνοις. — 8. *Ἐθὰς γενόμενος*] ἐξ ἔθους ἀπολαύων. (*λ. Ἀνγ.*) — 10. *Ἰδίᾳ*] γράφεται ἠδεῖα· τουτέστι γλυκεῖα ἡ λήθη τῶν ἀπελθόντων τέκνων εἰ ἐπιγενηθέντες γίνονται παῖδες. (*Βασ.*) — 11. *Οὐκ ὄντων*] τῶν τεθνηκότων. (*λ. Ἀνγ.*)

μαι. Marg. Flor. Vin. „fort. ὀλοφυρούμαι." At vid. not.

Ἐπίστανται. Marg. Flor. Vin. „fort. ἐπίστασθε." At hic repens reditus a secunda persona ad tertiam et deinde rursus ad secundam apud hunc scriptorem non potest offendere. Vid. I. 1. p. 275.

Τραφέντες. I. στραφέντες, marg. al. man. τραφ.

Νῦν om. Cl. (Chr.?) Ar., et ante *μέν* collocat Gr., ante *οἵδε* marg. Steph.

Καὶ οἷς. Ante Gottl. *καὶ ἐν οἷς*, sed *ἐν* om. Cass. Aug. Cl. Pal. Reg. cod. Bas. Gr. Ar. Chr. Dan. et Parr. atque Itt., ut videtur, omnes. *Ἢ οἷς* coniecit Herm. ad Vig. p. 711. At vid. not.

Ἐντελευτῆσαι. Reg. τελευτ. „Reiskius eleganter pro *ἐντελευτῆσαι* coniicit *ἐναντελευτῆσαι*." GOTTL. Cf. not. Sed concinnitatem saltem hanc mutationem non flagitare docet Dindorfii adnotatio ad III, 12.

2. *Τῆς μή. Μή* s. v. al. man. C.

Πειρασάμενος. Cass. Aug. C. It. Vat. H. Gr. Laur. Vind. Ar. Chr. Bar. Ald. Flor. Bas. *πειρασόμενος*, quod male commendat Bened. In marg. cod. Bas. ab emendat. script. *πειραθείς*.

Οὗ. Marg. cod. Bas. *ὧν*. Quo non opus. Vid. I. 1. p. 93.

Ἀφαιρεθῇ Laur. Vind. m. Ar. Chr., quod in Obss. critt. a nobis commendatum recepit Bekk. In vulgato *ἀφαιρεθείη* defendendo argutatur Haacke. Cf. I. 1. p. 143.

3. *Χρή* s. v. G.

Ἔτι. Vind. *ἔστι*.

Ἰδίᾳ. Schol. cod. Bas. memorat scripturam *ἡδεῖα*.

Γάρ τε Cass. Aug. C. F. It. Vat. H. Reg. (G.) Gr. D. I. Laur. E. Ar. Chr. Bekk. Quibus tot auctoritatibus noluimus repugnare. Vulgo (et Haack.) *τε*

Digitized by Google

ἔσονται, καὶ τῇ πόλει διχόθεν, ἔκ τε τοῦ μὴ ἐρημοῦσθαι, καὶ ἀσφαλείᾳ, ξυνοίσει· οὐ γὰρ οἷόν τε ἴσον τι ἢ δίκαιον βουλεύεσθαι οἳ ἂν μὴ καὶ παῖδας ἐκ τοῦ
126. ὁμοίου παραβαλλόμενοι κινδυνεύωσιν. 4. ὅσοι δ' αὖ παρηβήκατε, τόν τε πλείονα κέρδος, ὃν εὐτυχεῖτε, βίον ἡγεῖσθε, καὶ τόνδε βραχὺν ἔσεσθαι, καὶ τῇ τῶνδε εὐκλείᾳ κουφίζεσθε. τὸ γὰρ φιλότιμον ἀγήρων μόνον, καὶ οὐκ ἐν τῷ ἀχρείῳ τῆς ἡλικίας τὸ κερδαίνειν, ὥςπερ τινές φασι, μᾶλλον τέρπει, ἀλλὰ τὸ τιμᾶσθαι."

4. *Παραβαλλόμενοι*] εἰσφέροντες. — *Παρηβήκατε*] γεγηράκατε. (λ. *Δύγ.*) — 8. *Ἐν τῷ ἀχρείῳ*] τῷ γήρᾳ δηλονότι. — *Τὸ κερδαίνειν*] φιλάργυροι γὰρ οἱ γέροντες.

γάρ, qui sane usitatus ordo est, quem scriptor ideo reliquisse videtur, ut τέ non ad solum *ἰδίᾳ*, sed ad totam sententiam *ἰδίᾳ τε — ἔσονται* pertinere declararet. Pal. *τὶ γάρ.*

Λήθη s. v. al. man. H.

Οἱ ἐπιγιγνόμ. C. *οἷς ἐπιγιγν.*

Ἔκ τε. Τέ de. Reg. (G.)

Ἀσφαλείᾳ. Vind. *ἀσφαλεία.*

Ξύνοίσει Cass. Aug. (hic a pr. man.) Cl. C. F. It. Vat. G. cod. Bas. Gr. D. Laur. E. Vind. Mosqu. m. Dan. (sed in postremo emendat. *ξυνοίσειν.*) Vall. Tus. Haack. Bekk. Sic etiam I., sed marg. al. man. *ξυνοίσουσι*, ex interpr. Vulgo *ξυνοίσειν.* Inutilis Canteri coniectura *ξυνοικήσειν* et Heilmanni *ξυνοικεῖν.* Cf. not.

Ἴσον Cass. Aug. Bekk. Vulgo (et Haack.) *ἴσον.* Vid. I. 1. p. 214.

Τί. Cass. Aug. Pal. It. Vat. *τέ.*

Ἂν μὴ καί. Cass. Reg. (?) *μὴ ἂν καί.* Aug. C. F. Pal. It. Vat. G. (?) *ἂν καὶ μή.*

Παραβαλλόμενοι. C. *παραλαμβανόμενοι.*

Κινδυνεύωσιν. Laur. E. *κινδυνεύουσιν.* Bar. Ar. Ald. Flor. Bas. (ed., non cod. Bas.) Steph. 1. *κινδυνεύσωσιν.*

4. *Πλείονα.* Laur. Ar. Chr. Dan. *πλέονα*, per se aeque bene.

Ὃν Cass. Aug. It. Vat. marg. Flor. Vin. marg. Steph. Tus. Vall. Haack. Bekk. Male vulgo *ὃν* cum hac verborum distinctione *πλείονα, κέρδος ὃν, εὐτυχεῖτε βίον, ἡγεῖσθε καί.* Cf. not. G. *ἄν* pro *ὃν*, sed hoc s. *ἄν.*

Ἡγεῖσθε. Ed. Bas. *ἡγεῖσθαι.*

Βραχύν D. om. et in marg. habet *βραχύ.*

Ἔσεσθαι. D. Mosqu. *ἴσεσθε*, in illo *αι* s. *ε* al. man.

Καὶ τῇ — εὐκλείᾳ de. Mosqu. *Τῇ* s. v. G.

Τῶνδε. Chr. *τοῦδε*, marg. *τῶνδε.*

Κουφίζεσθε. Gr. *κουφίζεσθαι* ex emendat. int. vers. Sic etiam I. *αι* s. *ε* cad. man. *Κουφίζεσθαι* ed. Bas.

Ἀγήρων. E. Vind. Dan. ed. Bas. marg. Steph. *ἀγήρω.* „Ἀγήρω firmat Plutarch. Mor. 783. Sic apud eundem *ἔκπλεω, ἀνάπλεω.* [At vid. Stob. II. p. 250. Gsf.] Utroque modo Homerus. [in nentro?] WASS. Cf. Buttm. Gr. max. §. 37. not. 4. et script. discr. ad c. 43, §. 2.

Τέρπει. D. prius *τέρπειν*, sed *ν* deletum.

Digitized by Google

(ββ'. Τῶν παίδων καὶ ἀδελφῶν. γ'. Τῶν γυναικῶν.)

μέ. „Παισὶ δ' αὖ, ὅσοι τῶνδε πάρεστε, ἢ ἀδελφοῖς ὁρῶ μέγαν τὸν ἀγῶνα. τὸν γὰρ οὐκ ὄντα ἅπας ἐπαινεῖ, καὶ μόλις ἂν καθ' ὑπερβολὴν ἀρετῆς οὐχ ὅμοιοι, ἀλλ' ὀλίγῳ χείρους κριθείητε. φθόνος γὰρ τοῖς ζῶσι πρὸς τὸ ἀντίπαλον· τὸ δὲ μὴ ἐμποδὼν ἀνταγωνίστῳ εὐνοίᾳ τετίμηται. 2. Εἰ δέ με δεῖ καὶ γυναικείας τι ἀρετῆς, ὅσαι νῦν ἐν χηρείᾳ ἔσονται, μνησθῆναι, βραχείᾳ παραινέσει ἅπαν σημανῶ. τῆς τε γὰρ ὑπαρχούσης φύσεως μὴ χείροσι γενέσθαι, ὑμῖν μεγάλη ἡ δόξα, καὶ ἧς ἂν ἐπ' ἐλάχιστον ἀρετῆς πέρι ἢ ψόγου ἐν τοῖς ἄρσεσι κλέος ᾖ."

(Ἐπίλογος.)

μς'. „Εἴρηται καὶ ἐμοὶ λόγῳ κατὰ τὸν νόμον ὅσα εἶχον πρόσφορα, καὶ ἔργῳ οἱ θαπτόμενοι τὰ μὲν ἤδη κεκόσμηνται, τὰ δὲ αὐτῶν τοὺς παῖδας τὸ ἀπὸ τοῦδε

μέ. 2. Τὸν γὰρ οὐκ ὄντα] τὸν τεθνηκότα. (λ. Ἀὺγ.) — 4. Ὀλίγῳ] μέτρῳ δηλονότι. (λ. Ἀὺγ.) — 5. Τὸ δὲ μὴ ἐμποδὼν] τὸ δὲ μηδὲν ἔχον ἐναντίον. — Ἀνανταγωνίστῳ] ἀναμφιβόλῳ. (λ. Ἀὺγ.) — 6. Καὶ γυναικείας τι ἀρετῆς] ἀρετὴ γυναικὸς σιωπωμένη κηρύττεται. — 8. Τῆς τε γὰρ ὑπαρχ. φύσ.] τῆς σωφροσύνης. μόνη γὰρ αὕτη ἀρετὴ ταῖς γυναιξὶν ἔνεστιν· οὐ γὰρ ἀνδρεία, ἢ δικαιοσύνη, ἢ φρόνησις.

μς'. 12. Εἴρηται] οἱ ἐπίλογοι. (Ἀὺγ.)

Cap. XLV. Ἅπας. Laur. E. Vind. Ar. Chr. Dan. πᾶς.

Κριθείητε ex emend. rec. man. Gr. fuerat κωλυθείητε.

Τὸ ἀντίπαλον Cass. Aug. Gl. Reg. cod. Bas. Stob. p. 224. et, ut videtur, Vat. De Parr. tacet Gail. Pal. It. Laur. servant τὸν ἀντίπαλον, quae ante Gottl. vulgaris fuit scriptura, quanquam altera iam Stephano placebat. Cf. not.

Ἐμποδών. Aug. Pal. ἐμποδῶν.

2. Τῆς τε. Τε om. I.

Ἧς ex Cass. Aug. Gl. cod. Bas. Gr. Mosqu. Ar. Chr. Dan. marg. Steph. primus recepit Gottl., et sic Pal. plerique Parr. et omnes Itall. exhibere videntur, de quibus tacent editt. Ante Gottl. οἷς, quod habet F. Add. not.

Cap. XLVI. Κατὰ — ἔργῳ om. Cass. It. H. ob similem terminationem nominum λόγῳ et ἔργῳ. in Cass. et H. in marg. adscripta.

Καὶ ἔργῳ om. Aug., in margtamen ab ead. man., a qua Sahol., scripta. Contra G. καὶ ἔργῳ οἱ θαπτ. bis exarata habet.

Τὸ ἀπὸ τοῦδε. Cass. Aug. Gl. It. Vat. τὰ ἀπὸ τ. male; alterum est notissima et ubique frequentata formula.

Digitized by Google

δημοσίᾳ ἡ πόλις μέχρι ἥβης θρέψει, ὠφέλιμον σωφρονοῦντα τοῖσδέ τε καὶ τοῖς λιπομένοις τῶν τοιῶνδε ἀγώνων προτιθεῖσα· ἆθλα γὰρ οἷς κεῖται ἀρετῆς μέγιστα, 127. τοῖς δὲ καὶ ἄνδρες ἄριστοι πολιτεύουσι. 2. νῦν δὲ ἀποκοσμηθέντες ὃν προσήκει ἕκαστος, ἀποχωρεῖτε."

(II. Δεύτερον ἔτος τοῦ πολέμου. — Κεφ. ὁ'. Α. Θέρος. — Κεφ. ξή'. 1) Λοιμὸς καὶ δευτέρα ἐσβολὴ Πελοποννησίων. α) Λοιμὸς ἐν τῇ Ἀττικῇ. — νδ'. Λακεδαιμονίων ἐς τὴν Ἀττικὴν πάλιν ἐσβαλόντων ἡ νόσος ἐγκατασκήπτει. μζ'.)

μζ'. Τοιόνδε μὲν ὁ τάφος ἐγένετο ἐν τῷ χειμῶνι τούτῳ, καὶ διελθόντος αὐτοῦ, πρῶτον ἔτος τοῦ πολέμου τοῦδε ἐτελεύτα.

2. Τοῦ δὲ θέρους εὐθὺς ἀρχομένου Πε- Ὀλ. πζ'. ἔτ. β'.
10 λοποννήσιοι καὶ οἱ ξύμμαχοι τὰ δύο μέρη, ὥςπερ πρὸ Χρ. καὶ τὸ πρῶτον, ἐςέβαλον ἐς τὴν Ἀττικήν· ἡγεῖτο νλ'. ἀπὸ δὲ Ἀρχίδαμος ὁ Ζευξιδάμου, Λακεδαιμονίων βασιλεύς· μην. Μαρτ. καὶ καθεζόμενοι ἐδῄουν τὴν γῆν. 3. καὶ ὄντων αὐτῶν ἡμ. κή.

1. *Μέχρι ἥβης*] μέχρι ὀκτωκαίδεκα ἐτῶν. — 3. *Οἷς κεῖται*] λείπει τὸ παρὰ, ἵν' ᾖ παρ' οἷς. (λ. Λύγ.) — 4. *Τοῖσδε*] παρὰ τοῖσδε. (λ. Λύγ.) — *Πολιτεύουσι*] κατὰ πολιτείαν ἐνεργοῦσιν. (λ. Λύγ.)

Μέχρι Cass. Aug. C. H. I. Bekk. Vulgo (et Haack.) *μέχρις*. At vid. I. 1. p. 215. Particulam om. B.

Θρέψει. Gr. *θρέψῃ*.

Προτιθεῖσα. C. F. Laur. Vind. *προςτιθεῖσα*. At *προτιθέναι ἆθλον, μισθόν* etc. locutiones consuetae.

Ἆθλα — πολιτεύουσι. „Stobaeus p. 248." WASS.

Τοῖς δέ divisim pro *τοῖσδε* cum Dind. secundum praecepta Buttm. et Herm. ad Soph. Philoct. v. 87. scripsimus. De *δέ* cf. etiam ad I, 11.

Ἕκαστος Cass. Aug. Cl. C. F. Pal. *It.* Vat. H. G. Gr. (in quo etiam nulla distinctio est,) I. m. Ar. Chr. Dan. marg. Steph. Bekk. Vulgo (et Haack.) *ἑκάστῳ*.

Ἀποχωρεῖτε Cass. Aug. Cl. C. F. Pal. *It.* H. G. Gr. I. Vulgo (Haack. Bekk.) *ἄπιτε*, cuius illam esse interpretationem iudicant Wass. et Gottl. Nobis optt. libri sequendi videbantur.

Cap. XLVII. *Αὐτοῦ*. In E. cernitur etiam scriptura *αὐτῷ*.

Τοῦ πολέμου τοῦδε. Laur. E. *τοῦ πολ. τούτου*. Dan. *τῷ πολέμῳ τῷδε*. m. *τῷ πολέμῳ τούτῳ*.

2. *Τοῦ δέ*. H. Reg. (G.) Laur. *τοῦ γάρ*.

Τὸ πρῶτον. Mosqu. *τὸ πρότερον*.

Ζευξιδάμου. Vind. *Εὐξιδ.* Laur. et E. om. et E. post *ὁ* pergit *τῶν Λακ.* At vid. II, 71. III, 1. al.

Digitized by Google

οὐ πολλάς πω ἡμέρας ἐν τῇ Ἀττικῇ, ἡ νόσος πρῶτον ἤρξατο γενέσθαι τοῖς Ἀθηναίοις, λεγόμενον μὲν καὶ πρότερον πολλαχόσε ἐγκατασκῆψαι, καὶ περὶ Λῆμνον καὶ ἐν ἄλλοις χωρίοις· οὐ μέντοι τοσοῦτός γε λοιμὸς, οὐδὲ φθορὰ οὕτως ἀνθρώπων οὐδαμοῦ ἐμνημονεύετο γενέσθαι. 4. οὔτε γὰρ ἰατροὶ ἤρκουν τὸ πρῶτον θεραπεύοντες ἀγνοίᾳ, ἀλλ' αὐτοὶ μάλιστα ἔθνησκον, ὅσῳ καὶ μάλιστα προσῄεσαν, οὔτε ἄλλη ἀνθρωπεία τέχνη οὐδεμία· ὅσα τε πρὸς ἱεροῖς ἱκέτευσαν, ἢ μαντείοις καὶ τοῖς τοιούτοις ἐχρήσαντο, πάντα ἀνωφελῆ ἦν· τελευτῶντές τε αὐτῶν ἀπέστησαν, ὑπὸ τοῦ κακοῦ νικώμενοι.

μξ. 1. *Ἡ νόσος πρῶτον ἤρξατο — λεγόμενον*] θηλυκῶς ἡ νόσος· τὸ δὲ λεγόμενον ὡς πρὸς τὸ νόσημα ὑπήντησεν. Ὅμηρος· Νεφέλη δέ μιν ἀμφιβέβηκε Κυανέη, τὸ μὲν οὔποτε· ὡς πρὸς τὸ νέφος ἀπήντησεν. * * σχῆμα ἡ νόσος λεγόμενον· τὸ πρᾶγμα δηλονότι. (*Κασσ. Ἀδύ.*) πάθος ἐστὶ, καὶ ὁ ταύτην εἰκὼν, τὸ πάθος ἐδήλωσε. διὸ καὶ ὁ Θουκυδίδης ἐνταῦθα οὐ πρὸς τὴν νόσον ἐπήγαγε τὴν μετοχὴν, ἀλλὰ πρὸς τὸ σημαινόμενον, ἤγουν τὸ πάθος. (*Βασ.*) — 6. *Θεραπεύοντες ἀγνοίᾳ*] εἰ γὰρ ἤδεισαν ὅτι λοιμὸς ἦν, οὐκ ἂν ἐπεχείρουν [διὰ τὸ μεταδοτικόν. (*λ. Ἀδύ.*)] — 7. *Αὐτοὶ μάλιστα*] μάλιστα τῶν μὴ προσιόντων. (*λ. Ἀδύ.*) — 8. *Ἀνθρωπεία τέχνη*] οἷον μαντικὴ, ἐπῳδή. — 11. *Αὐτῶν*] τῶν θείων καὶ ἀνθρωπίνων. (*λ. Ἀδύ.*) — * * *Ἀπέστησαν*] κατεφρόνησαν. (*Ἀδύ.*)

3. *Ἡ νόσος — χωρίοις.* „[Gregor.] Coriath. [p. 94.], qui *λεγόμενον μὲν πρότερον* omissa copula. [Quae in Schaef. exempll. exstat.] Suidas in *νόσον ἔχειν·* [*νόσος λεγόμενον ἐγκατασκῆψαι·*] *πρὸς τὸ σημαινόμενον ἡ σύνταξις· πρᾶγμα δηλονότι.*" WASS.

Γενέσθαι. Cass. Aug. Ar. Chr. Dan. Greg. Cor. *γίνεσθαι.*

Λεγόμενον. Marg. Steph. *λεγομένη*, ex inutili coniectura. Cf. not.

Τοσοῦτός γε. C. om. *γέ.* G. (?) *γὲ τοσοῦτος.* At vid. Krüg. l. l. p. 266. sq.

Λοιμός. Gr. *λιμός* et cum emend. supr. script. *λοιπός.* Mosqu. quoque *οι* sup. *ι.*

Οὐδέ. In G. *οὐ* cum *δέ* s. v. *Οὐδὲ — γενέσθαι* om. Mosqu. ob sequ. *οὔτε.*

4. *Τὸ πρῶτον.* E. *τὸ πρότερον.*

Μάλιστα ἔθνησκον. Ar. Chr. *μᾶλλον ἔθν.* Pal. *ἐθνήσκον*, i. e. *ἐθνῆσκον.*

Προσῄεσαν. F. *προσίεσαν.*

Ἄλλη s. v. al. man. E.

Ἀνθρωπεία τέχνη. „Ex h. l. affert Pollux II, 5." DUK. E. *τέχνη ἀνθρωπεία*, nisi fallit Gail.

Οὐδεμία. Chr. *οὐδὲ μία.*

Πρὸς ἱεροῖς. Apud Thom. M. p. 751. male olim *πρὸς ἱερεῖς.* Vid. adnot. Gr. *πρὸς τοῖς ἱεροῖς.*

Μαντείοις. Cl. It. Vat. Gr. Laur. marg. Steph. *μαντείαις.* Sic etiam H, sed cum *οις* s. *αις.* „Non minus placet *μαντείαις.*" STEPH. Recepit Bekk. At alterum usurpat Thucyd. tam de loco quam de ipsis responsis. Cf. Ind. verb.

Digitized by Google

(Τόπος καὶ αἰτίαι, ὅθεν ἤρξατο.)

μή. Ἤρξατο δὲ τὸ μὲν πρῶτον, ὡς λέγεται, ἐξ Αἰθιοπίας τῆς ὑπὲρ Αἰγύπτου, ἔπειτα δὲ καὶ ἐς Αἴγυπτον καὶ Λιβύην κατέβη, καὶ ἐς τὴν βασιλέως γῆν τὴν πολλήν. 2. ἐς δὲ τὴν Ἀθηναίων πόλιν ἐξαπιναίως ἐνέπεσε· καὶ τὸ πρῶτον ἐν τῷ Πειραιεῖ ἥψατο τῶν ἀνθρώπων, ὥστε καὶ ἐλέχθη ὑπ' αὐτῶν ὡς οἱ Πελοποννήσιοι φάρμακα ἐρβεβλήκοιεν ἐς τὰ φρέατα· κρῆναι γὰρ ὕπωρ ἦσαν αὐτόθι. ὕστερον δὲ καὶ ἐς τὴν ἄνω πόλιν ἀφί-
128. κετο, καὶ ἔθνησκον πολλῷ μᾶλλον ἤδη. 3. λεγέτω μὲν οὖν περὶ αὐτοῦ ὡς ἕκαστος γιγνώσκει, καὶ ἰατρὸς καὶ ἰδιώτης, ἀφ' ὅτου εἰκὸς ἦν γενέσθαι αὐτό, καὶ τὰς αἰτίας ἅστινας νομίζει τοσαύτης μεταβολῆς ἱκανὰς εἶναι

μή. Τὴν βασιλέως γῆν] τὴν Περσίδα. — 6. Ὑπ' αὐτῶν] τῶν Ἀθηναίων δηλονότι. (λ. Αὐγ.) — 8. Ἀφίκετο] τὸ δεινὸν δηλονότι. (λ. Αὐγ.) — 9. Ἔθνησκον πολλῷ μᾶλλον] ὅσῳ ἦν πολυάνθρωπος ἡ ἄνω πόλις. (Αὐγ.) — * * Πολλῷ μᾶλλον] ἢ κατὰ τὸν Πειραιᾶ. (Κασσ.) — 11. Ἀφ' ὅτου] ἀφ' ἧς αἰτίας. (λ. Αὐγ.)

Cap. XLVIII. Ἤρξατο δὲ etc. „Ἤρξατο δὲ τὸ κακὸν ἐξ Αἰθιοπίας Demetrius Phalereus ldeum citans p. 30. Oxon." HUDS.

Τὸ μὲν πρῶτον om. D.

Αἰθιοπίας. C. Αἰθυοπίας.

Αἰγύπτου. Chr. Αἴγυπτον. At vid. Dio Cass. LIV, 5. et ibi not. et Diodor. I. p. 175. not.

Καὶ ἐς Αἴγ. Καὶ om. Gr.

Καὶ Λιβύην. Gr. καὶ ἐς Λιβ.

2. Τὸ πρῶτον. C. (hic, non, ut Bekk. tradit, superius) om. τό, Mosqu. praeter τό, ut videtur, etiam πρῶτ.

Πειραιεῖ. Pal. Πειραεῖ.

Ἐρβεβλήκοιεν. „Ἐμβεβλῆσθαι [ἐμβεβλήκοιεν] legisse videtur Aretaeus p. 6." WASS. „Verba Aretaei p. 7. ed. Turn. sunt: ὅθεν οὐδ' ἀπεικὸς ἐν τῷ λοιμῷ τῷ [ἐν] Ἀθήνῃσι μετεξετέρους δοκέειν εἰς τὰ φρέατα ἐν τῷ Πειραιεῖ ὑπὸ Πελοποννησίων ἐμβεβλῆσθαι φάρμακα." DUK. „Variavit orationem Aretaeus, qui, ut solent veteres, non ipsa verba repetiit." GOTTL.

Ἔθνησκον. Pal. rursus ἔθνησκον. Nec aliter idem capp. 51. 52. 53.

3. Οὖν om. Ar.

Ὡς ἕκαστος γιγνώσκει. Phot. Pers. p. 78. Λεγέτω μὲν οὖν ὡς ἂν ἕκαστος περὶ αὐτῶν γιγνώσκει καὶ σοφιστὴς καὶ μετεωρολόγος· ἐγὼ δὲ ὅθεν τε ἤρξατο ἡ νόσος ἥδε etc. Id. Vand. p. 132. Περὶ μὲν οὖν — λεγέτω ἕκαστος ὡς π η γιγνώσκει καὶ ἐχθρὸς καὶ φίλος. et ita etiam alibi in similibus πῇ interponit, satis eleganter. Pro γιγνώσκει I. γινώσκῃ.

Ἅς τινας de. Dan.

Νομίζει Gr. ex emend., nam a pr. man. νομίζῃ.

Digitized by Google

δύναμιν ἐς τὸ μεταστῆσαι σχεῖν· ἐγὼ δὲ οἷόν τε ἐγίγνετο λέξω, καὶ ἀφ' ὧν ἄν τις σκοπῶν, εἴ ποτε καὶ αὖθις ἐπιπέσοι, μάλιστ' ἂν ἔχοι τι προειδὼς μὴ ἀγνοεῖν, ταῦτα δηλώσω, αὐτός τε νοσήσας, καὶ αὐτὸς ἰδὼν ἄλλους πάσχοντας.

(Εἶδος τῆς νόσου.)

μθ'. Τὸ μὲν γὰρ ἔτος, ὡς ὡμολογεῖτο, ἐκ πάντων μάλιστα δὴ ἐκεῖνο ἄνοσον ἐς τὰς ἄλλας ἀσθενείας ἐτύγχανεν ὄν· εἰ δέ τις καὶ προέκαμνέ τι, ἐς τοῦτο πάντα ἀπεκρίθη. 2. τοὺς δ' ἄλλους ἀπ' οὐδεμιᾶς προφάσεως, ἀλλ' ἐξαίφνης, ὑγιεῖς ὄντας, πρῶτον μὲν τῆς κεφαλῆς θέρμαι ἰσχυραὶ καὶ τῶν ὀφθαλμῶν ἐρυθήματα καὶ φλόγωσις ἐλάμβανε· καὶ τὰ ἐντὸς, ἥ τε φάρυγξ καὶ ἡ γλῶσσα, εὐθὺς αἱματώδη ἦν, καὶ πνεῦμα ἄτοπον καὶ δυσῳδες

1. *Μεταστῆσαι*] μεταβαλεῖν. (λ. *Αὐγ.*) — *Σχεῖν*] λαβεῖν. (λ. *Αὐγ.*) — 3. *Προειδώς*] προμαθών. (λ. *Αὐγ.*) *μθ'*. 8. *Προέκαμνε*] προησθένει. (λ. *Αὐγ.*) — 9. *Ἀπεκρίθη*] ἐχωρίσθη. (λ. *Αὐγ.*) — *Ἀπ' οὐδεμιᾶς προφάσεως*] ἀπροφασίστως. — 12. *Τὰ ἐντός*] τοῦ στόματος δηλονότι.

Δύναμιν. I. *δυνάμεως.*

Ἐς τό. Ἐς om. I.

Μεταστῆσαι σχεῖν. C. *μεταστῆσαν ἔχειν.* Posterius etiam Vind. De toto hoc loco cf. adnot.

Ἐγὼ δέ. Cass. Aug. *ἐγώ τε.*

Οἷόν τε. Cass. Aug. D. Tur. *οἷόν τι.* Vulgatae patrocinatur Photius p. 78. verbis *ἐγὼ δὲ ὅθεν τε* etc.

Ἐγίγνετο. Gr. D. *ἐγένετο*, sed ille ab emend. *ἐγίγνετο.*

Εἴ ποτε. Gr. *εἴπητε.* Ed. Bas. *εἴπω τε.* Pro praeced. *σκοπῶν* C. *κρκῶν.*

Ἐπιπέσοι. Marg. Ald. Vinar. *ἐμπέσοι.*

Ἔχοι. Aug. *ἔχῃ*, man. rec. supersecr. *ἔχοι.* Gr. *ἔχει.* Mox in Mosqu. *δηλώσω καί* et *αὐτός* de.

Cap. XLIX. *Τὸ μὲν γὰρ — ὡμολογεῖτο.* „*Τὸ μὲν δὴ ἔτος ὡς ὡμολόγητο* Demetr. Phaler. p. 37. Quon. (§. 48.)" HUDS. „Praeterit etiam illa *ἐκ πάντων μάλιστα δὴ ἐκεῖνο.*" DUK.

Ἄνοσον. „*Ἔτος ἄνοσον* ex hoc loco habet Pollux III. 107." DUK.

2. *Οὐδεμιᾶς.* Aug. (Ar.?) Chr. *οὐδὲ μιᾶς.*

Πρῶτον. Mosqu. *πρῶταί.*

Τῆς κεφαλῆς. H. Reg. (G.) *ἐκ τῆς κεφ.*

Ἐρυθήματα. H. *ἐρυθρήματα*, quae forma nominis dubiae auctoritatis videtur nostris lexicographis. Add. Buttm. Gr. max. Ind. verb. anom. in *ἐρεύθω.*

Ἥ τε. Τέ om. C.

Φάρυγξ. It. Vat. Laur. *φάρυξ.*

Αἱματώδη. Reg. (G.) Mosqu. *αἱματώδης.*

Digitized by Google

ἠφίει. 3. ἔπειτα ἐξ αὐτῶν πταρμὸς καὶ βράγχος ἐπεγίγνετο· καὶ ἐν οὐ πολλῷ χρόνῳ κατέβαινεν ἐς τὰ στήθη ὁ πόνος μετὰ βηχὸς ἰσχυροῦ· καὶ ὁπότε ἐς τὴν καρδίαν στηρίξαι, ἀνέστρεφέ τε αὐτὴν, καὶ ἀποκαθάρσεις χολῆς πᾶσαι, ὅσαι ὑπὸ ἰατρῶν ὠνομασμέναι εἰσὶν, ἐπῄεσαν, καὶ αὗται μετὰ ταλαιπωρίας μεγάλης. 4. λύγξ τε τοῖς πλείοσιν * ἐνέπεσε * κενὴ, σπασμὸν ἐνδιδοῦσα ἰσχυρὸν,

1. Ἐξ αὐτῶν] τῶν συμπτωμάτων, ὧν εἶπεν. — Βράγχος] βράγχος νόσημά τι περὶ τὸν βρόγχον, ὃ τὰς σῦς μάλιστα διαφθείρει. (Κασσ. Αὐγ.) — 3. Ὁ πόνος] πόνον λέγει τὴν ἐκ τοῦ νοσήματος ταλαιπωρίαν. — Καρδίαν] ὅτι καρδίαν οἱ ἀρχαῖοι τὸν στόμαχόν φασι, καὶ καρδιωγμὸν τὸν πόνον τοῦ στομάχου. — 4. Καὶ ἀποκαθάρσεις] ἀποκρίσεις, κενώσεις. (λ. Αὐγ.) — 6. Μετὰ ταλαιπωρίας μεγάλης] τῆς δυσεντερίας δηλονότι. — 7. Κενή] ἔστι γὰρ καὶ λὺγξ πλήρης, ὡς καὶ Ἱπποκράτης διδάσκει. (λ. Αὐγ.)

Ἠφίει. Mosqu. ὑφίει.

3. Ἐπεγίγνετο. It. Vat. H. ἐγίγνετο, sed in H. ἐπ s. v. al. man.

Χρόνῳ om. It.

Κατέβαινεν — ἰσχυροῦ. Thom. Mag. p. 151. (ubi εἰς pro ἐς.)

Καὶ ὁπότε etc. „Locum hunc citat Galenus in 3. Progn. et legit ἐστήριξε, non στηρίξαι, et ὑπίεσαν, non ἐπῄεσαν. Sed alibi locum afferens legit στηρίξαιεν et ἐπίεσαν." HUDS. At ἐστήριξε Galenum ipsum substituisse, reliqua librariorum menda esse apparet. „Καὶ ὁπότε — ἐπῄεσαν descripsit Nunesius cap. XX. de Natur. Hom. ubi in edit. Plant. est εἰς τὴν καρδ. et πᾶσαι ὁπόσαι ἀπὸ — ἰατρῶν." DUK.

Στηρίξαι. I. marg. al. man. στηρίξαιτο. At vid. not.

Ἀποκαθάρσεις. „Ἀνακαρθάρσεις τῶν τις ἰατρῶν ἔφη γραπτέον εἶναι." NEOPH. DUC.

Πᾶσαι om. Dan.

Αὗται. Ar. Chr. marg. Steph. αὐταί.

4. Λύγξ τε. I. τε s. v. al. man.

Ἐνέπεσε Cass. Aug. C. (qui ante τοῖς πλείοσιν collocat,) tum F. Pal. It. Vat. H. Reg. (G.) Gr. D. I. (cf. Thom.) Haack. Vulgo (et Bekk.) ἐνέπιπτε, quod in Reg. rec. man. in marg. apposuerat, et mediis in imperfectis retinendum diximus I. 1. p. 157. At „aoristus inter plura imperfecta collocatus a librariis mutatus est in imperfectum. Ita mox καὶ πολλοὶ — καὶ ἔδρασαν et in fine capitis καὶ ἠγνόησαν." HAACK. Patet enim tam ob actionem repetitam imperfectum, quam ob notionem verbi ipsius rem unius momenti designantem aoristum poni potuisse.

Κενή. „Κενεή legit Aretaeus p. 125. et Thom. Mag." WASS. „In edit. Franequer. Thomae v. λύζω est κενή, in Colin. καινή, consueto errore scribarum; et in eadem ἐνέπεσε, quod in Fran. ἐνέπιπτε. [Cf. ibi Oudend.] Κενεός, κενεή, quibus etiam Homerus utitur, videntur esse e dialecto Ionica, qua Aretaeus scripsit." DUK. Add. not.

Ἐνδιδοῦσα. Cod. Bas. ἐμποιοῦσα.

Digitized by Google

τοῖς μὲν μετὰ ταῦτα λωφήσαντα, τοῖς δὲ καὶ πολλῷ ὕστερον. 5. καὶ τὸ μὲν ἔξωθεν ἁπτομένῳ σῶμα οὐκ ἄγαν θερμὸν ἦν, οὔτε χλωρὸν, ἀλλ' ὑπέρυθρον, πελιδνὸν, φλυκταίναις μικραῖς καὶ ἕλκεσιν ἐξηνθηκός· τὰ δὲ ἐντὸς οὕτως ἐκαίετο, ὥστε μήτε τῶν πάνυ λεπτῶν ἱματίων καὶ σινδόνων τὰς ἐπιβολὰς μήτ' ἄλλο τι ἢ γυμνὸν ἀνέχεσθαι, ἢ διψητά τε ἂν ἐς ὕδωρ ψυχρὸν σφᾶς αὐτοὺς ῥίπτειν. καὶ 12

1. *Μετὰ ταῦτα*] αὐτίκα. — *Λωφήσαντα*] τὸν σπασμὸν παυσάμενον. — 3. *Πελιδνόν*] πελιδνόν ἐστι τὸ μετέχον ὠχρότητος καὶ μελανίας, οἷονεὶ μολιβοειδές. — *Φλυκταίναις* —] σημείωσαι, ἡρωϊκὸς στίχος. — 4. *Τὰ δὲ ἐντὸς*] τοῦ † σώματος † δηλονότι. — 6. *Γυμνὸν ἀνέχεσθαι*] τὸ ἀνέχεσθαι καὶ πρὸς αἰτιατικὴν λέγεται. — 7. *Ἠδιστά τε ἄν*] ἡ σύνταξις οὕτως, ἤδιστά τε ἂν ἐς ὕδωρ ψυχρὸν σφᾶς αὐτοὺς ῥίπτειν, τῇ δίψῃ ἀκαύστῳ συνεχόμενοι, ἠνείχοντο. ἀπὸ κοινοῦ γὰρ τὸ ἠνείχοντο, τὰ δὲ ἄλλα μεταξύ.

Δὲ καὶ. Καὶ om. Ar. Dan.

5. *Τὸ μέν.* Laur. *τῷ μὲν*, quod iam Stephanus temere commendabat. Cf. not.

Ἁπτομένῳ. „Legitur etiam *ἁπτόμενον*." STEPH. Ubi tandem? Haec coniectura orationem depravaret, quum *ἅπτεσθαι tangere*, non *tangi* significet. Add. not.

Οὔτε. Laur. E. Vind. *οὔτ'*. Ar. Chr. Dan. *οὔτε*. Quo non opus. Vid. Herm. ad Eurip. Med. v. 4. in cens. Elmsl.

Πελιδνόν. Imo *πελιτνόν*. „*Πελιτνόν* ex Thucyd. adnotasse Aelium Dionysium scribit Eustath. in Il. I. 735." DUK. Phot. p. 299. *Πελιδνόν· μέλαν. λέγεται καὶ πελιτνὸν παρὰ Θουκυδίδῃ*, et paulo post *πελιτνόν, Θουκυδίδης διὰ τοῦ τ.* Moer. p. 325. *Πελιτνόν, διὰ τοῦ τ, Ἀττικῶς.* Cf. ibi Piers. Recepit Haack., recte, ut videtur.

Φλυκταίναις. E. Vind. *φλύκταναις*.

Ἐκαίετο. Cass. Aug. C. Pal. It. Vat. Mosqu. Bekk. *ἐκάετο*. „Henr. Steph. ad Ioann. Grammat. Artic. VII. ex Eustath. adnotat Atticos dicere *κάειν* pro *καίειν*. Idem tradit auctor Etym. M. in *καίω* et *ποιῶ*." DUK. At cap. 52. constanter in omnibus libris *καιομένου* legitur, et num *ἀεί* an *αἰεί* dixerit Thucydides adhuc ambiguum. Cf. I. 1. p. 211. Nec tragicos *κάειν* et *κλάειν* scripsisse monet Herm. in Praef. ad Soph. Ai., ad quam sententiam accessit etiam *Elmsl.* ad Eur. Bacch. v. 757. Pariter apud Xenoph. longe saepius *καίειν* quam *κάειν* legitur. Vid. nos ad Anab. III, 5, 8. *Ἐκάετο* aor. 2. verbi *καίειν*, sicut antea *ἐνέπεσε* imperfectum verbi *ἐμπίπτειν*, lepide appellat Gail. In Chr. vitiose *ἐκήετο*.

Καὶ σινδόνων. Καί om. Ar. Chr. Dan.

Σινδόνων. „*Σινδονίων* Galenus locum citans." HUDS. „*Σινδόνων* Herodotus, Alciphron." WASS.

Μήτ' ἄλλο. Laur. E. *μηδ' ἄλλο*, quod etsi dici poterat, temere tamen exhibuit Bekk.

Γυμνόν. Gr. D. Laur. E. Vind. marg. Steph. Galen., ex emend. etiam Cl. *γυμνοί*, quod edendum curavit Bekk. At vid. not.

Ἂν. I. s. v. al. man. *ἦν*.

Digitized by Google

πολλοὶ τοῦτο τῶν ἡμιλημένων ἀνθρώπων καὶ ἔδρασεν ἐς φρέατα, τῇ δίψῃ ἀπαύστῳ ξυνεχόμενοι· καὶ ἐν τῷ ὁμοίῳ καθειστήκει τό τε πλέον καὶ ἔλασσον ποτόν. 6. καὶ ἡ ἀπορία τοῦ μὴ ἡσυχάζειν καὶ ἡ ἀγρυπνία ἐκ-
5 κειτο διαπαντός· καὶ τὸ σῶμα, ὅσον πυρ φρόνων καὶ ἡ νόσος ἀκμάζοι, οὐκ ἐμαραίνετο, ἀλλ' ἀντεῖχε παρὰ δόξαν τῇ ταλαιπωρίᾳ· ὥστε ἢ διεφθείροντο οἱ πλείους ἐναταίοις καὶ ἑβδομαίοις ὑπὸ τοῦ ἐντὸς καύματος, ἔτι ἔχοντές τι δυνάμεως, ἢ, εἰ διαφύγοιεν, ἐπικατιόντος τοῦ νοσήμα-
10 τος ἐς τὴν κοιλίαν, καὶ ἑλκώσεώς τε αὐτῇ ἰσχυρᾶς ἐγγενομένης, καὶ διαῤῥοίας ἅμα ἀκράτου ἐπιπιπτούσης, οἱ

2. Ἐν τῷ ὁμοίῳ καθειστ. τό τε πλέον καὶ ἔλασσον ποτ.] καὶ γὰρ ὁ πίνων ὀλίγον καὶ ὁ πολὺ ἀπέθνησκον. — 4. Ἡ ἀπορία] ἡ ἀδυναμία. — 6. Οὐκ ἐμαραίνετο] οὐχ ὑπέπιπτε. — Παρὰ δόξαν] παρ' ἐλπίδα. — 8. Ἔχοντές τι δυνάμεως] μερικὴν δύναμιν. — 9. Τοῦ νοσήματος] τῆς δυσεντερίας.

Ἀνθρώπων om. Cl., et male ante Haack. uncis includebatur.

Ἐς φρέατα. H. Reg. (G.) ἐς τὰ φρέατα. Marg. Flor. Vin. habet ἔδρασαν καὶ ἐς φρέατα.

Τῇ δίψῃ ἀπαύστῳ Cass. Aug. C. (nisi quod ex hoc atque ex B. τα δίψῃ adnotatur,) F. Pal. It. Vat. H. Reg. (G.) Gr. B. Laur. E. (praeterquam quod hic τῇ δίψει praebere traditur,) Ar. Chr. Dan. m. Ald. Flor. Bas. Steph. 1. Haack. Bekk. Vulgo ἀπαύστῳ τῇ δίψῃ. Arrian. VI, 24. καμάτῳ ἀπαύστῳ ἐχόμενοι (sine artic.). Cf. Procop. p. 79.

Καθειστήκει. Pal. καθειστήκει.

6. Τοῦ μή. Laur. τὸ μή. Librarius quippe haesit in ἀπορία τοῦ μὴ ἡσυχάζειν. At vid. not.

Καὶ τὸ σῶμα — ταλαιπωρίᾳ. Lib. de Synt. in Bekk. Anecdd. p. 125. ubi τὸ δὲ σῶμα.

Ἀκμάζοι. Mosqu. Ar. Chr. ἀκμάζει.

Τῇ. Litera τ in E. s. v.

Πλείους Cass. Aug. Cl. It. H. Reg. (G.) Haack. Vulgo (et Bekk.) πλεῖστοι. „Quod illius interpretamentum videtur." HAACK.

Ἐναταῖοι Cass. Aug. C. Pal. It. Gr. I. B. Laur. m. Ar. Chr. Bekk. Vulgo (et Haack.) ἔνατοι. „Ἐναταῖοι scribunt passim mss. in Iosepho et LXX., in Homero, Hesiodo aliisque; et sane firmat εἶνατος Iliad. β'. 295." WASS. „Vid. ad I, 117." DUK. Adde ad I, 46.

Ἔχοντές τι. E. ἔχοντές τε.

Τοῦ νοσήματος de. Mosqu.

Ἐς τὴν. E. ἐπὶ τὴν.

Ἑλκώσεως. Mosqu. Ar. Chr. Dan. ἐκκαύσεως. Statim τέ om. C. F.

Αὐτῇ. C. αὐτῆς.

Ἰσχυρᾶς om. I.

Ἐγγινομένης. C. ἐγγενομένης. D. et I. γενομένης, et in marg. ead. man. D. ἐγγιγν., I. ἐγγιν., sicut optimi.

Ἀκράτου. It. γρ. ἀκρατοῦς. Ita marg. Steph. et marg. Ald. Vin. At vid. adnot.

Ἐπιπιπτούσης. Gr. I. ἐμπίπτ. Dan. ἐπιπτούσης. Etiam in G. syllaba πι s. v.

Digitized by Google

πολλοὶ ὕστερον δι' αὐτὴν ἀσθενείᾳ ἀνεφθείροντο. 7. διεξῄει γὰρ διὰ παντὸς τοῦ σώματος ἄνωθεν ἀρξάμενον τὸ ἐν τῇ κεφαλῇ πρῶτον ἱδρυθὲν πυκνόν· καὶ εἴ τις ἐκ τῶν μεγίστων περιγένοιτο, τῶν γε ἀκρωτηρίων ἀντιλῆψις αὐτοῦ ἐπεσήμανε. 8. κατέσκηπτε γὰρ ἐς αἰδοῖα καὶ ἐς ἄκρας χεῖρας καὶ πόδας· καὶ πολλοὶ στερισκόμενοι τούτων διέφευγον, εἰσὶ δ' οἳ καὶ τῶν ὀφθαλμῶν. τοὺς δὲ καὶ λήθη ἐλάμβανε παραυτίκα ἀναστάντας τῶν πάντων ὁμοίως, καὶ ἠγνόησαν σφᾶς τε αὐτοὺς καὶ τοὺς ἐπιτηδείους.

(Ὅτι καὶ τὰ θηρία ἐδήλου τὴν ἀγριότητα τῆς νόσου.)

ν'. Γενόμενον γὰρ κρεῖσσον λόγου τὸ εἶδος τῆς νόσου τά τε ἄλλα χαλεπωτέρως ἢ κατὰ τὴν ἀνθρωπείαν φύσιν προσέπιπτεν ἑκάστῳ, καὶ ἐν τῷδε ἐδήλωσε μάλι-

3. Ἐκ τῶν μεγίστων] ἐκ παραδόξου· λείπει δὲ κινδύνων. — 4. Ἀντίληψις] ἐπίσκηψις. — 7. Διέφευγον] τὸν θάνατον δηλονότι. — 8. Ἀναστάντες] ὑγιάναντες.

ν'. 13. Ἐν τῷδε] τῷ ῥηθησομένῳ δηλονότι.

Δι' αὐτὴν ἀσθενείᾳ Cass. Aug. Cl. C. F. Pal. It. Vat. H. Reg. (G.) Gr. I. Ante Gottl. διὰ τὴν ἀσθένειαν, quod Laur. E. et, ut videtur, Vind. Mosqu. Ar. Chr. Dan. exhibent.

Ἀνεφθείροντο Cass. Aug. Cl. C. F. Pal. It. Vat. H. Reg. (G.) Gr. I. marg. Ald. Vin. Haack. Bekk. Vulgo διεφθείρ.

7. Διεξῄει. Quod olim huic praefigebatur καί, cum Cass. Aug. Cl. Reg. cod. Bas. Gr. Mosqu., quibus omnes Parr. Itt. et Pal. assentiri videntur, om. Gottl.

Ἱδρυθέν. Pal. ἱδρυνθέν. Male. vid. Thom. M. et ad I, 131.

Περιγένοιτο. „Thomas: περιεγένετο καὶ ἀντὶ τοῦ ἐσώθη καὶ ἔζησε. Θουκ. καὶ εἴ τις ἐ. τ. μ. περιγένοιτο." DUK.

Τῶν γε. C. Ar. Chr. Dan. τῶν τε.

Ἀντίληψις. H. ἀντίληψιν, cum ις s. ιν al. man.

8. Γὰρ ἐς Cass. Aug. Cl. C. Pal. It. Vat. Reg. cod. Bas. Gr. I. Haack. Bekk. Vulgo γὰρ καὶ ἐς.

Ἐς αἰδοῖα Cass. Aug. Cl. C. Pal. It. Vat. Reg. cod. Bas. Gr. B. Ar. Chr. Dan. Ald. Flor. Bas. Steph. 1. Haack. Bekk. A Steph. 2. ad Haack. usque ἐς τὰ αἰδοῖα.

Διέφευγον. Reg. διέφυγον.

Τοὺς δέ. Laur. τοῖς δέ.

Ἐλάμβανε. Laur. marg. Steph. ἐλάβετο.

Τῶν πάντων. Τῶν de. Laur. Vind. Ar. Chr. Dan., in postremo in marg. rec. man. script.

Τὲ αὐτούς om. Reg. In Ald. Flor. Bas. αὐτούς exaratur. Cf. adnot. ad I, 5.

Cap. L. Ἐν τῷδε. Reg. (G.) ἐν om., deinde rec. man. int. vers. adscript. Pro τῷδε Gr. τῷ.

Digitized by Google

στα ἄλλο τι ὂν ἢ τῶν ξυνηρόφων τι· τὰ γὰρ ὄρνεα καὶ τετράποδα, ὅσα ἀνθρώπων ἅπτεται, πολλῶν ἀτάφων γιγνομένων, ἢ οὐ προσῄει, ἢ γευσάμενα διεφθείρετο. 2. τεκμήριον δὲ [,] τῶν μὲν τοιούτων ἀφιλίων ἐπίλειψις σαφὴς ἐγένετο, καὶ οὐχ ἑωρῶντο οὔτε ἄλλως οὔτε περὶ τοιοῦτον οὐδέν· οἱ δὲ κύνες μᾶλλον αἰσθησιν παρεῖχον τοῦ ἀποβαίνοντος, διὰ τὸ ξυνδιαιτᾶσθαι.

(Περὶ τῆς ταλαιπώρου καταστάσεως τῶν ἐνοίκων, μάλιστα ὅτι ἀπεπίμπλαντο ἀπ' ἀλλήλων καὶ ἀνοίμωκτοι ἦσαν.)

να'. Τὸ μὲν οὖν νόσημα, πολλὰ καὶ ἄλλα παραλιπόντι ἀτοπίας, ὡς ἑκάστῳ ἐτύγχανέ τι διαφερόντως ἑτέρῳ πρὸς ἕτερον γιγνόμενον, τοιοῦτον ἦν ἐπίπαν τὴν ἰδέαν. καὶ ἄλλο παρελύπει κατ' ἐκεῖνον τὸν χρόνον οὐδὲν τῶν εἰωθότων· ὃ δὲ καὶ γένοιτο, ἐς τοῦτο ἐτελεύτα. 2. ἔθνησκον δὲ, οἱ μὲν, ἀμελείᾳ, οἱ δὲ, καὶ πάνυ θεραπευόμενοι·

3. Οὐ προσῄει] ὥσπερ ἀπὸ τῆς ὀσφρήσεως γιγνώσκοντα ὅτι λοιμώδη ἐστὶ τὰ σώματα. — Τεκμήριον δέ] τοῦ λόγου μου. — 5. Περὶ τοιοῦτον οὐδέν] περὶ τὸ σαφηνίζειν.

να'. 10. Ἐπίπαν] καθόλου. — Τὴν ἰδέαν] τὴν φύσιν. — 11. Καὶ ἄλλο] λείπει νόσημα. — Οὐδὲν τῶν εἰωθότων] ἀλλά τι ἄηθες καὶ ἄτοπον. (λ. Ἀνγ.)

Καὶ τετράποδα. Reg. (G.) Ar. καὶ τὰ τετράπ. „Huc respexit Plutarch. Sympos. IX. p. 733." WASS.

Γιγνομένων. Laur. E. Vind. m. Ar. Chr. γενομένων. (Optimi γιν.)

Ἢ οὐ. G. οὐ s. v.

Προσῄει. B. προσήκει.

Γευσάμενα. Vat. γευσάμενοι.

Διεφθείρετο. C. οὐ διεφθ., sed οὐ erasum. D. διεφθείροντο. Idem deinde lacunam habet ad ἑωρῶντο usque.

2. *Ἐπίλειψις.* D. ὑπόλειψις in marg. al. man. De virgula post τεκμ. δέ vid. not.

Ἄλλως οὔτε. D. ἄλλο τι οὔτε s. v. al. man.

Τοιοῦτον οὐδέν. Cod. Bas. a pr. man. τοιούτων οὐδέν, sed emendat.

Cap. LI. *Πολλὰ καὶ — γιγνόμενον.* Parenthesis signis perperam inclusit Gottleb.

Παραλιπόντι. D. I. Laur. παραλείποντι.

Καὶ ἄλλο — ἐτελεύτα. „Haec omittit Levesquius, interpretamentum arbitratus illorum, quae ab initio cap. 49. leguntur." BEKK. Quo argumento qui uti vellet, ei haud pauca apud Thucyd. impugnanda essent. Vid. not.

Ὃ δέ. Vat. οἳ δέ.

2. *Ἔθνησκον — ὠφελεῖν.* Greg. Cor. p. 55. sq. Pro ἀμελείᾳ Pal. ἀμελίᾳ.

Digitized by Google

ἔν τε οὐδὲν κατέστη ἴαμα, ὡς εἰπεῖν, ὅ τι χρῆν προσφέροντας ὠφελεῖν· τὸ γὰρ τῷ ξυνενεγκὸν, ἄλλον τοῦτο ἔβλαπτε. 3. σῶμά τε αὐτάρκες ὂν οὐδὲν διεφάνη πρὸς αὐτὸ ἰσχύος πέρι ἢ ἀσθενείας, ἀλλὰ πάντα ξυνῄρει, καὶ τὰ πάσῃ διαίτῃ θεραπευόμενα. 4. δεινότατον δὲ παντὸς ἦν τοῦ κακοῦ ἥ τε ἀθυμία, ὁπότε τις αἴσθοιτο κάμνων, (πρὸς γὰρ τὸ ἀνέλπιστον εὐθὺς τραπόμενοι τῇ γνώμῃ, πολλῷ μᾶλλον προΐεντο σφᾶς αὐτοὺς, καὶ οὐκ ἀντεῖχον,) καὶ ὅτι ἕτερος ἀφ' ἑτέρου θεραπείας ἀναπιμπλάμενοι, ὥσπερ τὰ πρόβατα, ἔθνησκον· καὶ τὸν πλεῖστον φθόρον τοῦτο ἐνεποίει. 5. εἴτε γὰρ μὴ θέλοιεν, δεδιότες, ἀλλήλοις προσιέναι, ἀπώλλυντο ἔρημοι, καὶ οἰκίαι πολλαὶ ἐκενώθησαν ἀπορίᾳ τοῦ θεραπεύσοντος· εἴτε προσίοιεν, διεφθείροντο, καὶ μάλιστα οἱ ἀρετῆς τι μεταποιούμενοι·

1. Ἔν τε οὐδὲν κατέστη ἴαμα] τὸ σχῆμα καινοπρεπές. — 2. Ξυνενεγκόν] λυσιτελῆσαν. (λ. Λύγ.) — 3. Πρὸς αὐτό] τὸ νόσημα. — 4. Ξυνῄρει] συναγαγὸν ἠφάνιζε. (λ. Λύγ.) — 7. Τὸ ἀνέλπιστον] τὴν ἀνελπιστίαν τῆς ὑγιείας. — 8. Προΐεντο] ἀπέλυον. (λ. Λύγ.) — 9. Καὶ ὅτι ἕτερος ἀφ' ἑτέρου] ἡ σύνταξις οὕτω, δεινότατον ἦν ἥ τε ἀθυμία καὶ ὅτι ἕτερος ἀφ' ἑτέρου. — Θεραπείας] τῆς ἀπὸ τοῦ νοσήματος ἰατρείας. (Βασ.) — 10. Ὥσπερ τὰ πρόβατα] ὅτι τὰ πρόβατα μεταληπτικὰ καὶ μεταδοτικὰ τῆς νόσου. — 11. Τοῦτο] ἡ ἀπόγνωσις δηλονότι. — 12. Ἔρημοι] τοῦ θεραπεύσοντος. — 14. Ἀρετῆς] φιλανθρωπίας καὶ ἀγάπης.

Ἔν τε οὐδὲν κατέστη. Cass. ἔν τε οὐδὲ ἐκατέστη, et ex emend. man. rec. ἔν τε. Aug. ἔν τε οὐδεὶν κ. Cl. cod. vet. Steph. Gr. Mosqu. Ar. Chr. Dan. Ald. Flor. Greg. Cor. Haack. ἔν τε οὐδὲ ἐν κ. It. Vat. Reg. ἔν τε οὐδὲ ἐγκατέστη, et Reg. rec. man. int. vers. ἐν. (G. ἔν τε οὐδέν, ἔν s. v., teste Gail., qui falli videtur.) Sed vulgata sincera est. Vid. nōt.

Χρῆν. D. I. Laur. E. Vind. m. Ar. Chr. codd. Greg. Cor. male χρή.

Προσφέροντας. Gr. προφέροντας.

Ξυνενεγκόν. B. ξυνεγκόν. D. ξυνεγκών, α eras. et ο substitut.

3. Οὐδέν om. Gr.

Διεφάνη. Gr. διεφθάρη, sed emend. διεφάνη.

Πάντα ξυνῄρει. Ar. Chr. Dan. ξυνῄρει πάντα. Pro ξυνῄρει Reg. (G.) ξήρει, ξύν s. ξή.

Ἀφ' ἑτέρου θεραπείας. Ante Gottleb. perperam virgula post ἑτέρου collocabatur. Cf. not. E. ἀφ' ἑτέρου νόσου, θεραπείας s. v. al. man. It. ἑτέρας pro ἑτέρου.

Πρόβατα. E. προβατα.

5. Θεραπεύσοντος. Procopius in imitatione huius loci (Pers. II, 22.) θεραπεύοντος, sicut Reiskius legendum coniecerat.

Μάλιστα — μεταποιούμενοι, „Suidas in μεταποιεῖσθαι· μάλιστ' οἱ ἀρ. μετ. pro ἀντιποιούμενοι." WASS. Cf. Phot. p. 193. „Tangit hunc locum Plutarch.

Digitized by Google

αἰσχύνῃ γὰρ ἠφείδουν σφῶν αὐτῶν, ἐγγιόντες παρὰ τοὺς φίλους· ἐπεὶ καὶ τὰς ὀλοφύρσεις τῶν ἀπογιγνομένων τελευτῶντες καὶ οἱ οἰκεῖοι ἐξέκαμνον, ὑπὸ τοῦ πολλοῦ κακοῦ νικώμενοι. 6. ἐπὶ πλέον δὲ ὅμως οἱ διαπεφευγότες τόν τε θνήσκοντα καὶ τὸν πονούμενον ᾠκτίζοντο, διὰ τὸ προειδέναι τε, καὶ αὐτοὶ ἤδη ἐν τῷ θαρσαλέῳ εἶναι· διὸ γὰρ τὸν αὐτὸν, ὥστε καὶ κτείνειν, οὐκ ἐπελάμβανε. καὶ ἐμακαρίζοντό τε ὑπὸ τῶν ἄλλων, καὶ αὐτοὶ τῷ παραχρῆμα περιχαρεῖ καὶ ἐς τὸν ἔπειτα χρόνον ἐλπίδος τι εἶχον κούφης μηδ' ἂν ὑπ' ἄλλου νοσήματός ποτε ἔτι διαφθαρῆναι.

(*Μέγιστος φθόρος ἀνθρώπων καὶ ἀμέλεια τῶν περὶ τὰς ταφάς.*)

νϛ'. Ἐπῆσε δ' αὐτοὺς μᾶλλον πρὸς τῷ ὑπάρχοντι πόνῳ καὶ ἡ ξυγκομιδὴ ἐκ τῶν ἀγρῶν ἐς τὸ ἄστυ, καὶ οὐχ ἧσσον τοὺς ἐπελθόντας. 2. οἰκιῶν γὰρ οὐχ ὑπαρ-

2. *Τὰς ὀλοφύρσεις*] λείπει ἡ πρός· ἵν' ᾖ, πρὸς τὰς ὀλοφύρσεις καὶ τοὺς θρήνους. — 4. * *Οἱ διαπεφευγότες* *] *τὸν θάνατον.* (λ. *Λύγ.*) — 5. *Τὸν πονούμενον*] *τὴν ἀσθένειαν.* (λ. *Κασσ. Λύγ.*) — 9. *Τῷ παραχρῆμα περιχαρεῖ*] *τῇ ἐνεστώσῃ περιχαρείᾳ.* (λ. *Κασσ. Λύγ.*) — 10. *Κούφης*] *τῆς κουφιζούσης αὐτοὺς ἀπὸ τῆς λύπης.*

νϛ'. 12. *Αὐτούς*] *τοὺς Ἀθηναίους.* (λ. *Λύγ.*)

περὶ πολυφιλίας in fine." DUK. Verba Plutarch. t. I. p. 334. haec sunt: *Ἐν δὲ τῷ λοιμῷ φησὶν ὁ Θουκυδίδης τοὺς ἀρετῆς μάλιστα μεταποιουμένους συναπόλλυσθαι τοῖς φίλοις νοσοῦσιν· ἠφείδουν γὰρ σφῶν αὐτῶν, ἰόντες παρὰ τοὺς ἐπιτηδείους. Τί* igitur negligit cum Suida Phot., sed cum omnibus codd. agnoscit Procop. Goth. I. c. 8.

Ἠφείδουν. Gr. *ἐφείδουν.*

Τοὺς φίλους. Τούς om. Vind. Statim pro *ἐπεί* Tus. *ἔπειτα.*

Καὶ οἱ. Καί om cod. Bas., οἱ Reg.

Ἐξέκαμνον. Cass. Aug. H. G. *ἐξέκαμον.* De tota structura vid. adnot.

Τοῦ πολλοῦ. Τοῦ om. Cl.

Κακοῦ νικώμενοι om. Laur. E.

6. *Διαπεφευγότες.* I. *διαφυγόντες*, marg. ead. man. *διαπεφευγότες.*

Τόν τε θνήσκοντα. „Pollux III, 104. *τὸν δὲ τεθνηκότα*, male." WASS. D. *τὸν τεθνησκότα.*

Καὶ αὐτοί. Καί om. Laur.

Θαρσαλέῳ. G. *θαρσαλαίῳ.*

Διὸ — ἐπελάμβανε. His parenthesis signa addidit Haack., quem non sequimur.

Τῷ παραχρῆ. In Cass. e *τῷ* factum erat *τό.* Pal. *τῷ*, sed ante fuerat *τό.* *Τό* etiam It.

Ἔτι διαφθ. Laur. *ἐπιδιαφθ.*

Cap. LII. 2. *Ὑπαρχουσῶν.* Marg. Flor. Vinar. *ὑπαρκουσῶν*, temere.

Digitized by Google

χωσῶν, ἀλλ' ἐν καλύβαις πνιγηραῖς ὥρᾳ ἔτους διατεταμένων, ὁ φθόρος ἐγίγνετο οὐδενὶ κόσμῳ, ἀλλὰ καὶ νεκροὶ ἐπ' ἀλλήλοις ἀποθνήσκοντες ἔκειντο, καὶ ἐν ταῖς ὁδοῖς ἐκαλινδοῦντο καὶ περὶ τὰς κρήνας ἁπάσας ἡμιθνῆτες, τοῦ ὕδατος ἐπιθυμίᾳ. 3. τά τε ἱερὰ, ἐν οἷς ἐσκήνηντο, νεκρῶν πλέα ἦν αὐτοῦ ἐναποθνησκόντων. ὑπερβιαζομένου γὰρ τοῦ κακοῦ, οἱ ἄνθρωποι, οὐκ ἔχοντες ὅ τι γένωνται, ἐς ὀλιγωρίαν ἐτράποντο καὶ ἱερῶν καὶ ὁσίων ὁμοίως. 4. νόμοι τε πάντες ξυνεταράχθησαν οἷς ἐχρῶντο πρότερον περὶ τὰς ταφάς· ἔθαπτον δὲ ὡς ἕκαστος ἐδύνατο. καὶ πολλοὶ ἐς ἀναισχύντους θήκας ἐτράποντο

1. Ὥρᾳ ἔτους] τῷ θέρει λέγει. — 8. Ὁσίων] ὁσίων οὐδετέρως, ὁσιῶν θηλυκῶς. Οὐχ ὁσίη κακὰ ῥάπτειν ἀλλήλοισι. — 9. Πάντες] θεῖοι καὶ ἀνθρώπινοι. — 11. Ἀναισχύντους] [σημείωσαι· (Αὐγ.)] ἀλλοτρίας, ξένας.

Ἐν καλύβαις πνιγηραῖς. Hinc duxerunt Arrian. Anab. VI, 23. Procop. p. 74. (Pers. II. c. 19.), qui Vand. II. c. 6. ordinem invertit (ἐν πνιγ. καλ.), sed vulgatam tuetur Galenus l. statim l., atque etiam Plut. Pericl. c. 34. ἐν σκηνώμασι πνιγηροῖς scribit.

Ὥρᾳ ἔτους. „Ὥρᾳ θέρους Galenus locum citans I, 5. περὶ ἐπιφορᾶς πυρετῶν.“ HUDS. Consentit Procop. Pers. II. c. 19., qui Vand. II. c. 6. inverso ordine θέρους ὥρᾳ scribit, sicut Plut. Pericl. c. 34. Θέρους etiam Mosqn. At vid. adnot.

Ὁ φθόρος. Galenus. ὁ φθ. κατὰ τὸ σῶμα, temere.

Ἐγίγνετο. Vat. H. Reg. (G.) ἐγένετο.

Ἀλλήλοις. C. ἀλλήλους.

Ἀποθνήσκοντες. m. Ar. Chr. Dan. θνησκ. De sensu vid. not.

Ταῖς ὁδοῖς. C. τοῖς ὁδ.

Τοῦ ὕδατος. Olim (et Haack.) τῇ τοῦ ὕδ. Prior artic. de. Aug. (in quo man. rec. superscr.) C. Pal. It. Vat. H. Reg. Gr. Laur. Bekk. Cf. not. Vulgatam sequitur Procop. p. 140.

5. Ἐσκήνηντο. Cass. ἐσκήνωντο, sed cum emend. ἐσκήνηντο. In Aug. literae η superscr. ω. „Sed σκηνεῖν, non σκηνοῦν, quod sciam, noster [scriptor] adhibere solet perpetuo alibi.“ ABRESCH. Cf. ad I, 133. Ar. Chr. ἐσκήνουν, sicut I, 89.

Ἐναποθνησκόντων. D. ἐναθνησκ., no s. v.

Γένωνται. It. Vat. H. Reg. (G.) γένοιντο. Quod ob Buttm. §. 126. 2. noli praeferre. V, 65. Οὐκ εἶχον ὅ τι εἰκάσωσιν. Cf. Thiersch. Gr. §. 346. 15. b. Pal. γένηνται.

Ὁσίων. Cl. ex emend. et marg. Steph. ὁσιῶν. Cf. Schol. At vid. adnot.

4. Ξυνεταράχθησαν Gr. Laur. Vulgo (Haack. Bekk.) συνετ. At vid. I. 1. p. 209. cum Farr. discr. script.

Ἐδύνατο Cass. Aug. Pal. It. Vat. Reg. cod. Bas. Gr. Ar. Chr. Haack. Bekk. De Parr. tacet Gail. Vulgo ἠδύν. Cf. I. 1. p. 226.

Ἐτράποντο. Ar. Chr. ἐτρέποντο.

Digitized by Google

σκάπτει τῶν ἐπιτηδείων, διὰ τὸ συχνοὺς ἤδη προτεθνάναι σφίσιν. ἐπὶ πυρᾷ γὰρ ἄλλοτρίας, φθάσαντες τοὺς νήσαντας, οἱ μὲν, ἐπιθέντες τὸν ἑαυτῶν νεκρὸν, ὑφῆπτον, οἱ δὲ, καιομένου ἄλλου, ἄνωθεν ἐπιβαλόντες ὃν φέρουσιν, ἀπῆσαν.

(Ὅτι ἀνομίαν ἡ νόσος τῇ πόλει ἐπεποίησε.)

132. νγ'. Πρῶτόν τε ἦρξε καὶ ἐς τἆλλα τῇ πόλει ἐπὶ πλέον ἀνομίας τὸ νόσημα. ῥᾷον γὰρ ἐτόλμα τις ἃ πρότερον ἀπεκρύπτετο μὴ καθ' ἡδονὴν ποιεῖν, ἀγχίστροφον τὴν μεταβολὴν ὁρῶντες τῶν τ' εὐδαιμόνων καὶ αἰφνιδίως θνησκόντων, καὶ τῶν οὐδὲν πρότερον κεκτημένων, εὐθὺς δὲ τἀκείνων ἐχόντων. 2. ὥστε ταχείας τὰς ἀπαυρέσεις καὶ πρὸς τὸ τερπνὸν ἠξίουν ποιεῖσθαι, ἐφήμερα τά τε σώματα καὶ τὰ χρήματα ὁμοίως ἡγούμενοι. 3.

2. Τοὺς νήσαντας] τοὺς ἐπιξυνάξαντας καὶ ἑτοιμάσαντας τὰ τῆς πυρᾶς ξύλα. (Κασσ.)

νγ'. 6. Ἦρξε] ἀρχὴ γέγονε. — Ἐπὶ πλέον] διαβολὴν ἐμφαίνει τῶν Ἀθηναίων τὸ ἐπὶ πλέον κείμενον. (Κασσ. Αὐγ.) — 8. Ἀγχίστροφον] ταχεῖαν, ὀξεῖαν, [ἐγγυτέραν. (λ. Κασσ.)] — 10. Οὐδὲν πρότερον κεκτημένων] τῶν πενήτων. (λ. Αὐγ.) — 11. Τὰς ἀπαυρέσεις] τὰς ἀπολαύσεις καὶ ἡδυπαθείας.

Συχνούς. Chr. Dan. συχνῶς.

Προτεθνάναι. D. E. προστεθν.

Νήσαντας. Chr. Dan. B. Ald. Flor. Bas. (ed., non cod. Bas.) atque ex emend. etiam Ar. νοσήσαντας. At vid. not.

Νεκρόν. D. νεκρων, ō s. ῶ al. man.

Καιομένου. Cf. ad I, 49, 5.

Ἄνωθεν ἐπιβαλόντες. Pro ἐπιβαλόντες cod. Bas. D. Laur. ἐπιβάλλοντες. Postremus simul ἄνωθεν post ἐπιβάλλ. collocat, sicut E. m. Ar. Chr. Dan. post ἐπιβαλόντες.

Cap. LIII. Πρῶτον. E. πρῶτος.

Τῇ πόλει ἐπὶ πλέον. E. Mosqu. ἐπὶ πλ. τῇ πόλ.

Ἀπεκρύπτετο. Cass. Aug. Mosqu. ἀπέκρυπτε τῶ. Pal. ἀπέκρυπτε τῷ. Cl. It. ἀπέκρυπτε τό. Gr. ἐκρύπτετο.

Μεταβολήν. Syllaba βο in B. al. man. ex corr. illata.

Αἰφνιδίως. C. αἰφνηδίως.

Οὐδέν. D. post οὐδέν s. v. al. man. μέν addit, et statim προτέρων exhibere traditur.

Τἀκείνων. C. F. Pal. H. Reg. (G.) I. Mosqu. τὰ ἐκείνων. Cf. I. 1. p. 215.

2. Ἀπαυρέσεις. Mosqu. Ar. Chr. ἐπαυρήσεις. At vid. Loh. ad Phryn. p. 447.

Τά τε. Laur. τὰ τά.

Καὶ τά. Gr. om. τά.

Digitized by Google

καὶ τὸ μὲν προσταλαιπωρεῖν τῷ δόξαντι καλῷ οὐδεὶς πρόθυμος ἦν, ἄδηλον νομίζων, εἰ πρὶν ἐπ' αὐτὸ ἐλθεῖν, διαφθαρήσεται· ὅ τι δὲ ἤδη τε ἡδὺ καὶ πανταχόθεν τὸ ἐς αὐτὸν κερδαλέον, τοῦτο καὶ καλὸν καὶ χρήσιμον κατέστη. 4. θεῶν δὲ φόβος ἢ ἀνθρώπων νόμος οὐδεὶς ἀπεῖργε, τὸ μὲν κρίνοντες ἐν ὁμοίῳ καὶ σέβειν καὶ μή, ἐκ τοῦ πάντας ὁρᾶν ἐν ἴσῳ ἀπολλυμένους, τῶν δὲ ἁμαρτημάτων οὐδεὶς ἐλπίζων μέχρι τοῦ δίκην γενέσθαι βιοὺς ὧν τὴν τιμωρίαν ἀντιδοῦναι, πολὺ δὲ μείζω τὴν ἤδη

1. *Προσταλαιπωρεῖν τῷ δόξαντι καλῷ*] τουτέστι τῇ ἀρετῇ· αὕτη γὰρ μετὰ ταλαιπωρίας γίγνεται. — 3. ****Ηιδει*] ἢ γραπτέον ἐστὶν, *Ἀττικώτερον* τουτὶ νόει. (*Παλ.*) — 4. *Κερδαλέον*] ἐπωφελές. (*λ. Ἀὴγ.*) — 5. *Ἀνθρώπων νόμος*] ἀνθρωπίνη εὐνομία. (*λ. Ἀὴγ.*) — 6. *Τὸ μὲν*] τὸ θεῖον δηλονότι. (*λ. Ἀὴγ.*) — *Κρίνοντες ἐν ὁμοίῳ*] εἶναι δηλονότι. (*λ. Ἀὴγ.*) — 9. *Τὴν ἤδη κατεψηφισμένην*] ἀπὸ κοινοῦ τὸ δίκην. λέγει δὲ τὴν νόσον. ἀπὸ κοινοῦ δὲ καὶ τὸ ἐλπίζων.

8. *Τὸ μέν.* In Pal. rec. man. τῷ *μέν.* Haackius male comma posuit post τὸ *μέν*, cui respondeat ὅ *τι δέ.* Vid. Matth. Gr. §. 542. adnot. 2. Add. VI, 17. τὸ *μὲν ἐς τὴν γῆν ἡμῶν ἐσβάλλειν ἱκανοί εἰσιν.* Cf. Herm. ad Soph. Ai. v. 114.

Προσταλαιπωρεῖν. Pal. Gr. Laur. I. προταλ. At vid. not.

Ἐπ' αὐτό. Vind. m. ἐπ' *αὐτῷ.*

Ἐλθεῖν. Cass. Aug. Cl. Mosqu. ἔλθῃ, Aug. sine ι subscr. Quod ἔλθῃ ne, quoniam etiam alibi *πρίν* sine ἄν cum coniunctivo apud Thuc. iungatur (vid. I. 1. p. 141.), probari posse credas, sicut ipsi aliquando credidimus, cogites hic *πρίν* cum coniunctivo omnino locum non habere. Cf. Elmsl. ad Eur. Med. p. 119.

Ἤδη Cass. (hic a man. rec.) Aug. It. H. E. (hic cum ει s. η) Mosqu. Haack. Bekk. In Vat. ἤδη. Pal. ἤδει. Vulgo ἤδει. „Cui lectioni obstat locus particulae τέ, quae potius post ἡδύ collocari debebat, [et durius omissum ὄν.] Quare recepi lectionem ἤδη, *iam*, *in praesentia*, quae aptissimam h. l. fundit sententiam." HAACK. Statim pro τέ ex D. τά affertur.

Καὶ πανταχόθεν τό. Omisso καί m. Ar. Chr. Dan. πανταχόθεν τε, Laur. πανταχόθεν τε τό exhibent, et πανταχόθεν τε etiam ex Cl. Gr. et E. citatur.

Αὐτό Cass. Aug. Cl. C. It. Vat. Reg. Gr. D. Laur. E. Vind. m. Ar. Chr. Dan. Ald. Flor. Bas., quod ab Abreschio monitus iam Gottl. recepturus erat pro vulg. *αὐτόν*, sed operae non paruerunt; receperunt Haack. et Bekk. Cf. adnot.

Καὶ καλόν. Καί om. cod. Bas. Gr. Laur. Ar. Chr. Dan., s. v. al. man. habet E.

4. *Οὐδεὶς ἐλπίζων* in marg. al. man. praebet C. Contra G. *οὐδείς* bis exarat.

Βιοὺς ἂν τὴν τιμωρίαν. Laur. Mosqu. m. Ar. Chr. *τὴν τιμωρίαν βιοὺς ἄν.* Sic etiam E. et Dan., nisi quod ille *βίον* pro *βιούς* exhibere, hic articulum praetermittere traditur.

Ἀντιδοῦναι. „Legitur et ἀποδοῦναι, sed minus placet." STEPH. Ubinam vero legitur?

Digitized by Google

καταψηφισθήναι, ἢν πρὶν ἐκπεσεῖν, εἰκὸς εἶναι τοῦ βίου τι ἀπολαῦσαι.

(*Χρηστήρια περὶ τῆς νόσου καὶ μέρη τῆς Ἑλλάδος ἃ ἐπεναίματο.*)

νδ΄. Τοιούτῳ μὲν πάθει οἱ Ἀθηναῖοι περιπεσόντες ἐπιέζοντο, ἀνθρώπων τε ἔνδον θνησκόντων, καὶ γῆς ἔξω δῃουμένης. 2. ἐν δὲ τῷ κακῷ, οἷα εἰκὸς, ἀνεμνήσθησαν καὶ τοῦδε τοῦ ἔπους, φάσκοντες οἱ πρεσβύτεροι πάλαι ᾄδεσθαι,

Ἥξει Δωριακὸς πόλεμος, καὶ λοιμὸς ἅμ' αὐτῷ.

3. ἐγένετο μὲν οὖν ἔρις τοῖς ἀνθρώποις μὴ λοιμὸν εἰπεῖν ἐν τῷ ἔπει ὑπὸ τῶν παλαιῶν, ἀλλὰ λιμόν· ἐνίκησε δὲ ἐπὶ τοῦ παρόντος, εἰκότως, λοιμὸν εἰρῆσθαι· οἱ γὰρ ἄνθρωποι πρὸς ἃ ἔπασχον τὴν μνήμην ἐποιοῦντο· ἢν δέ γε, οἶμαι, ποτὲ ἄλλος πόλεμος καταλάβῃ Δωρικὸς τοῦδε ὕστερος, καὶ ξυμβῇ γενέσθαι λιμὸν, κατὰ τὸ εἰκὸς οὕτως ᾄσονται. 4. μνήμη δὲ ἐγένετο καὶ τοῦ Λακεδαιμονίων χρηστηρίου τοῖς εἰδόσιν, ὅτε ἐπερωτῶσιν αὐτοῖς τὸν θεὸν, εἰ χρὴ πολεμεῖν, ἀνεῖλε κατὰ κράτος πολεμοῦσι νίκην ἔσεσθαι, καὶ αὐτὸς ἔφη ξυλλήψεσθαι. 5. περὶ μὲν οὖν τοῦ χρηστηρίου τὰ γιγνόμενα ξύμβαλ. Βιβλ. ά. κεφ. οβ΄. 183. ἄξιον τοῦ λόγου ἐνόμισα εἰπεῖν· ὁμοῖα γὰρ ἐς αὐτὸ ἐφάνη καὶ ἐγένετο.

νδ΄. 4. *Ἐπιέζοντο*] Ὅμηρος· Εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς. — 6. *Τοῦ ἔπους*] ἑκπυθοχρήστου στίχος. (Κασσ. Ἀνγ.) — *Φάσκοντες*] σημείωσαι τὴν σύνταξιν. (Βασ.)

Cap. LIV. *Τοιούτῳ μέν.* Mosqu. τοιούτῳ μέντοι.

Γῆς. Laur. τῆς. Noli ideo τῆς γῆς coniicere. Vid. I, 21, 2.

2. *Δωριακός.* Gr. E. Mosqu. Dan. *Δωρικός.*

3. *Ἐν τῷ ἔπει* om. Ar. Chr. In E. saltem *ἐν τῷ* s. v. al. man. Vernm It. Vat. *ἐν τῷ ἔπεσι.*

Ἐπί. Reg. (G.) *ὑπό.*

Εἰκότως om. C. F.

Οἱ γάρ. Ar. *οἱ μὲν γάρ.*

Ποτὲ ἄλλος πόλεμος. Gr. *πόλ. ποτὲ ἄλλ.*

Καταλάβῃ. F. *καταλάβοι.*

Δωρικός. Laur. Vind. marg. Ald. Vin. *Δωριακός.*

Ὕστερος. Dan. *ὕστερον.*

4. *Καὶ αὐτὸς ἔφη ξυλλήψεσθαι.* „Thom. Mag. in *βούλομαι· τὸ φημὶ ἀεὶ πρὸς μέλλοντα καὶ ἐνεστῶτα. Θουκ. ἐν τῇ β΄. καὶ ἀ. ἐ. ξ.*" DUK.

5. *Μὲν οὖν. Οὖν* de. Reg. (G. s. v. adscr.)

Ἄξιον. Laur. Bekk. Vulgo *εἶκαζον.* Vide quae contra I. 1. p. 226. ad VI, 92. disputata sunt.

Ὅμοια εἶναι. G. *εἶναι ὅμοια.*

Digitized by Google

ἐμβεβληκότων δὲ τῶν Πελοποννησίων ἡ νόσος ἤρξατο εὐθύς. καὶ ἐς μὲν Πελοπόννησον οὐκ ἐσῆλθεν, ὅ τι ἄξιον καὶ εἰπεῖν, ἐπενείματο δὲ Ἀθήνας μάλιστα, ἔπειτα δὲ καὶ τῶν ἄλλων χωρίων τὰ πολυανθρωπότατα. 6. ταῦτα μὲν τὰ κατὰ τὴν νόσον γενόμενα.

(β. Οἱ Πελοποννήσιοι τὴν Ἀττικὴν θροῦσι. Κεφ. νέ.)

νέ. Οἱ δὲ Πελοποννήσιοι ἐπειδὴ ἔτεμον τὸ πεδίον, καρῆλθον ἐς τὴν Πάραλον γῆν καλουμένην, μέχρι Λαυρίου, οὗ τὰ ἀργύρεια μέταλλά ἐστιν Ἀθηναίοις. καὶ πρῶτον μὲν ἔτεμον ταύτην ἣ πρὸς Πελοπόννησον ὁρᾷ, ἔπειτα δὲ τὴν πρὸς Εὔβοιάν τε καὶ Ἄνδρον τετραμμένην. 2. Περικλῆς δὲ, στρατηγὸς ὢν καὶ τότε, περὶ μὲν τοῦ μὴ ἐπεξ-

2. Ὅ τι ἄξιον καὶ εἰπεῖν] ἦγουν ἄξιον διηγήσεως. (λ. Ἀνγ.) — 3. Ἐπενείματο] κατέφαγε. (λ. Λύγ.)

νέ. 7. Τὴν πάραλον] τὴν παραθαλάσσιον. — Λαυρίου] Λαύριον ὄρος ἐν τῇ Ἀττικῇ, οὗ μέταλλα ἀργύρεια. (Ροσγ.) — 11. Στρατηγὸς ὢν καὶ τότε] τινὲς εἰς τὸ ὤν, τινὲς εἰς τὸ καὶ τότε στίζουσι.

Ἄξιον καὶ Cass. Aug. Cl. C. Pal. It. Vat. H. Reg. Gr. I. Laur. E. Mosqu. Schol. Haack. Bekk. Vulgo καὶ ἄξιον.

Χωρίων s. v. ead. man. H.

6. Τὴν νόσον. Gr. Πελοπόννησον.

Γενόμενα. Laur. γιγνόμενα, E. γινόμενα.

Cap. LV. Ἔτεμον. Laur. ἔτεμνον.

Τὸ πεδίον I. Laur. (?) Ar. Chr. Dan. τὸ χωρίον. „Πεδίον potius credo scripsisse Thucydidem quam χωρίον. Erant iam olim diversa genera civium οἱ ἐκ τοῦ πεδίου et οἱ πάραλοι. Herodot. I, 59.“ DUK.

Πάραλον. „Pertinet huc locus Thom. Mag. Οὐ μόνον παράλιος χώρα, ἀλλὰ καὶ πάραλος.“ DUK.

Λαυρίον. It. Vat. G. Λαυρεῖον. Vid. I. 2. p. 265. Olim addebatur ὄρους, quod cum Cass. Reg. Vind. Ar. Chr. Dan. Suid. (in ἀργυροῦν) primus abiecit Gottl., cui Pal. Itt. et plerique Parr. adstipulari videntur. Ὄρους servat F., ὄρος habent D. et I., hic cum ὀῦ super ō. Add. I. 2. p. 265.

Οὗ τὰ ἀργ. „Suidas in ἀργυροῦν pro οὗ τὰ ἀργ. legit ὅπου ἀργ., prave.“ WASS.

Ἀργύρεια. Pal. G. D. I. Laur. E. Mosqu. ἀργύρια. (Cf. Sturz. Lex. Xen. in ἀργυρεῖον.) Vulgatam agnoscit Suid., atque aliis quoque grammaticis τὸ κτητικὸν est ἀργύρειον (ἀργυρεῖον). Cf. VI, 91.

Μέταλλά ἐστιν. Vulgo μέταλλα ἐστίν. Nostrum praeivit Bekk. Aliis placeat μέταλλα ἔστιν. Praeterea G. μέταλα, I. μετα, et marg. al. man. μέταλλα.

Ἥ. Vat. C. Laur. ᾗ. Dan. ἣν.

Τὴν πρός. Vat. τὴν τε πρός.

Ἔπειτα δέ. Laur. ἔπ. τε.

2. Ὢν καὶ τότε. Cl. ὢν τῶν

Digitized by Google

ιέναι τοὺς Ἀθηναίους τὴν αὐτὴν γνώμην εἶχεν, ὥσπερ καὶ ἐν τῇ προτέρᾳ ἐσβολῇ.

(γ'. Στρατεία Ἀθηναίων ἐς τὴν Πελοπόννησον. Κεφ. νε'.

νε'. Ἔτι δ' αὐτῶν ἐν τῷ πεδίῳ ὄντων, πρὶν ἐς τὴν παραλίαν γῆν ἐλθεῖν, ἑκατὸν νεῶν ἐπίπλουν τῇ Πελοποννήσῳ παρεσκευάζετο, καὶ ἐπειδὴ ἕτοιμα ἦν, ἀνήγετο. 2. ἦγε δὲ ἐπὶ τῶν νεῶν ὁπλίτας Ἀθηναίων τετρακισχιλίους καὶ ἱππέας τριακοσίους ἐν ναυσὶν ἱππαγωγοῖς πρῶτον τότε ἐκ τῶν παλαιῶν νεῶν ποιηθείσαις· ξυνεστρατεύοντο δὲ καὶ Χῖοι καὶ Λέσβιοι πεντήκοντα ναυσίν. 3. ὅτε δὲ ἀνήγετο ἡ στρατιὰ αὕτη Ἀθηναίων, Πελοποννησίους κατέλιπον τῆς Ἀττικῆς ὄντας ἐν τῇ παραλίᾳ. 4. ἀφικόμενοι δὲ ἐς Ἐπίδαυρον τῆς Πελοποννήσου, ἔτεμον τῆς γῆς τὴν πολλήν· καὶ πρὸς τὴν πόλιν προσβαλόντες, ἐς ἐλπίδα μὲν ἦλθον τοῦ ἑλεῖν, οὐ μέντοι προσχώρησέ γε. 5. ἀναγαγόμενοι δὲ ἐκ τῆς Ἐπιδαύρου, ἔτεμον τήν τε Τροιζηνίδα γῆν, καὶ τὴν Ἁλιάδα, καὶ τὴν

1. *Γνώμην*] προαίρεσιν. (λ. Αὐγ.)
νε'. 3. *Αὐτῶν*] τῶν Λακεδαιμονίων. (λ. Αὐγ.) — 5. *Παρεσκευάζετο*] ἡτοίμαζε. — 14. *Προεχώρησε*] ἦλθον εἰς τὸ ἑλεῖν τὴν πόλιν. — 15. *Ἀναγαγόμενοι*] ἀναχθέντες. (λ. Αὐγ.)

Ἀθηναίων τότε. „Alios post ὧν, alios post τότε interpungere admonet Schol." STEPH. Prius verius esse vel collocatio particulae μέν docet.

Μὴ ἐπεξιέναι. Μή om. H. Reg. Gr., *ἐξιέναι* suppeditat C.

Τοὺς Ἀθηναίους. Ar. Chr. Dan. *καὶ τότε Ἀθην.*

CAP. LVI. *Παραλίαν.* C. F. Dan. *περαίαν*, quod etiam Steph. alicubi invenit, verum C. et Dan. in marg. *πάραλον.*

Γῆν s. v. ead. man. I., om. Laur.

Ἐπίπλουν τῇ. G. *ἐπίπλουν ἐν τῇ.*

2. *Δὲ ἐπί* Cass. Pal. Reg. Gr. Vulgo (Haack. Bekk.) *δ' ἐπί.*

Τετρακισχιλίους. Dan. *τετρακισχιλίων.*

Πρῶτον τότε. Reg. (G.) *τότε πρῶτον.*

Νεῶν om. B. et m., sed in hoc vacuum spatium relictum, et in marg. legitur *νεῶν δηλαδή.* Uncis olim inclusum erat, quos Haack. sustulit.

Χῖοι. C. *Χεῖοι.*

3. *Ὅτε δέ.* C. *ὅτε δή.*

Ἐν τῇ C. in marg. al. man.

4. *Προσβαλόντες.* Cl. *ἐσβαλόντες.* Laur. *προσβάλλοντες.*

Ἐλπίδα μέν. Μέν de. Ar. Chr. Dan.

5. *Ἀναγαγόμενοι.* F. Reg. (G.) Laur. m. Ar. Chr. Dan. *ἀναγόμενοι.*

Καὶ τὴν Ἁλ. Laur. E. *καὶ Ἁλ.* E. etiam statim ante *Ἑρμ.* artic. om.

Digitized by Google

Ἑρμιονίδα· ἔστι δὲ πάντα ταῦτα ἐπιθαλάσσια τῆς Πελοποννήσου. 6. ἄραντες δὲ ἀπ' αὐτῶν, ἀφίκοντο ἐς Πρασιὰς, τῆς Λακωνικῆς πόλισμα ἐπιθαλάσσιον, καὶ τῆς τε γῆς ἔτεμον, καὶ αὐτὸ τὸ πόλισμα εἷλον, καὶ ἐπόρθησαν. 7. ταῦτα δὲ ποιήσαντες, ἐπ' οἶκου ἀνεχώρησαν. 5 τοὺς δὲ Πελοποννησίους οὐκέτι κατέλαβον ἐν τῇ Ἀττικῇ ὄντας, ἀλλ' ἀνακεχωρηκότας.

(δ'. Χρόνος τῆς νόσου καὶ τῆς ἐσβολῆς τῆς ἐς τὴν Ἀττικήν.)

νζ'. Ὅσον δὲ χρόνον οἱ Πελοποννήσιοι ἦσαν ἐν τῇ γῇ τῇ Ἀθηναίων, καὶ οἱ Ἀθηναῖοι ἐστράτευον ἐπὶ τῶν νεῶν, ἡ νόσος ἔν τε τῇ στρατιᾷ τοὺς Ἀθηναίους ἔφθειρε, 10 καὶ ἐν τῇ πόλει· ὥστε καὶ ἐλέχθη τοὺς Πελοποννησίους δείσαντας τὸ νόσημα, ὡς ἐπυνθάνοντο τῶν αὐτομόλων 134 ὅτι ἐν τῇ πόλει εἴη, καὶ θάπτοντας ἅμα ᾐσθάνοντο, θᾶσσον ἐκ τῆς γῆς ἐξελθεῖν. 2. τῇ δὲ ἐσβολῇ ταύτῃ πλεῖστόν τε χρόνον ἐνέμειναν, καὶ τὴν γῆν πᾶσαν ἔτεμον· 15

3. Τῆς τε γῆς ἔτεμον] μέρος τι λείπει.

νζ'. 10. Τῇ στρατιᾷ] τῇ περὶ τὴν Πελοπόννησον. — 14. † Θᾶσσον ἐκ τῆς γῆς ἐξελθεῖν] † εἰ δέ τις εἴπη, καὶ πῶς αὐτοὺς οὐκ ἐφόνευον; λέγομεν ὅτι ἀσεβὲς τοῦτο ἐνόμιζον. — Ταύτῃ] τῇ δευτέρᾳ δηλονότι. (λ. Δύγ.)

Ἑρμιονίδα. D. Mosqu. Ἑρμηονίδα.

Πάντα om. m, Ar. Chr. Dan. Post ταῦτα ponunt Laur. E.

6. Ἀφίκοντο. Vind. ἀφίκοντες.

Ἔτεμον. Cam. et Tus. ἔτεμον μέρος τι, ex Schol.

Ἐπόρθησαν. Marg. Steph. ἐξεπόρθησαν.

7. Ἀνεχώρησαν. D. I. ἀνεχώρουν, et marg. ead. man. ἀνεχώρησαν.

Ἀνακεχωρηκότας. C. D. ἀνακεχωρηκότες, in hoc tamen ας s. εg.

Cap. LVII. Ὅσον δέ. C. F. Gr. ὅσον τε. Cass. It. Vat. H. Reg. (G.) ὅσον δέ τε.

Οἱ Πελοποννήσιοι Cass. C. F. Pal. It. Vat. H. G. cod. Bas. Gr. D. I. Vulgo (Haack. Bekk.) οἵ τε Πελ., per se bene.

Ἦσαν om. D.

Τῇ γῇ τῇ Cass. C. F. Pal. Vat. H. Reg. (G.) Gr. D. I. Laur. Bekk. In Vind. τῇ γῇ τῇ τῶν. Vulgo (et Haack.) τῇ γῇ τῶν. Cf. ad I, 108.

Ἔφθειρε. Cam. διέφθ.

Ἐλέχθη. Dan. ἐπίχθη.

Καὶ θάπτοντας. D. E. καθάπτοντας.

Ἐκ τῆς γῆς. Ἐκ de. Ar. Chr. Dan.

2. Ἐνέμειναν. It. Vat. Reg. (G.) ἔμειναν.

Πᾶσαν. Mosqu. ἅπασαν.

Digitized by Google

ἡμέρας γὰρ τεσσαράκοντα μάλιστα ἐν τῇ γῇ τῇ Ἀττικῇ ἐγένοντο. Μάϊον μῆνα.

(2. Στρατεία Ἄγνωνος καὶ Κλεοπόμπου ἐπὶ Χαλκιδέας καὶ Ποτίδαιαν.)

νή. Τοῦ δ' αὐτοῦ θέρους Ἄγνων ὁ Νικίου καὶ Κλεόπομπος ὁ Κλεινίου, ξυστράτηγοι ὄντες Περικλέους, λαβόντες τὴν στρατιὰν ἣπερ ἐκεῖνος ἐχρήσατο, ἐστράτευσαν εὐθὺς ἐπὶ Χαλκιδέας τοὺς ἐπὶ Θράκης καὶ Ποτίδαιαν ἔτι πολιορκουμένην· ἀφικόμενοι δὲ, μηχανάς τε τῇ Ποτιδαίᾳ προσέφερον, καὶ παντὶ τρόπῳ ἐπειρῶντο ἑλεῖν. 2. προὐχώρει δὲ αὐτοῖς οὔτε ἡ αἵρεσις τῆς πόλεως οὔτε τἆλλα τῆς παρασκευῆς ἀξίως. ἐπιγενομένη γὰρ ἡ νόσος, ἐνταῦθα δὴ πάνυ ἐπέσε τοὺς Ἀθηναίους, φθείρουσα τὴν στρατιὰν, ὥστε καὶ τοὺς προτέρους στρατιώτας νοσῆσαι τῶν Ἀθηναίων ἀπὸ τῆς ξὺν Ἄγνωνι στρατιᾶς, ἐν τῷ πρὸ τοῦ χρόνῳ ὑγιαίνοντας. (Φορμίων δὲ καὶ οἱ ἑξακόσιοι καὶ χίλιοι οὐκέτι ἦσαν περὶ Χαλκιδέας.) 3. ὁ μὲν οὖν Ἄγνων ταῖς ναυσὶν ἀνεχώρησεν ἐς τὰς Ἀθήνας, ἀπὸ τετρακισχιλίων ὁπλιτῶν χιλίους καὶ πεντήκοντα τῇ νόσῳ ἀπολέσας ἐν τεσσαράκοντα μάλιστα

νή. 3. Τοῦ δ' αὐτοῦ θέρους] μετάβασις. — 7. Πολιορκουμένην] ὑπὸ τῶν Ἀθηναίων δηλονότι. — 9. Προὐχώρει] προέκοπτεν. — Αὐτοῖς] τοῖς πολιορκοῦσιν. — Ἡ αἵρεσις] ἡ πόρθησις. — 11. Ἐνταῦθα] εἰς τὴν Ποτίδαιαν. (λ. Ἀγ.)

Cap. LVIII. Ἄγνων. Spiritu leni hic et infra male insigniunt ed. Vind. et Haack., asperum habet Bekk. Cf. I, 117.

Κλεόπομπος. C. Λεοπ.

Στρατιάν. Gr. στρατειάν.

Εὐθύς. om. C. F., qua de causa ante Haack. inter uncos legebatur.

Τοὺς ἐπὶ Θράκης. C. τῆς ἐπὶ Θρᾴκης, quod frustra defendere studet Gail., excogitans sibi *Epithracen* regionem. Alterum apud Thueyd. frequentissimum. m. Ar. Chr. τοὺς ἐν τῇ Θρᾴκῃ, male. cf. I. 2. p. 845. sq.

Μηχανάς τε. Τέ om. D.

2. Τἆλλα. E. ἄλλα.

Ἀξίως. Dan. ἀξίων.

Ἐπιγενομένη γάρ. Ar. ἐπιγεν. δέ.

Καὶ τοὺς. I. καὶ πρὸς τούς.

Ἄγνωνι. G. *Αγνωνι*, ν̄ s. γ̄.

Φορμίων-δὲ — Χαλκιδέας. His parenthesis signa addidimus.

Καὶ χίλιοι. *Καί* de. Dan.

3. Ταῖς ναυσὶν ἀνεχώρησε. Laur. E. Ar. Chr. Dan. ἀνεχώρησα ταῖς ναυσίν.

Digitized by Google

ἡμέραις· οἱ δὲ πρότεροι στρατιῶται κατὰ χώραν μένοντες ἐπολιόρκουν τὴν Ποτίδαιαν.

(3. Διάθεσις Ἀθηναίων καὶ πολιτεία Περικλέους. νθ'. — ξε'. α') Ἀθηναίοις πρὸς Λακεδαιμονίους πράσσουσι περὶ διαλλαγῆς καὶ Περικλεῖ ὀργιζομένοις οὗτος ἐπιτιμᾷν τε βούλεται καὶ παραθαρσύνειν.)

νθ'. Μετὰ δὲ τὴν δευτέραν ἐσβολὴν τῶν Πελοποννησίων οἱ Ἀθηναῖοι, ὡς ἥ τε γῆ αὐτῶν ἐτέτμητο τὸ δεύτερον, καὶ ἡ νόσος ἐπέκειτο ἅμα καὶ ὁ πόλεμος, ἠλλοίωντο τὰς γνώμας. 2. καὶ τὸν μὲν Περικλέα ἐν αἰτίᾳ εἶχον, ὡς πείσαντα σφᾶς πολεμεῖν, καὶ δι' ἐκεῖνον ταῖς ξυμφοραῖς περιπεπτωκότες· πρὸς δὲ τοὺς Λακεδαιμονίους ὥρμηντο ξυγχωρεῖν. καὶ πρέσβεις τινὰς πέμψαντες ὡς αὐτούς, ἄπρακτοι ἐγένοντο. πανταχόθεν τε τῇ γνώμῃ ἄποροι καθεστῶτες, ἐνέκειντο τῷ Περικλεῖ. 3. ὁ δὲ, ὁρῶν αὐτοὺς πρὸς τὰ παρόντα χαλεπαίνοντας, καὶ πάντα ποιοῦντας ἅπερ αὐτὸς ἤλπιζε, ξύλλογον ποιήσας, (ἔτι δ' ἐστρατήγει,) ἐβούλετο θαρσῦναί τε, καὶ ἀπαγαγὼν τὸ ὀργιζόμενον τῆς γνώμης, πρὸς τὸ ἠπιώτερον καὶ ἀδεέστερον καταστῆσαι. παρελθὼν δὲ ἔλεξε τοιάδε.

1. Οἱ δὲ πρότεροι] οἱ μετὰ Καλλίου δηλονότι.
νθ'. 6. Ἠλλοίωντο] μετεβλήθησαν. (λ. Αὐγ.) — 9. Ξυγχωρεῖν] ἐνδιδόναι. — 15. Ἀπαγαγών] ἀποστήσας.

Cap. LIX. Μετὰ — ἐγένοντο. „Dion. Halic. p. 143. [843. R. ubi εἰσβολήν, συμφορ. συγχωρ.]" WASS.

Αὐτῶν. C. αὐτοῦ.

Ἠλλοίωντο. G. ἠλλίωντο.

2. Τὸν μέν. Μέν de. Dion.

Περιπεπτωκότες. F. περιπεπτωκότας.

Πρέσβεις τινάς. D. πρέσβεις αν νας, cum τι s. v. ead. man. (πρέσβεις αὖ τινάς.) it. I., sed τινάς in marg. al. man. Ante καὶ πρέσβεις autem cum Haack. et Bekk. plenius interpunximus.

Ὡς αὐτούς. Dion. πρὸς αὐτούς.

Ἐγένοντο. Mosqu. ἐγίνοντο.

Πανταχόθεν τε. Laur. E. παντ. δέ.

Καθεστῶτες. Laur. E. Vind. m. καθεστηκότες.

8. Ἐστρατήγει. Literae τη in G. s. v.

Παρελθὼν δέ Cass. Cl. It. Vat. Reg. (G.) I. (in quo δέ s. v.) Laur. E. Mosqu. Ar. Chr. Dan. Tus. Haack. Bekk. Vulgo καὶ παρελθών. Καί om. Gr. m. Ald. Flor., qui haud dubie ipsi δέ addunt.

Digitized by Google

(β. Λόγος Περικλέους. ξ. — ξδ'.)

(*Μέμφεται Ἀθηναίοις ὅτι ἑαυτῷ χαλεπαίνουσιν οὐδενὸς ἧσσονι ὄντι.*)

ξ. „*Καὶ προσδεχομένῳ μοι τὰ τῆς ὀργῆς ὑμῶν ἐς ἐμὲ γεγένηται, (αἰσθάνομαι γὰρ τὰς αἰτίας,) καὶ ἐκκλησίαν τούτου ἕνεκα ξυνήγαγον, ὅπως ὑπομνήσω, καὶ μέμψωμαι, εἴ τι μὴ ὀρθῶς ἢ ἐμοὶ χαλεπαίνετε, ἢ ταῖς ξυμ-*
5 *φοραῖς εἴκετε. 2. ἐγὼ γὰρ ἡγοῦμαι πόλιν πλείω ξύμπασαν ὀρθουμένην ὠφελεῖν τοὺς ἰδιώτας, ἢ καθ' ἕκαστον*
135. *τῶν πολιτῶν εὐπραγοῦσαν, ἀθρόαν δὲ σφαλλομένην. 3. καλῶς μὲν γὰρ φερόμενος ἀνὴρ τὸ καθ' ἑαυτὸν, διαφθειρομένης τῆς πατρίδος, οὐδὲν ἧσσον ξυναπόλλυται·*
10 *κακοτυχῶν δὲ ἐν εὐτυχούσῃ, πολλῷ μᾶλλον διασώζεται. 4. ὁπότε οὖν πόλις μὲν τὰς ἰδίας ξυμφορὰς οἷα τε φέ-*

ξ. 1. *Καὶ προσδεχομένῳ*] *ταύτης τῆς δημηγορίας μέμνηται Πλούταρχος ἐν τοῖς πολιτικοῖς παραγγέλμασι.* (*Κασσ. Αὐγ.*) — *Καὶ προσδεχομένῳ μοι* —] *καὶ προσδοκήσαντί μοι γεγένηται εἰς ἐμὲ τὰ τῆς ὀργῆς ὑμῶν· οἷον, οὐκ ἀνέλπιστα εἰς ἐμὲ τὰ παρόντα γεγένηται αἰτιάματα, ἀλλὰ καὶ ἤδη ταῦτα προσδεχομένῳ, ἀφ' οὗ πολεμεῖν συνεβούλευσα Λακεδαιμονίοις, γεγένηται· καὶ διὰ τοῦτο συνήγαγον ἐκκλησίαν, ὅπως, ὡς οὐκ ὀρθῶς ἐμοὶ χαλεπαίνετε ἢ ταῖς τύχαις εἴκετε, ὑπομνήσω.* (*λ. Αὐγ.*) — 2. *Αἰσθάνομαι*] *γενικῇ καὶ αἰτιατικῇ, κοινῶς καὶ Ἀττικῶς.* (*Βασ.*) — 5. *Ἐγὼ γὰρ ἡγοῦμαι*] *κατασκευὴ τοῦ προοιμίου.* — 11. *Πόλις μὲν τὰς ἰδίας ξυμφ.*] *ἰδίας, τὴν οὐχὶ ἑαυτῆς, ἀλλὰ τὰς τῶν καθ' ἕκαστον ἀνθρώπων καὶ μερικὰς δυστυχίας.*

Cap. LX. *Καὶ προσδ.* — *εἴκετε.* „Dion. Hal. p. 158. [923. R.] Deinde ibidem [p. 924.] *ἐγὼ* — *διασώζεται.*" WASS.

Ἐς ἐμέ Cass. Cl. It. Vat. H. Reg. Chr. Schol. Dion. Hal. Haack. Bekk. Vulgo *ἐς με*. Gr. *εὖ*.

Αἰσθάνομαι. Ar. Chr. *αἰσθόμενος.*

Ἐκκλησίαν. Pal. *τὴν ἐκκλ.* I. *ἐκκλησίας.*

Μέμψωμαι. Gr. *μέμφομαι*, quod recepit Bekk. At quis, uni libro in talibus (I, 82. III, 26. VI, 13.) obediet? Vulgatam satis stabilient quae I. 1. p. 136. et p. 142. dicta sunt. Add. Buttm. Gr. med. §. 126. 4.

Εἴ τι. G. *εἴ τε, ἴ s. ἔ.* C. B. *ὅτι.*

Ἢ ταῖς. Vat. *εἰ ταῖς.* H. *εἰς ταῖς.*

2. *Ἡγοῦμαι.* „Huc spectat Hierocles apud Stobaeum p. 229, 20." WASS.

Πλείω Cass. Cl. Pal. It. Vat. H. Reg. Gr. D. I. marg. Ald. Vin. Dion. Tus. Haack. Bekk. Vulgo *πλέω*. Cf. I. 1. p. 223. In C. de.

Ἀθρόαν δὲ. Δὲ om. E.

3. *Τὸ καθ' ἑ. Τό* om. Reg.

Κακοτυχῶν. „Agnoscit Pollux III, 99. *Κακοτυχής* Euripides." WASS.

Digitized by Google

ρειν, εἷς δὲ ἕκαστος τὰς ἐκείνης ἀδύνατος, πῶς οὐ χρὴ πάντας ἀμύνειν αὐτῇ, καὶ μὴ ὃ νῦν ὑμεῖς δρᾶτε, ταῖς κατ' οἶκον κακοπραγίαις ἐκπεπληγμένοι τοῦ κοινοῦ τῆς σωτηρίας ἀφίεσθε, καὶ ἐμέ τε τὸν παραινέσαντα πολεμεῖν, καὶ ὑμᾶς αὐτούς, οἳ ξυνέγνωτε, δι' αἰτίας ἔχετε. 5. καίτοι ἐμοὶ γοιούτῳ ἀνδρὶ ὀργίζεσθε, ὃς οὐδενὸς οἶμαι ἧσσων εἶναι γνῶναί τε τὰ δέοντα, καὶ ἑρμηνεῦσαι ταῦτα,

2. *Ταῖς κατ' οἶκον*] ταῖς ἑαυτῶν καὶ μερικαῖς. — 3. *Πεπληγμένοι*] παραφερόμενοι. — 4. *Ἀφίεσθε*] ἀμελεῖτε. — 5. *Οἳ ξυνέγνωτε*] μετέσχετε τῆς παραινέσεως διαγνόντες. (λ. Κασσ.) — *Καίτοι ἐμοί* —] [παραγραφικὸν ἐν δεινότητι. (λ. Κασσ.)] τέσσαρα δεῖ, κατὰ Θουκυδίδην, τὸν ἀγαθὸν ἔχειν ἄνδρα, νοεῖν μὲν τὰ δέοντα, φράζειν δὲ δύνασθαι τὰ νοηθέντα καλῶς, φιλόπολίν τε εἶναι, καὶ τέταρτον, κρείσσω χρημάτων. τὸ γὰρ νικᾶσθαι χρήμασι πᾶσαν καὶ ῥήτορος καὶ πολίτου, καὶ ἰδιώτου καὶ ἄρχοντος, ἀρετὴν ἀφανίζει. — 6. *Τοιούτῳ ἀνδρί*] ἡγουν μεγάλῳ. — *Ὃς οὐδενὸς οἶμαι ἧσσων — ἑρμηνεῦσαι ταῦτα*] ῥητορείαν ἑαυτῷ μαρτυρεῖ.

4. *Δὲ ἕκαστος.* Pal. δὲ ὧν (ὢν) ἕκ.

Ἐκείνης. God. Bas. *ἰδίας.*

Κακοπραγίαις. Dan. *πραγίαις.* m. *σὺπραγ.*

Ἐκπεπληγμένοι. Marg. Steph. ex capite Scholii *πεκλ.*, quod ipse Steph. iure reiiciebat.

Ἀφίεσθε. F. Reg. D. Bar. atque ex emend. int. vers. etiam Gr. *ἀφίεσθαι.* Cf. Greg. Cor. ad Herm. p. 957. In Cass. quidem *ἀφίεσθε*, sed vetus scriptura abrasa videtur. E. *ἐφίεσθαι*, Ar. Chr. Dan. *ἐφίεσθε.* „Primus hunc locum recte interpunxit et illustravit Hermannus ad Vig. p. 761. Sublatis enim parentheseos notis, quibus vulgo circumscribuntur verba *ὃ νῦν ὑμεῖς — ἐκπεπληγμένοι* [et commate pro interrogationis signo post *αὐτῇ* posito,] ad verba *καὶ μὴ* subaudit *δρᾶν.*" HAACK. Add. not.

Ἐμέ τε Cass. Cl. C. It. Vat. H. Gr. Haack. Bekk. Vulgo *de. τέ.*

Δι' αἰτίας. Vind. *δ' αἰτίας.* Pro *οἳ* Laur. *ὅ.*

5. *Καίτοι — κρείσσων.* „Dion. Hal. l. d. [p. 925.] Enarrator Hermogenis eadem haec laudans perperam legit *ἥττων εἰμί*, quem corrige. Cf. eund. p. 75. et nostri imitatorem Demosth. de Cor. p. 355. ed. Genev." WASS. „Lucian de Saltat. p. 800. [t. II. p. 290. seu c. 36. Reiz.] *καὶ ὅπερ ὁ Θουκυδίδης περὶ τοῦ Περικλέους ἔφη, ἐπαινῶν τὸν ἄνδρα, τοῦτο καὶ τοῦ ὀρχηστοῦ ἀκρότατον ἂν ἐγκώμιον εἴη, γνῶναί τε τὰ δέοντα καὶ ἑρμηνεῦσαι αὐτά.*" DUK. Eadem repetuntur Rhetor. Praeceptt. c. 1. Complures imitati sunt. Vid. not.

Ὀργίζεσθε. D. *ὀργίζεσθαι*, v s. *αι* ead. man.

Ὃς. F. *οἳ.*

Οἶμαι ἧσσων Cass. C. F. (quanquam in hoc *οἶμαν* exstare dicitur,) Pal. It. Vat. H. Reg. (G.) cod. Bas. Gr. I. Mosqu. Schol. Dion. Hal. Haack. Bekk. Vulgo *ἧσσων οἶμαι.*

Ταῦτα. Solus Lucian. *αὐτά*, quod Reisk. malebat, sine idonea causa.

Digitized by Google

φιλόπολίς τε, καὶ χρημάτων κρείσσων. 6. ὅ τε γὰρ γνοὺς, καὶ μὴ σαφῶς διδάξας, ἐν ἴσῳ καὶ εἰ μὴ ἐνεθυμήθη· ὅ τ' ἔχων ἀμφότερα, τῇ δὲ πόλει δύσνους, οὐκ ἂν ὁμοίως τι οἰκείως φράζοι· προδόντος δὲ καὶ τοῦδε, χρήμασι δὲ νικωμένου, τὰ ξύμπαντα τούτου ἑνὸς ἂν πωλοῖτο. 7. ὥστ' εἴ μοι καὶ μέσως ἡγούμενοι μᾶλλον ἑτέρων προσῆναι αὐτὰ πολεμεῖν ἐπείσθητε, οὐκ ἂν εἰκότως νῦν τοῦ γε ἀδικεῖν αἰτίαν φεροίμην."

(*Τὸ ἀγχίστροφον καὶ ἀσθενὲς τῆς γνώμης τὸ ἐκ τῶν ἀπροσδοκήτων τοῦ πολέμου γενόμενον Ἀθηναίοις ἐγκαλεῖ.*)

ξά. „Καὶ γὰρ οἷς μὲν αἵρεσις γεγένηται τἆλλα εὐτυχοῦσι, πολλὴ ἄνοια πολεμῆσαι· εἰ δ' ἀναγκαῖον ἦν ἢ εἴξαντας εὐθὺς τοῖς πέλας ὑπακοῦσαι, ἢ κινδυνεύσαντας περιγενέσθαι, ὁ φυγὼν τὸν κίνδυνον τοῦ ὑποστάντος μεμπτότερος. 2. καὶ ἐγὼ μὲν ὁ αὐτός εἰμι, καὶ οὐκ ἐξί-

4. *Τοῦδε*] *τῆς εὐνοίας.* — 6. *Καὶ μέσως*] *μετρίως.* — *Μᾶλλον ἑτέρων*] *λείπει ὁ δὲ σύνδεσμος, ἵν' ᾖ, μᾶλλον δὲ ἑτέρων. μέσως δὲ εἶπε καὶ οὐ σφόδρα, διὰ τὸ φορτικόν.*

ξά. 9. *Οἷς μὲν αἵρεσις*] *κατὰ κοινοῦ τὸ πολεμῆσαι. ὁ δὲ νοῦς, φησὶν ὅτι ἄφρονές εἰσιν οἱ ἐν εὐτυχίᾳ ὄντες καὶ πολεμεῖν αἱρούμενοι.* — 11. *Τοῖς πέλας*] *τοῖς Λακεδαιμονίοις.* — 12. *Περιγενέσθαι*] *νικῆσαι, τὸν ἐχθρὸν δηλονότι.* (*λ. Ἀνῶν.*) — 13. *Καὶ οὐκ ἐξίσταμαι*] *ὧν παρῆνεσα.* (*λ. Λύγ.*)

Φιλόπολις. „*Τὸ ἦθος* addit Pollux IX, 26. tanquam e Thuc. Usi Isocrates, Plato, Aristoph. et noster [scriptor] infra non semel." WASS. Alludit huc et ad proxima Himer. Eclog. 28, 8. Wernsd.

6. *Ὅ τε — πωλοῖτο.* „Dion. Hal. l. d. [p. 927.] ubi *φράζει.* [apud Reisk. *φράζοι.*]" WASS.

Καὶ εἰ. Cass. Aug. C. Pal. It. Vat. Reg. (G.) cod. Bas. Laur. E. m. Haack. Bekk. In F. *καὶ ἤ.* Gr. om. *εἰ.* Vulgo perperam *εἰ καί.*

Τῇ δέ. Δέ om. I.

Τί οἰκείως. D. I. *τὰ οἰκείως*, et posterior in marg. al. man. *οἰκεῖα*, quam veriorem scripturam esse Gail. suspicari poterat! Cod. Bas. ex emend. *ὁμοίως τι ἢ οἰκείως.*

Καὶ τοῦδε. Gr. *καὶ τοῦ.*

Πωλοῖτο. Ita in Reg. emendatum erat man. rec., quod fuerat *ἀπολοῖτο.* Mosqu. *πολοῖτο.*

7. *Τοῦ γε* Cass. Aug. C. It. Vat. H. Reg. cod. Bas. Gr. D. I. Laur. E. m. Ar. Chr. Dan. Haack. Bekk. Vulgo *γὲ τοῦ.*

Cap. LXI. *Καὶ γὰρ — κακουμένοις.* „Dion. Hal. p. 159. [930.]" WASS.

Τἆλλα. Dion. *τὰ ἄλλα.*

2. *Καὶ ἐγώ.* D. I. *κἀγώ.*

Ὁ αὐτός. Ὁ de. Dan. Tum Greg. Cor. ad Herm. p. 967. *ἀφίστ.*

Digitized by Google

σταμαι· ὑμεῖς δὲ μεταβάλλεσε, ἐπειδὴ ξυνέβη ὑμῖν κακῶς σθῆναι μὲν ἀκεραίοις, μεταμέλειν δὲ κακουμένοις, καὶ τὸν ἐμὸν λόγον ἐν τῷ ὑμετέρῳ ἀσθενεῖ τῆς γνώμης μὴ ὀρθὸν φαίνεσθαι, διότι τὸ μὲν λυποῦν ἔχει ἤδη τὴν αἴσθησιν ἑκάστῳ, τῆς δὲ ὠφελείας ἄπεστιν ἔτι ἡ δήλωσις ἅπασι, καὶ μεταβολῆς μεγάλης, καὶ ταύτης ἐξ ὀλίγου, ἐμπεσούσης, ταπεινὴ ὑμῶν ἡ διάνοια ἐγκαρτερεῖν ἃ ἔγνωτε. 3. δουλοῖ γὰρ φρόνημα τὸ αἱρνίδιον καὶ ἀπροσδόκητον, καὶ τὸ πλείστῳ παραλόγῳ ξυμβαῖνον· ὃ ἡμῖν πρὸς τοῖς ἄλλοις οὐχ ἥκιστα καὶ κατὰ τὴν νόσον γεγένηται. 4. ὅμως δὲ, πόλιν μεγάλην οἰκοῦντας, καὶ ἐν ἤθεσιν ἀντιπάλοις αὐτῇ τεθραμμένους, χρεὼν καὶ ξυμφοραῖς ταῖς μεγίσταις ἐθέλειν ὑφίστασθαι, καὶ τὴν ἀξίωσιν μὴ ἀφανίζειν· (ἔν ἴσῳ γὰρ οἱ ἄνθρωποι δικαιοῦσι

2. Ἀκεραίοις] ἀζημίοις. (λ. Αὐγ.) — 4. Ὀρθόν] ἀληθῆ. (λ. Αὐγ.) — Ἔχει] παρέχει. (λ. Αὐγ.) — 12. Ἀντιπάλοις] ἀντὶ τοῦ ἴσοις καὶ παραπλησίοις τῷ μεγέθει τῆς πόλεως. δεῖ γὰρ πρὸς τὰς πόλεις καὶ τὰ φρονήματα ἔχειν. — 13. Ὑφίστασθαι] ἀμετακινήτους εἶναι. — Τὴν ἀξίωσιν] τὸ ἀξίωμα, τὴν ἡγεμονίαν. — 14. Ἐν ἴσῳ

Μεταβάλλεσε. Marg. Ald. Vin. et Greg. Cor. *μεταβάλλεσθε.* Et sic Dio Cass. XXXVIII, 44. *Ἐγὼ μὲν γὰρ καὶ τότε καὶ νῦν τὴν αὐτὴν γνώμην ἔχω καὶ οὐ μεταβάλλομαι.* F. *μεταβέβλησθε.* Cf. tamen I. 1. p. 185 sq. et de Art. crit. ap. Thuc. c. 8. Mox Greg. *τῷ ἀσθ. τῷ ὑμ.* et *ἑκάστου.*

Μεταμέλειν. Pal. *μεταμελεῖν.* Gr. *μεταμέλει.* I. *μεταμέλλειν*, sed unum λ delet. Vind. m. Ar. Chr. Dan. *μεταβαλεῖν*, in m. tamen supra scr. *μεταμέλειν.*

Ὠφελείας. Pal. It. Vat. Bekk. *ὠφελίας*; non minus recte. Cf. de Art. crit. ap. Thuc. c. 12.

Ἔτι. Reg. *ἤδη*, et ead. man. int. vers. *ἔτι.* („Ἔτι s. v. G.“)

Ἅπασι om. Laur. Vind. E. (ex quo temere *δήλωσις* affertur.) In I. *αμασι*, cum sign. dubit. s. *μ.*

Ἐγκαρτερεῖν. Chr. *ἐγκρατεῖν.* Antea Greg. *καὶ ταῦτα* et *ταχ. μὲν ὦ.*

8. *Δουλοῖ - ὀρεγόμενον.* „Dion. Hal. l. d. [p. 931.]“ WASS. „Hermog. in Method. c. 31. p. 559.“ GOTTL.

Τὸ αἱρνίδιον καὶ ἀπροσδόκητον. C. F. *τὸ ἀπροσδόκ. καὶ αἱρν.* Dion. Hal. *τὸ αἱρν. καὶ τὸ ἀπροσδ.* I. *αἱρνήδιον* exarat, *ι* s. *ι* eras. ead. man.

Ἡμῖν C. Pal. It. Vat. H. Reg. (G.) Gr. D. Laur. E. Ar. Chr. Dan. Vall. Vulgo (Haack. Bekk.) *ὑμῖν.* De quo ambiguum indicium.

Οὐχ ἥκιστα καὶ κατὰ τὴν νόσον. Marg. Steph. *καὶ κατὰ τὴν νόσ. οὐχ ἧττον.*

4. *Ἀντιπάλοις.* „Thom. Mag. h. v. ubi om. *μεγάλην.*“ WASS. *Καὶ ξυμφοραῖς* etc. Dion. Hal. p. 931. *καὶ τὰς ξυμφορὰς ἐθέλειν ὑφ.* F. Gr. *καὶ ξυμφορὰς τὰς μεγίστας.* Vulgatam confirmat auctor libri de syntaxi p. 178. Anecdd. Bekk. Cf. not.

Ἀφανίζειν. Punctum post hoc

Digitized by Google

τῆς τε ὑπαρχούσης δόξης αἰκιᾶσθαι ὅστις μαλακίᾳ ἐλλείπει, καὶ τῆς μὴ προσηκούσης μισεῖν τὸν θρασύτητι ὀρεγόμενον·) ἀπαλγήσαντας δὲ τὰ ἴδια, τοῦ κοινοῦ τῆς σωτηρίας ἀντιλαμβάνεσθαι."

(*Παραθαρσύνει τοὺς Ἀθηναίους, οὓς τῆς θαλασσοκρατίας, καὶ τῆς τῶν πατέρων δόξης, καὶ τοῦ οἰκείου φρονήματος ἀναμιμνήσκει.*)

ξβ'. „Τὸν δὲ πόνον τὸν κατὰ πόλεμον, μὴ γένηταί τε πολὺς, καὶ οὐδὲν μᾶλλον περιγενώμεθα, ἀρκείτω μὲν ὑμῖν καὶ ἐκεῖνα, ἐν οἷς ἄλλοτε πολλάκις γε δὴ ἀπέδειξα οὐκ ὀρθῶς αὐτὸν ὑποπτευόμενον· δηλώσω δὲ καὶ τόδε, ὃ μοι δοκεῖτε οὔτ' αὐτοὶ πώποτε ἐνθυμηθῆναι ὑπάρχον ὑμῖν μεγέθους πέρι ἐς τὴν ἀρχήν, οὔτ' ἐγὼ ἐν τοῖς πρὶν λόγοις· οὐδ' ἂν νῦν ἐχρησάμην κομπωδεστέραν ἔχοντι τὴν προσποίησιν, εἰ μὴ καταπεπληγμένους ὑμᾶς παρὰ τὸ εἰκὸς ἑώρων. 2. οἴεσθε μὲν γὰρ τῶν ξυμμάχων μόνον ἄρχειν· ἐγὼ δὲ ἀποφαίνω δύο μερῶν τῶν ἐς

γῆν οἱ ἄνθρωποι — —] ὁμοίως οἱ ἄνθρωποι ἀξιοῦσιν αἰτιᾶσθαι ὅστις ἐν μαλακίᾳ ἐλλείπει τῆς ἐνυπαρχούσης δόξης, καὶ μισεῖν τὸν ἐν θρασύτητι ὀρεγόμενον τῆς μὴ προσηκούσης. — 3. Ἀπαλγήσαντας] ἀπὸ κοινοῦ τὸ χρεών. τὸ δὲ ἀπαλγήσαντας ἀντὶ τοῦ πανσαμένους ἀλγεῖν, ὥσπερ τὸ ἀπολοφυράμενοι.

ξβ'. 5. ** Τὸν δὲ πόνον] τὸ δυνατὸν κεφάλαιον· ἔστι δὲ ὁ λόγος ἐξ ἀντιθέσεως. (*Παλ.*) — 8. Ὀρθῶς] ἀληθῶς. (*λ. Ἀὺγ.*) — Τόδε] τὸ ῥηθησόμενον. (*λ. Ἀὺγ.*) — 12. Τὴν προσποίησιν] τὴν ἀπαγγελίαν. — Καταπεπληγμένους] † καταπεπτωκότας †, τῷ φόβῳ. (*λ. Ἀὺγ.*) — 14. Τῶν ἐς χρῆσιν φανερῶν] τὸ γὰρ πῦρ καὶ ὁ ἀὴρ οὐ τοσοῦτόν εἰσιν ἐς χρῆσιν φανερά· κοινὰ γὰρ πᾶσι. (*λ. Ἀὺγ.*)

verbum et post ὀργόμ. a recentioribus editoribus recte in colon vel comma mutatum.

Ὅστις. Ar. εἴ τις. Dion. Hal. ὅστις ἄν, et mox ἐλλείπῃ.

Ἀπαλγήσαντας. „Agnoscit Suid. h. v." WASS.

Δὲ τά. C. δὲ χρεὼν τά, ex interpr.

Ἀντιλαμβάνεσθαι. Vind. ἀντιλαμβάνεσθε.

Cap. LXII. Γένηταί τε. Τέ om. C. F.

Ἀπέδειξα. Cod. Bas. a corr. ἐπέδειξα.

Πρὶν λόγοις. C. προλόγοις, πρίν s. πρό al. man. F. πρόσθεν λόγοις.

Τὴν προσποίησιν. Τήν om. Ar. Chr. „In Thom. Mag. v. προσποιοῦμαι Colin. et Franequ. perperam ποίησιν." DUK. Antea Vind. κομποδεστέραν.

2. Μόνον. Cod. Bas. Gr. μάνων

Digitized by Google

χῆσιν φανερῶν, γῆς καὶ θαλάσσης, τοῦ ἑτέρου ὑμᾶς παντὸς κυριωτάτους ὄντας, ἐφ' ὅσον τε νῦν νέμεσθε, καὶ ἢν ἐπὶ πλέον βουληθῆτε· καὶ οὐκ ἔστιν ὅστις τῇ ὑπαρχούσῃ παρασκευῇ τοῦ ναυτικοῦ πλέοντας ὑμᾶς οὔτε βασιλεὺς κωλύσει, οὔτε ἄλλο οὐδὲν ἔθνος τῶν ἐν τῷ παρόντι. 3. ὥστε οὐ κατὰ τὴν τῶν οἰκιῶν καὶ τῆς γῆς χρείαν, ὧν μεγάλων νομίζετε ἐστερῆσθαι, αὕτη ἡ δύναμις φαίνεται· οὐδ' εἰκὸς χαλεπῶς φέρειν αὐτῶν μᾶλλον, ἢ οὐ κήπιον καὶ ἐγκαλλώπισμα πλούτου πρὸς ταύτην νομίσαντας ὀλιγωρῆσαι· καὶ γνῶναι ἐλευθερίαν μὲν, ἣν ἀντιλαμβανόμενοι αὐτῆς διασώσωμεν, ῥᾳδίως ταῦτα ἀναληψομένην, ἄλλων δ' ὑπακούσασι καὶ τὰ προσκεκτημένα

1. *Φανερῶν*] ὄντων δηλονότι. (λ. *Αὐγ.*) — 8. *Οὐκ ἔστιν ὅστις*] οὐδείς. (λ. *Αὐγ.*) — 5. *Ἐν τῷ παρόντι*] ἤγουν ἐν τῇ παρούσῃ ζωῇ. (λ. *Αὐγ.*) — 6. *Οὐ κατὰ — τὴν χρείαν*] ἀλλὰ μείζων δηλονότι. — 7. *Αὕτη ἡ δύναμις*] τῆς πόλεως, ἡ θαλασσοκρατία — 8. *Αὐτῶν*] ἢ τὸν πόλεμον, ἢ τὴν τῆς χρείας ἀφαίρεσιν. (*Βασ.*) — 9. *Ἢ οὐ κήπιον* —] τὸ ἢ οὐ ἀντὶ τοῦ ἀλλὰ, οἷον, ἀλλὰ κήπιον καὶ ἐγκαλλώπισμα πλούτου, ὡς πρὸς τὴν κτῆσιν τῆς θαλάσσης. [** *τινὲς κήπιον ἤτοι γήδιον.* (*Ροστγ.*)] ἄλλοι δὲ τὸ κήπιον εἶδος κουρᾶς φασὶν, οὕτως ὀνομαζομένης. κατὰ κοινοῦ δὲ τὸ εἰκός ἐστιν. — 12. *Ἄλλων δ' ὑπακούσασιν*] ἀντὶ τοῦ ἄλλοις. — ** *Προσεκτημένα*]

Φανερῶν. Dan. *φανερῶς.*

Κυριωτάτους. E. *κυριωτάτου.* Marg. Ald. Vinar. *κυριωτέρους* et statim *εἶναι* pro *ὄντας*, ex interpr.

Ἦν s. v. al. man. H., om Vat.

Πλέον. Cass. Pal. Gr. I. *πλεῖον*, non deterius. Cf. I. 1. p. 457.

Κωλύσει. Hic omissum post *παρόντι* ponunt Laur. m., et ibidem habet etiam E., in quo hic deesse non clare traditur.

Ἄλλο om. C.

Ἔθνος τῶν. Laur. Vind. E. m. Ar. Chr. Dan. *ἔθν. ἀνθρώπων τῶν*, ex interpr.

3. *Αὕτη.* It. Vind. Ar. Chr. *αὐτή.*

Αὐτῶν in G. s. v. Cod. Bas. *αὐτήν.* Tus. *αὐτό.* In genitivo noli haerere. Vid. Matth. Gr. §. 345. 5. a.

Ἢ οὐ κήπιον. Aug. It. H. Reg. (G.) Vind. m. Ar. Chr. Dan. Ald. Flor. ed. Bas. Vall. *ἢ οὐκ ἤπιον.* Gr. *καὶ οὐκ ἤπιον.* I. quidem vulg. habet, sed in marg. al. man. *μᾶλλον μὲν οὖν.* Bar. *ἢ οὐ κηπίον.* Tus. *ἢ κήπιον.* „*Ἢ οὐ κήπιον* veram scripturam esse existimo, ut colligi potest ex Eustath. in Homer. Il. μ'. *Κῆπος*, inquit, *καλλωπισμὸς κόμης, καὶ κουρᾶς διάθεσις τῶν ἐν κεφαλῇ τριχῶν. Θουκυδίδης δὲ κήπιόν φησι.*" FR. PORT. Cf. adnot.

Καὶ τά. *Τά* om. Aug. Ar. Chr. Dan.

Προσεκτημένα. Cass. Pal. It. Vat. Reg. (G.) Laur. *προσεκτημένα*, in Cass. tamen man. rec. *κ* int. vers. scrips. super *σ*, in Reg. puncto eodem atramento notatum. Sed Ionicum (non Atticum, uti Schol. Pal. scribit,)

Digitized by Google

φιλεῖν ελασσοῦσθαι· εἶν τε πατέρων μὴ χείρους κατ' ἀμφότερα φανῆναι, οἳ μετὰ πόνων, καὶ οὐ παρ' ἄλλων δεξάμενοι, κατέσχον τε καὶ προέτι διασώσαντες παρέδοσαν ἡμῖν αὐτά· (αἴσχιον δὲ ἔχοντας ἀφαιρεθῆναι, ἢ κτωμένους ἀτυχῆσαι·) ἰέναι δὲ τοῖς ἐχθροῖς ὁμόσε μὴ
137. φρονήματι μόνον, ἀλλὰ καὶ καταφρονήματι. 4. αὔχημα μὲν γὰρ καὶ ἀπὸ ἀμαθίας εὐτυχοῦς καὶ δειλῷ τινὶ ἐγγίγνεται, καταφρόνησις δὲ, ὃς ἂν καὶ γνώμῃ πιστεύῃ τῶν ἐναντίων προέχειν· ὃ ἡμῖν ὑπάρχει. 5. καὶ τὴν τόλμαν ἀπὸ τῆς ὁμοίας τύχης ἡ ξύνεσις ἐκ τοῦ ὑπερφρονος ἐχυρωτέραν παρέχεται· ἐλπίδι τε ἧσσον πιστεύει, ἧς ἐν τῷ

καὶ τοῦτο γνῶθι τοῦ τρόπου τῆς Ἀνθίδος, ἔκτηται λέγουσιν οὐ κέκτηται. (Παλ.) — 1. Τῶν τε πατέρων — φανῆναι] μετέρχεται ἐπὶ τὸ δίκαιον. — 6. Αὔχημα] τὸ φρόνημα αὔχημα ἐκάλουν. — 7. Ἀπὸ ἀμαθίας εὐτυχοῦς] ἀπὸ ἀλόγου εὐτυχίας. — 8. Καταφρόνησις δέ] λείπει ἐκείνῳ. — 9. Καὶ τὴν τόλμαν —] ἡ σύνταξις, καὶ τὴν τόλμαν ἡ ξύνεσις παρέχεται ἐκ τῆς ὁμοίας τύχης.

ἔκτηται quanquam Plato non sprevit (vid. Heindorf. ad Protag. §. 75.), Thucydides (cui cum Bekk. hic obtrudit Matth. Gr. t. I. p. 522.) nunquam admisit. Gr. πρόεκτημένα. Vind. E. Ar. Chr. Bar. Ald. Flor. ed. Bas. Steph. 1. προεκτ., in E. cum ς s. ō al. man. Προεκτῆσθαι valet πρὸς ταύτῃ (τῇ ἐλευθερίᾳ) κεκτῆσθαι.

Ἐλασσοῦσθαι. Post hoc verbum ante Haack. perperam plene interpungebatur. Et sic rursus post αὐτά et ἀτυχ.

Ἡμῖν. Cass. Cl. C. F. Pal. It. Vat. H. Reg. (G.) Gr. B. Laur. Vind. m. Ar. Chr. Bar. Ald. Flor. ed. Bas. Steph. 1. ὑμῖν. „Modestius; sed praecessit διασώσωμεν, quare nihil mutandum." WASS. Add. c. 36. §. 2.

Ἰέναι — πρόνοια. „Dion. Hal. p. 159. [928.]" WASS. „Aristides tom. III. p. 652. ex memoria laudat: ἰέναι δ' ἐπὶ τοὺς πολεμίους μὴ μοι φρονήματι μ. ἀ. κ. π. Ubi dativus μοί, etsi saepe alibi πλεονάζει, inconcinne poni videtur." DUK.

Ὁμόσε μή. Dion. Hal. ὁμόσε, καὶ ἀμύνεσθαι μή. Mosqu. ὁμόσε καὶ μή. Proxima alii scriptores imitati sunt. Vid. not.

4. Αὔχημα. Dion. φρόνημα.

Ἀπὸ ἀμαθίας. Dion. ὑπὸ ἀμαθ.

Καὶ δειλῷ. Καί om. E.

Ἐγγίγνεται. m. ἐγίνετο.

Ἄν om. Gr.

Πιστεύῃ. Pal. πιστεύει. Cam. πεισθείη.

Προέχειν. Laur. παρέχειν.

Ἡμῖν. m. Ar. Chr. marg. Ald. Vinar. ὑμῖν.

5. Ἐχυρωτέραν. Cl. Vat. Reg. (G.) Tus. ὀχυρωτέραν, et partim sic partim ὀχυροτέραν etiam libri Dion., sicut ὠχυροτέραν H. De ὀχυρός et ἐχυρός vid adnot. ad I, 35. Ἔχυρόν τι παρέχεσθαι adfuit I, 32.

Πιστεύει. Gr. πιστεύῃ. Vind. πιστεύειν.

Digitized by Google

ἀκόρῳ ἡ ἰσχύς, γνώμῃ δὲ ἀπὸ τῶν ὑπαρχόντων, ἧς βεβαιοτέρα ἡ πρόνοια."

(Ὅτι οὐδ' ἐκοτῆναι τῆς ἀρχῆς ἔτι ἔστιν.)

ξγ'. „Τῆς τε πόλεως ὑμᾶς εἰκὸς τῷ τιμωμένῳ ἀπὸ τοῦ ἄρχειν, * ᾧπερ ἅπαντες * ἀγάλλεσθε, βοηθεῖν, καὶ μὴ φεύγειν τοὺς πόνους, ἢ μηδὲ τὰς τιμὰς διώκειν· μηδὲ νομίσαι περὶ ἑνὸς μόνου, δουλείας ἀντ' ἐλευθερίας, ἀγωνίζεσθαι, ἀλλὰ καὶ ἀρχῆς στερήσεως, καὶ κινδύνου ὧν ἐν τῇ ἀρχῇ ἀπήχθεσθε. 2. ἧς οὐδ' ἐκστῆναι ἔτι ὑμῖν ἔστιν, εἴ τις καὶ τόδε ἐν τῷ παρόντι δεδιὼς ἀπραγμοσύνῃ ἀνδραγαθίζεται. ὡς τυραννίδα γὰρ ἤδη ἔχετε αὐτήν· ἣν λαβεῖν μὲν, ἄδικον δοκεῖ εἶναι, ἀφεῖναι δὲ, ἐπικίνδυνον. 3. τάχιστ' ἄν τε πόλιν οἱ τοιοῦτοι ἑτέρους τε πείσαντες ἀπολέσειαν, καὶ εἴ που ἐπὶ σφῶν αὐτῶν αὐτόνομοι οἰκήσειαν. τὸ γὰρ ἄπραγμον οὐ σώζεται, μὴ μετὰ τοῦ δραστηρίου τεταγμένον, οὐδὲ ἐν ἀρχούσῃ πόλει ξυμφέρει, ἀλλ' ἐν ὑπηκόῳ, ἀσφαλῶς δουλεύειν."

1. Ἀπὸ τῶν ὑπαρχόντων] ἀπὸ κοινοῦ τὸ πιστεύει. — 2. Ἡ πρόνοια] ἡ πρόγνωσις.

ξγ'. 3. Τῷ τιμωμένῳ] τῇ τιμῇ τῆς πόλεως. — 4. Ὥπερ] ᾧ τινι τῷ τιμωμένῳ τῆς πόλεως, ὅ ἔστι τῇ ἡγεμονίᾳ. Ἄλλως. τῇ δόξῃ τῆς πόλεως [ἀγάλλεσθε καὶ (λ. Κασσ. Αὐγ.)] βοηθεῖν [ὑμᾶς] εἰκός. — 8. Ἐν τῇ ἀρχῇ] ὄντες δηλονότι. — Ἀπήχθεσθε] τοῖς ἄλλοις δηλονότι. — 12. Οἱ τοιοῦτοι] οἱ ἀπράγμονες.

Cap. LXIII. Τῆς τε — ἐπικίνδυνον. „ Dion. Hal. p. 159. [932.]" WASS.

Τμᾶς. D. ἡμᾶς.

Ὥιπερ ἅπαντες. F. Pal. It. Vat. E. marg. Dan. Dion. Hal. ᾧ ὑπὲρ ἅπαντας, quam lectionem aptissimam vocat Krüger ad Dion. p. 198. cui nos non obloquimur. C. Vind. Dan. ὥςπερ ἅπαντες.

Νομίσαι. Vind. νομήσατε.

Δουλείας. I. δειλίας, in marg. al. man. δουλ.

2. Ἔτι om. cod. Bas. Statim ἔστιν cum Bekk. paroxytonon fecimus.

Τμῖν. Ar. m. ἡμῖν.

Ἄδικον δοκεῖ. C. δοκεῖ ἄδικον.

Δὲ ἐπικίνδυνον. Optimi libri δ' ἐπικίνδυνον, quod non placet. Cf. tamen I. 1. p. 218.

3. Ἄν τε. Vat. Reg. (G.) ἄν ποτε.

Εἴ που. Tus. ἦπου.

Τὸ γὰρ — τεταγμένον. „Stobaeus p. 87." WASS.

Μὴ μετά. Μή s. v. al. man.

Ξυμφέρει. Gr. ξυμφέρῃ.

Ἀσφαλῶς. In Gr. scriptum fuerat ἀσφαλεῖν, corrector fecerat ἀσφαλές. „Gr. ut apud Homerum. Noster ἀσφαλῶς quinquies, nec dissident mss." WASS.

Digitized by Google

(*Παραινέσεις· ἅμα δὲ καὶ ἡ φιλοτιμία τῶν Ἀθηναίων διεγείρεται.*)

ξδ'. „Τμεῖς δὲ μήτε ὑπὸ τῶν τοιῶνδε πολιτῶν παράγεσθε, μήτε ἐμὲ δι' ὀργῆς ἔχετε, (ᾧ καὶ αὐτοὶ ξυνδιέγνωτε πολεμεῖν,) εἰ καὶ ἐπελθόντες οἱ ἐναντίοι ἔδρασαν ἅπερ εἰκὸς ἦν, μὴ ἐθελησάντων ὑμῶν ὑπακούειν; ἐπιγεγένηταί τε πέρα ὧν προσεδεχόμεθα ἡ νόσος ἤδε, πρᾶγμα μόνον δὴ τῶν πάντων ἐλπίδος κρεῖσσον γεγενημένον. καὶ δι' αὐτὴν οἶδ' ὅτι μέρος τι μᾶλλον ἔστι μισοῦμαι· οὐ δικαίως, εἰ μὴ καὶ ὅτ' ἂν παρὰ λόγον τε εὖ πράξητε ἐμοὶ ἀναθήσετε. 2. φέρειν τε χρὴ τά τε δαιμόνια ἀναγκαίως, τά τε ἀπὸ τῶν πολεμίων ἀνδρείως· 138. ταῦτα γὰρ ἐν ἔθει τῇδε τῇ πόλει πρότερόν τε ἦν, νῦν τε μὴ ἐν ὑμῖν κωλυθῇ. 3. γνῶτε δὲ ὄνομα μέγιστον αὐτὴν ἔχουσαν ἐν πᾶσιν ἀνθρώποις, διὰ τὸ ταῖς ξυμφοραῖς μὴ εἴκειν, πλεῖστα δὲ σώματα καὶ πόνους ἀναλωκέναι

ξδ'. 1. Ὑπὸ τῶν τοιῶνδε πολιτῶν] τῶν συμβουλευόντων τὰ ἄπρακτον. (λ. Ἀνγ.) — Παράγεσθε] ἀπατᾶσθε. (λ. Ἀνγ.) — 6. Ἐλπίδος κρεῖσσον] ὑπὲρ ἐλπίδα. (λ. Ἀνγ.) — 14. Ἀναλωκέναι] κατὰ κοινοῦ τὸ γνῶτε.

Cap. LXIV. *Παράγεσθε.* D. *παράγεσθαι*, ῑ s. v. al. man. H. Vat. *παραγένεσθε.*

Ἐναντίοι. I. *πολέμιοι*, ex interpr.

Ἡμῶν. F. *ὑμῶν.*

Ὑπακούειν. C. *ἐπακούειν.*

Ἐπιγεγένηται — γεγενημένον. „Hermog. p. 267." WASS.

Ἐπιγεγένηται Cass. Reg. Cam. Gr. marg. Ald. Vinar. marg. Steph. Hermog. Tus. Gottleb. Haack. Bekk., nec aliter, ut videtur, omnes Parr. praeter C. et B., atque Itt. Ante Gottl. *ἐπεὶ γεγένηται*, quod praeter Gail. nemo defendet. Cf. Herm. ad Vig p. 784.

Ἐλπίδος. E. Vind. Mosqu. Ar. Chr. Dan. *ἐλπίδων.*

Ἔτι s. v. al. man. E.

Παρὰ λόγον τε. Cass. Cl. Reg. Gr. Bar. Ald. Flor. ed. Bas. marg. Steph. *παράλογόν τι.* At vid. Krüg. l. l. p. 267.

2. *Φέρειν τε.* C. om. *τέ.* E. Ar. Chr. *φέρειν δέ*, quod sibi magis placere olim dixit Steph. At „continuat auctor admonitionem ab initio huius capitis inchoatam." HAACK.

Πολεμίων. E. Dan. *πολέμων.*

Πρότερόν τε. Τέ om. Cl.

Ἦν. Laur. *ἦ.*

Κωλυθῇ. Bekkero in praefat. min. edit. p. V. placet *καταλυθῇ.*

3. *Πᾶσιν.* Laur. E. m. Ar. Chr. Dan. *ἅπασιν.*

Εἴκειν. Post *εἴκειν* vulgo perperam colon, post *πολέμῳ* vero comma ponitur, quum tamen *ἀναλωκέναι* ad *διὰ τό*, *κεκτημένην* ad *γνῶτε* pertineat. Correxit Bekk.

Digitized by Google

πολέμῳ· καὶ δύναμιν μεγίστην δὴ μέχρι τοῦδε καταμένην, ἧς ἐς ἄϊδιον τοῖς ἐπιγιγνομένοις, ἢν καὶ νῦν ὑπενδῶμέν ποτε, (πάντα γὰρ πέφυκε καὶ ἐλασσοῦσθαι,) μνήμη καταλελείψεται· Ἑλλήνων τε ὅτι Ἕλληνες πλείστων δὴ ἦρξαμεν, καὶ πολέμοις μεγίστοις ἀντίσχομεν, πρός τε ξύμπαντας, καὶ καθ' ἑκάστους· πόλιν τε τοῖς πᾶσιν εὐπορωτάτην καὶ μεγίστην ᾠκήσαμεν. 4. καίτοι ταῦτα ὁ μὲν ἀπράγμων μέμψαιτ' ἄν, ὁ δὲ δρᾶν τι βουλόμενος καὶ αὐτὸς, ζηλώσει, εἰ δέ τις μὴ κέκτηται, φθονήσει. 5. τὸ δὲ μισεῖσθαι, καὶ λυπηροὺς εἶναι ἐν τῷ παρόντι, πᾶσι μὲν ὑπῆρξε δὴ, ὅσοι ἕτεροι ἑτέρων ἠξίωσαν ἄρχειν· ὅστις δ' ἐπὶ μεγίστοις τὸ ἐπίφθονον λαμβάνει, ὀρθῶς βουλεύεται. μῖσος [μὲν] γὰρ οὐκ ἐπιπολὺ ἀντέχει· ἡ δὲ παραυτίκα τε λαμπρότης καὶ ἐς τὸ ἔπειτα δόξα, ἀείμνηστος καταλείπεται. 6. ὑμεῖς δὲ ἔς τε τὸ μέλλον καλὸν προγνόντες, ἔς τε τὸ αὐτίκα μὴ αἰσχρὸν, τῷ ἤδη προ-

2. Ἧς] τὸ ἧς πρὸς τὸ, μνήμη καταλελείψεται. τὰ γὰρ ἄλλα διὰ μέσου. — Ἢν καὶ νῦν ὑπενδῶμέν ποτε] ἐάν ποτε καὶ ὑποχαλάσωμεν καὶ παίσωμεν. — 7. Καίτοι ταῦτα — —] τρεῖς κριτὰς ὑποτίθεται τῶν πραγμάτων. — 12. Τὸ ἐπίφθονον] τὸ ἐπίζηλον. λ(λ. Αὐγ.) — 13. Μῖσος μὲν γὰρ οὐκ — ἀντέχει] διαλύεται γὰρ ἢ θανάτῳ ἢ ἄλλῳ τινί.

Ἧς ἐς. D. οἷς ἐς.

Τοῖς ἐπιγιγν. Τοῖς de. Dan.

Ὑπενδῶμεν. Cl. μὴ ὑπενδ., „prorsus contra auctoris mentem.“ WASS.

Καταλελείψεται. Dan. καταλείψεται, et ita Dio Cass. LXXIV, 9. ἧς ἐς ἄϊδιον μνήμη καταλείψεται. At vid. de Art. crit. ap. Thuc. c. 8. p. 86.

Πλείστων. Laur. Mosqu. Ar. Chr. et ex emend. etiam cod. Bas. πλεῖστον.

Δὴ ἦρξαμεν. Pal. διήρξ. Cod. Bas. ἢ δὴ ἦρξ.

Πόλιν τε. Τέ om. H. Reg.

Ὠκήσαμεν. Mosqu. Dan. ed. Bas. (non cod. Bas.) marg. Ald. Vinar. φκίσαμεν.

4. Μέμψαιτ' ἄν. Cass. Mosqu. μέμψοιτ' ἄν. Gr. μέμψαιτο ἄν.

Βουλόμενος καὶ αὐτός. Laur. E. Vind. m. Ar. Chr. Dan. καὶ αὐτὸς βουλόμενος. Virgulam, quae invita sententia vulgo post βουλόμενος collocatur, post αὐτός cum Reisk. et Kistem. transposuimus. (Bekk. om.)

5. Λυπηρούς. I. λυπηρός.

Ὅς τις — βουλεύεται. „Plutarch. Moral. p. 73. [t. I. p. 252. Lips.] Et ibi cum ms. legendum μείζω pro μείζονα et γιγνώσκων.“ [Cur tandem?] „Huc etiam spectat p. 585.“ WASS.

Μῖσος μέν. Μέν om. Aug. Cl. Vat. H. Reg. (G.) Gr. I. Mosqu., unde suspectum fit.

Παραυτίκα τε. Τέ om. Ar.

6. Μέλλον — ἔς τε τό. Propter praeced. ἔς τε τό om. E.

Καλόν. Dan. κακόν.

Digitized by Google

θύμῳ ἀμφότερα κτήσασθε, καὶ Λακεδαιμονίοις μήτε ἐπικηρυκεύεσθε, μήτε ἔνδηλοι ἔστε τοῖς παροῦσι πόνοις βαρυνόμενοι· ὡς οἵτινες πρὸς τὰς ξυμφορὰς γνώμῃ μὲν ἥκιστα ὑποδύονται, ἔργῳ δὲ μάλιστα ἀντέχουσιν, οὗτοι καὶ πόλεων καὶ ἰδιωτῶν κράτιστοί εἰσι."

(γ'. Περικλέους ξημία, λοιπὸς βίος, εὐφυΐα καὶ δύναμις ἡ ἐν τῇ πόλει, ἧς πολὺ λείπονται οἱ μετ' αὐτὸν προστάται τοῦ δήμου.)

ξέ. Τοιαῦτα ὁ Περικλῆς λέγων, ἐπειρᾶτο τοὺς Ἀθηναίους τῆς τε ἐπ' αὐτὸν ὀργῆς παραλύειν, καὶ ἀπὸ τῶν παρόντων δεινῶν ἀπάγειν τὴν γνώμην. 2. οἱ δὲ δημοσίᾳ μὲν τοῖς λόγοις ἀνεπείθοντο, καὶ οὔτε πρὸς τοὺς Λακεδαιμονίους ἔτι ἔπεμπον, ἔς τε τὸν πόλεμον μᾶλλον ὥρμηντο· ἰδίᾳ δὲ τοῖς παθήμασιν ἐλυποῦντο, ὁ μὲν δῆμος, ὅτι ἀπ' ἐλασσόνων ὁρμώμενος ἐστέρητο καὶ τούτων, οἱ δὲ δυνατοί, καλὰ κτήματα κατὰ τὴν χώραν οἰκοδο-

1. ** Ἐπικηρυκεύεσθε] διὰ κηρύκων ἐπαίνεσθε τὰς βουλὰς ὑμῶν. (Παλ.) — 3. Ὡς οἵτινες] τὸ ὡς ἀντὶ τοῦ ἐπεί. (λ. Ἀύγ.)

ξέ. 7. Ἐπ' αὐτόν] κατ' αὐτοῦ. — 8. Τὴν γνώμην] τὸν σκοπὸν ἐκείνων. — 13. Οἱ δὲ δυνατοί] οἱ τῷ πλούτῳ δυνάμενοι.

Ἐπικηρυκεύεσθε. Vind. ἐπικηρυκεύησθε. Male.

Ἔνδηλοι ἔστε. Ante Gottl., qui Abreschio paruit, perperam ἔνδηλοί ἐστε.

Ὡς οἵτινες — κράτιστοι εἰσι Stobaeus affert t. III. p. 336. Gsf. ubi B. ὅσοι τινές. Εἰσὶν cum H. et I. in minn. exempll. excudendum curavit Bekk. Cf. Farr. discrep. script.

Cap. LXV. Τοιαῦτα. I. addit μέν.

Ἐπ' αὐτόν. Ar. Chr. Dan. ἐς αὐτ., et ita fortassis etiam unus alterve Par., ex quibus H. et I. ἐπ' exhibere solum novimus; nam ex B., in quo τὲ ἐς s. v., utrumque protulit Gail. Ἐς recepit Gottl. conferri iubens I, 130. τῇ ὀργῇ οὕτω χαλεπῇ ἐχρῆτο ἐς πάντας [add. III, 44.] et Valeken., ad Eur. Phoen. p. 28. At „Thucydides saepe ἐπί cum accusat. pro κατά ponit, ob quam causam, et quia etiam alii scriptores Attici ita loquuntur, Henr. Steph. Append. ad Script. de Dial. p. 123. hoc Atticum genus loquendi putat." DUK. Cf. Schol. et Fisch. ad Well. III. 1. p. 236. Ἡ πρὸς Κῦρον ὀργή dixit Xen. Cyr. IV, 5, 18. Ἐπί igitur cum Haack. et Bekk. revocavimus.

2. Τοὺς Λακεδ. Τούς om. Reg. E.

Ἔτι om. Vat. E.

Μᾶλλον om. Dan.

Δῆμος Cass. Aug. Cl. Pal. Reg. cod. vet. Steph. Cam. Gr. Vind. Mosqu. Ar. Chr. Dan. marg. Steph. marg. Ald. Vinar. Vall. et, ut videtur, omnes Parr. atque Itt., quod a Steph. et Wass. monitus recepit Gottl. Olim πένης. Cf. not.

Καλά. C. καλλά.

Digitized by Google

μίαις τε καὶ πολυτελέσι κατασκευαῖς ἀπολωλεκότες, τὸ δὲ μέγιστον, πόλεμον ἀντ' εἰρήνης ἔχοντες. 8. οὐ μέντοι πρότερόν γε οἱ ξύμπαντες ἐπαύσαντο ἢν ὀργῇ ἔχοντες αὐτὸν, πρὶν ἐξημίωσαν χρήμασιν. 4. ὕστερον δ' αὖθις οὐ πολλῷ, ὅπερ φιλεῖ ὅμιλος ποιεῖν, στρατηγὸν ἑλόντο, καὶ πάντα τὰ πράγματα ἐπέτρεψαν, ὧν μὲν περὶ τὰ οἰκεῖα ἕκαστος ἤλγει ἀμβλύτεροι ἤδη ὄντες, ὧν δὲ ξύμπασα ἡ πόλις προσεδεῖτο, πλείστου ἄξιον νομίζοντες εἶναι. 5. ὅσον τε γὰρ χρόνον προῦστη τῆς πόλεως ἐν τῇ εἰρήνῃ, μετρίως ἐξηγεῖτο, καὶ ἀσφαλῶς διεφύλαξεν αὐτὴν, καὶ ἐγένετο ἐπ' ἐκείνου μεγίστη· ἐπεί τε ὁ πόλεμος κατέστη, ὁ δὲ φαίνεται καὶ ἐν τούτῳ προγνοὺς μέχρι τὴν δύναμιν. 6. ἐπεβίω δὲ δύο ἔτη καὶ ἓξ μῆνας· καὶ

μέχρι Ὀλ. πζ'. ἔτ. γ'. ἢ μέχρι τοῦ τέλους τοῦ ἔτ. πρὸ Χρ.

8. Προσεδεῖτο] χρείαν εἶχε. — 13. Τὴν δύναμιν] τὴν ἰσχὺν τοῦ πολέμου. — Ἐπεβίω δέ] μετὰ τὸ καταστῆναι τὸν πόλεμον.

Ἀπολωλεκότες. C. ἀπολυλεκόνθ'. τες.

Τὸ δὲ μέγιστον. „Valla ita interpretatur, quasi scriptum esset τὸν δὲ μέγιστον.“ STEPH.

3. Οὐ — χρήμασιν. Οὐκ ἐπαύσαντο, πρὶν ἐξημίωσαν χρήμασιν (omissis reliquis) lib. de Synt. p. 164. Anecdd. Bekk.

Αὐτόν om. Ar.

4. Ὅμιλος. Gr. ὁ ὅμιλος. „Quo modo Philo et Herodotus.“ WASS. Infra IV, 28. οἷον ὄχλος φιλεῖ ποιεῖν. VIII, 1. ὅπερ φιλεῖ δῆμος ποιεῖν.

Ἐπέτρεψαν. E. ἐπέστρεψαν.

Ξύμπασα ἡ Cass. Aug. Pal. It. H. Reg. (G.) cod. Bas. Gr. D. I. Mosqu. Haack. Vulgatum ἡ ξύμπασα retinuit Bekk.

Ἄξιον. Ar. Chr. ἄξια.

5. Ὅσον τε γὰρ — ὁ ἐς Σικελίαν πλοῦς. „Haec e Thucyd. descripsit Aristid. t. III. p. 200.“ WASS. [„Orat. Plat. II. p. 120. Iebb.“ GOTTL.]

Ἀσφαλῶς. „Aristid. ὡς ἀσφαλῶς, et pro ἐπ' ἐκείνου, ἐπ' αὐτοῦ.“ WASS. Etiam F. αὖ τοῦ (αὐτοῦ). Καί post αὐτήν in G. s. v.

Ἐπεί τε Cass. Aug. Cl. C. F. Pal. It. Vat. H. Reg. (G.) Gr. D. I. Mosqu. Haack. Bekk. Vulgo ἐπειδή τε. Aristid. ἐπειδὴ δέ. Tam ἐπεί quam ἐπειδή de. B.

Κατέστη. Aristid. συνέστη. Alterum magis amat Thuc. Cf. I, 1. et Ind. verb.

Ὁ δέ. Pal. It. Reg. ὅδε, postremus cum virgula post ὅδε, non post κατέστη. In Cass. marg. γρ. ὅδε, quod Steph. et Tus. placebat. At tam ad protasin quam ad apodosin relatum nimiam vim haberet, et ὁ πόλεμος apud Thuc. saepe de Peloponnesiaco bello dicitur (vid. Ind. verb.), δέ autem pariter bene se habet. Cf. ad I, 11. et II, 46. (in script. discr.)

Φαίνεται. Viad. m. Ar. Chr. Dan. ἐφαίνετο.

6. Δύο ἔτη. m. ἔτη δύο.

Ἓξ μῆνας. F. It. μῆνας ἓξ, quod recepit Bekk. Cf. I, 109.

Digitized by Google

ἐπειδὴ ἀπέθανεν, ἐπὶ πλέον ἔτι ἐγνώσθη ἡ πρόνοια αὐτοῦ ἐς τὸν πόλεμον. 7. ὁ μὲν γὰρ ἡσυχάζοντάς τε, καὶ τὸ ναυτικὸν θεραπεύοντας, καὶ ἀρχὴν μὴ ἐπικτωμένους ἐν τῷ πολέμῳ, μηδὲ τῇ πόλει κινδυνεύοντας ἔφη περιόψεσθαι· οἱ δὲ ταῦτά τε πάντα ἐς τοὐναντίον ἔπραξαν, καὶ ἄλλα ἔξω τοῦ πολέμου δοκοῦντα εἶναι, κατὰ τὰς ἰδίας φιλοτιμίας καὶ ἴδια κέρδη, κακῶς ἔς τε σφᾶς αὐτοὺς καὶ τοὺς ξυμμάχους ἐπολίτευσαν· ἃ κατορθούμενα μὲν, τοῖς ἰδιώταις τιμὴ καὶ ὠφέλεια μᾶλλον ἦν, σφαλέντα δὲ, τῇ πόλει ἐς τὸν πόλεμον βλάβη καθίστατο. 8. αἴτιον δ' ἦν ὅτι ἐκεῖνος μὲν, δυνατὸς ὢν τῷ τε ἀξιώματι καὶ τῇ γνώμῃ, χρημάτων τε διαφανῶς ἀδω-

1. Ἡ πρόνοια αὐτοῦ] ἡ πρόγνωσις. — 8. Κατορθούμενα] εἰς τέλος ἐρχόμενα. — 9. Τοῖς ἰδιώταις] ἰδιώτας καλεῖ τοὺς ῥήτορας καὶ τοὺς δημαγωγούς, οὐχ ὅτι ἰδιῶται [εἰσι] κατὰ τὸ ἀληθὲς, ἀλλ' ὡς πρὸς ἀντιδιαστολὴν τοῦ κοινοῦ καὶ τῆς πόλεως [εἰρηκε]. 10. Σφαλέντα δὲ] αἰνίττεται τὰ κατὰ τὸν Ἀλκιβιάδην. — 12. Ἀδωρότατος] ἀδωρόληπτος. (λ. Ἀὐγ.)

Ἐπὶ πλέον. „Huc spectat Libanius Orat. parentali in Iulianum Imp. p. 368. Ἐπὶ πλεῖον Aristides.“ WASS.

Αὐτοῦ ἐς. Vulgo αὐτοῦ ἡ ἐς, sed artic. om. Cass. Aug. Cl. Pal. It. Vat. Reg. Gr. Aristid., quod linguae graecae et usui Thucyd. non repugnare docet Krüg. l. l. p. 153. Uncis inclusit Haack.

7. Τὸ ναυτικὸν θεραπεύοντας. Agnoscit grammaticus, ex quo Sturz. post Lex. Gud. excerpta dedit p. 636.

Εἶναι. Virgulam, quae in Lipss. exempll. post πολέμου legitur, cum veteribus huc retraximus, et alteram post ἄλλα addidimus; aliter enim et ἄλλα ἔξω τοῦ πολέμου nimis nude dictum esset, et δοκοῦντα εἶναι alterum membrum parum recte inciperet. Lipsiensem interpunctionem servarunt Haack. et Bekk.

Κακῶς — ἐπολίτευσαν. „Thom. Mag. in πολιτεύομαι, sed vitiose in editis ἔσται pro ἔς τε.“ DUK. Ab Oudend. e libris correct.

Ὠφέλεια. Pal. It. Vat. Bekk. ὠφελία. Cf. de Art. crit. ap. Thuc. c. XII.

Καθίστατο. B. καθίσταντο.

8. Χρημάτων — γενόμενος Bekk. Anecdd. p. 346.

Χρημάτων τε. Pro τέ „Thom. Mag. [in ἀδωρότατος] δέ.“ WASS. Quod male ibi praeferebat Oudend., quasi ad praec. μέν referretur. Etiam apud Aristid. δέ teste Duk.

Διαφανῶς. Vind. ἀδιαφανῶς. Bekk. Anecdd. perperam ἀφανῶς.

Ἀδωρότατος. Bekk. Anecdd. ἀδώρητος. Vulgatum agnoscit „Plutarch. Pericl. 161. [cap. 15.] ubi legerim προσφέροντα σωτήρια. Sallust: *Invictus adversum divitias.*“ WASS. Ἀδωρότατος tuentur etiam imitatores Thucydidis Dio Cass. et Procop. cumque his Thom. Mag.

Digitized by Google

ρότατος γενόμενος, κατεῖχε τὸ πλῆθος ἐλευθέρως, οὐκ ἤγετο μᾶλλον ὑπ' αὐτοῦ, ἢ αὐτὸς ἦγε, διὰ τὸ κτώμενος ἐξ οὐ προσηκόντων τὴν δύναμιν πρὸς ἡδονὴν τι λέγειν, ἀλλ' ἔχων ἐπ' ἀξιώσει καὶ πρὸς ὀργήν τι ἀντεῖπεῖν. 9. ὁπότε γοῦν αἴσθοιτό τι αὐτοὺς παρὰ καιρὸν ὕβρει θαρσοῦντας, λέγων κατέπληξεν ἐπὶ τὸ φοβεῖσθαι· καὶ δεδιότας αὖ ἀλόγως, ἀντικαθίστη πάλιν ἐς τὸ θαρσεῖν. ἐγίγνετό τε λόγῳ μὲν δημοκρατία, ἔργῳ δὲ ὑπὸ τοῦ πρώτου ἀνδρὸς ἀρχή. 10. οἱ δὲ ὕστερον, ἴσοι αὐτοὶ μᾶλλον πρὸς ἀλλήλους ὄντες, καὶ ὀρεγόμενοι τοῦ πρῶτος ἕκαστος γίγνεσθαι, ἐτράποντο καθ' ἡδονὰς τῷ δήμῳ καὶ τὰ πράγματα ἐνδιδόναι. 11. ἐξ ὧν ἄλλα τε πολλὰ, ὡς ἐν μεγάλῃ πόλει καὶ ἀρχὴν ἐχούσῃ, ἡμαρτήθη, καὶ ὁ ἐς Σικελίαν πλοῦς, ὃς οὐ τοσοῦτον γνώμης

6. *Τβρει θαρσοῦντας*] *ἀλόγως τι πράττοντας.* (λ. *Δύγ.*)

Ἐλευθέρως. H. *ἐλεύθερος*, *ō* ex corr.

Οὐκ ἤγετο μᾶλλον. „Aristid. t. III. p. 442." WASS. Mox comma utrum post *μή* et *δύναμιν* an post hoc solum collocandum sit, inutiliter disceptatur.

Τὶ λέγειν. *Τί* om. Aristid. teste Duk.

Ἔχων — ἀντειπεῖν. „Thom. Mag. in *ἀξιῶ*. Vid. Demosth. contra Aristogit. pag. 458." WASS.

Τὶ ἀντειπεῖν. „Omittunt *τί* Aristidis exemplaria mendose." WASS. „Thomas quoque omittit *τί*." DUK. it. C.

Ἀντειπεῖν. B. *ἀντιπεῖν.* In G. *ἀντ* s. v.

9. *Γοῦν.* Reg. *οὖν.*

Αἴσθοιτό τι. D. *αἴσθοιτ' ἄν.* In Vat. *τίς* pro *τί*.

Ἐπὶ τὸ φοβεῖσθαι. Themist. de Pace ad Valent. p. 134. Paris. *Ὁ τὸν Περικλέα τεθαυμακὼς ὅτι καὶ θαρσοῦντας Ἀθηναίους λέγων κατέπληξεν εἰς τὸ φοβεῖσθαι, καὶ δεδιότας εἰς τὸ θαρσεῖν ἀντικαθίστη.*

Αὖ ἀλόγως. Laur. E. *ἀναλόγως.*

Ἀντικαθίστη. Vind. *ἀντικαθίστει.*

Θαρσεῖν. E. *θαρσοῦν.*

Λόγῳ — ἀρχή. „Plutarch. Moral. 802." WASS. Cf. id. in Pericl. cap. 9.

10. *Ὕστερον.* Aristid. *ὕστεροι.*

Ἴσοι. Vulgatum *ἴσοι* cum Bekk. correximus. Cf. I. 1. p. 214. C. *ὅσοι*, sed ex corr. *ἴσοι.*

Αὐτοὶ μᾶλλον. Laur. E. m. Ar. Chr. Dan. Aristid. *μᾶλλον αὐτοί.*

Ὀρεγόμενοι. C. Dan. *ὀρεγόμενος.*

Ἡδονάς. Mosqu. *ἡδονήν.*

Καὶ τὰ πρ. *Καί* om. Ar. Chr. Dan. Aristid. Verte: „*ipsam* adeo remp., *ipsas* causas et commoda reip." BAUER.

11. *Ὡς ἐν.* *Ὡς* om. Laur. E.

Ὅς. „Hoc pronomen suspectum." BEKK. Cur tandem?

Digitized by Google

ἄρτημα ἦν πρὸς οὓς ἐπῆσαν, ὅσον οἱ ἐκπέμψαντες, τὰ πρόσφορα τοῖς οἰχομένοις ἐπιγιγνώσκοντες, ἀλλὰ τὰ τὰς ἰδίας διαβολὰς περὶ τῆς τοῦ δήμου προστασίας, τά τε ἐν τῷ στρατοπέδῳ ἀμβλύτερα ἐποίουν, καὶ περὶ τὴν πόλιν πρῶτον ἐν ἀλλήλοις ἐταράχθησαν.

2. Σφαλέντες δ' ἐν Σικελίᾳ ἄλλῃ τε παρασκευῇ καὶ τοῦ ναυτικοῦ τῷ πλείονι μορίῳ, καὶ κατὰ τὴν πόλιν ἤδη ἐν στάσει ὄντες, ὅμως † τρία † μὲν ἔτη ἀντεῖχον τοῖς μέχρι πρότερον ὑπάρχουσι πολεμίοις, καὶ τοῖς ἀπὸ Σικελίας ἐπ' αὐτῶν, καὶ τῶν ξυμμάχων ἔτι τοῖς πλείοσιν ἀφεστηκόσι, Κύρῳ τε ὕστερον βασιλέως παιδὶ προσγενομένῳ, ὃς παρεῖχε χρήματα Πελοποννησίοις ἐς τὸ ναυτικόν· καὶ οὐ πρότερον ἐνέδοσαν, ἢ αὐτοὶ ἐν σφίσι κατὰ Ol. 92. β. ἔτ. β. γ. πρὸ Χρ. νί.

1. *Πρὸς οὓς*] [*λείπει τῶν Λεοντίνων.* (λ. Κασσ.)] *τοὺς Λεοντίνους λέγει· οὗτοι γὰρ μετεκαλέσαντο πρὸς συμμαχίαν Ἀθηναίους, Συρακουσίοις διαφερόμενοι.* (λ. Ἀνγ.) — *Οἱ ἐκπέμψαντες*] *Ἀθηναίων οἱ προὔχοντες.* (λ. Ἀνγ.) — 2. *Τοῖς οἰχομένοις*] *πορευθεῖσιν εἰς Σικελίαν.* (λ. Ἀνγ.) — 4. *Ἐν τῷ στρατοπέδῳ*] *τῷ Σικελικῷ.* — 9. *Πολεμίοις*] *τοῖς Λακεδαιμονίοις.* (λ. Ἀνγ.) — 10. *Μετ' αὐτῶν*] *τῶν Λακεδαιμονίων.* (λ. Ἀνγ.) — *Ἔτι τοῖς πλείοσιν*] *ἀντεῖχον δηλονότι.* (λ. Ἀνγ.) — 11. *Βασιλέως παιδί*] *βασιλέως λέγει τοῦ Δαρείου, υἱοῦ Ἀρταξέρξου. οὗ τινὸς Κύρου καὶ ὁ Ξενοφῶν τὴν ἀνάβασιν ἔγραψε.* — *Προσγενομένῳ*] *τοῖς Λακεδαιμονίοις δηλονότι.* (λ. Ἀνγ.) — 13. *Ἐνέδοσαν*] *ἐμαλακίσθησαν.* (λ. Ἀνγ.)

Ἐπῆσαν. Ar. *ἐπίεσαν.* Chr. Dan. et ora Ar. *ἐποίησαν.* Reg. *ἀπῆσαν.*

Οἰχομένοις. E. *ὁρωμένοις.*

Τὰς ἰδίας. Τάς om. Aug. Cl. Gr. Mosqu.

Διαβολὰς Aug. (in quo man. rec. *διαφορὰς* correxit,) Cl. F. Pal. It. Vat. H. Reg. (G.) cod. vet. Steph. Gr. D. I. Laur. E. Mosqu. Vall. Haack. Bekk. Vulgo *διαφορὰς.* „Hic a cod. vet. dissentio nobis *διαβολὰς* exhibente, praesertim quum addatur *περὶ τῆς τοῦ δήμου προστασίας*, quae adiectio cum *διαβολὰς* minime conveniret." STEPH. At vid. Bened. in adnot. ad. h. l.

Πρῶτον. Dan. *πρῶτος.*

Ἐν ἀλλήλοις. E. *ἐν s.* v. al. man.

12. *Πλείονι* Cass. Pal. It. Vat. H. Reg. Gr. Mosqu. Tus. Haack. Bekk. Vulgo *πλέονι*, per se non deterius. Vid. I. 1. p. 223.

Ἤδη. It. *ἔτι.*

Τρία μὲν ἔτη. Numerus corruptus videtur et *δέκα* legendum suspicatur Haacke. Vid. I. 2. p. 572.

Ἀντεῖχον. Vind. *ἀνεῖχον.*

Πλείοσιν Cass. C. Pal. It. Vat. H. Reg. Gr. D. I. B. Ar. Haack. Bekk. Vulgo *πλέοσιν.*

Ἀφεστηκόσι. Post hoc vocab. F. ex interpr. addit *πολεμοῦντες.*

Προσγενομένῳ. Ar. Chr. Dan. *προσγεγενημένῳ.*

Σφίσιν. F. Laur. E. Ar. Chr. Dan. addunt *αὐτοῖς*, ex interpr.

Digitized by Google

τὰς ἰδίας διαφορὰς περιπεσόντες ἐσφάλησαν. 13. τοσοῦτον τῷ Περικλεῖ ἐπερίσσευσε τότε, ἀφ' ὧν αὐτὸς προέγνω καὶ πάνυ ἂν ῥᾳδίως περιγενέσθαι τῶν Πελοποννησίων αὐτῶν τῷ πολέμῳ.

(4. Στρατεία Λακεδαιμονίων ἐς Ζάκυνθον.)

Ὀλ. πζ'. ξ. β'. ξη'. γ'. πρὸ Χρ. νί'. Οἱ δὲ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι τοῦ αὐτοῦ θέρους ἐστράτευσαν ναυσὶν ἑκατὸν ἐς Ζάκυνθον τὴν νῆσον, ἣ κεῖται ἀντιπέρας Ἤλιδος· εἰσὶ δὲ Ἀχαιῶν τῶν ἐκ Πελοποννήσου ἄποικοι, καὶ Ἀθηναίοις ξυνεμάχουν. 2. ἐπέπλεον δὲ Λακεδαιμονίων χίλιοι ὁπλῖται καὶ Κνῆμος Σπαρτιάτης ναύαρχος. ἀποβάντες δὲ ἐς τὴν γῆν, ἐδῄωσαν τὰ πολλά· καὶ ἐπειδὴ οὐ ξυνεχώρουν, ἀπέπλευσαν ἐπ' οἴκου.

(5. Πρέσβεις Λακεδαιμονίων ὡς βασιλέα πορευόμενοι ὑπὸ Σιτάλκου ξυλληφθέντες καὶ Ἀθηναίοις παραδοθέντες ἀποθνήσκουσι.)

ἀπὸ τοῦ ἐνάτου μηνὸς τοῦ ἡμετέρου ἐνιαυτοῦ. ξς'. Καὶ τοῦ αὐτοῦ θέρους τελευτῶντος Ἀριστεὺς Κορίνθιος, καὶ Λακεδαιμονίων πρέσβεις, Ἀνήριστος καὶ

1. Τοσοῦτον] φρονήσεως δηλονότι. (λ. Ἀγγ.) — 2. Ἀφ' ὧν] ἀφ' ὧν πραγμάτων, † ὥςτε μήτε κατὰ γῆν πολεμῆσαι μήτε εἰς Σικελίαν πέμψαι. †

ξς'. 11. Ξυνεχώρουν] ἐνεδίδουν οἱ Ζακύνθιοι. (λ. Ἀγγ.)

13. *Τοσοῦτον πολέμ.* „Aristides III. p. 202." WASS.

Περιγενέσθαι. Vulgo *περιγενέσθαι τὴν πόλιν*, sed *τὴν πόλ.* om. Cass. Aug. Pal. It. Vat. H. Reg. (G.) Vall. Bekk., et frustra defendit Haack. Infinitivus commode ad Periclem ipsum populi ducem, qui momentum belli maximum faciebat, referri potest.

Τῶν Πελοπ. Τῶν om. C. F. Ar. Chr. Dan. et Wassio teste etiam Aristid.

Αὐτῶν. Gr. *αὐτεῖ.* Etiam in G. *ν s.* v. Pronomen, quod pluribus offensioni fuit, recte a nonnullis explicatum est per *μόνων.* Nam hoc sibi vult scriptor: „Athenienses quum per tres annos, et Peloponnesiis, et Siculis, atque sociis, qui defecerant, denique Cyro resisterent, Peloponnesiis solis facillime superiores fuissent."

Cap. LXVI. *Ἀντιπέρας.* Reg. (G.) *ἀντικέρων.* Marg. Steph. *ἀντικέρα.* At vid. not.

Ἀθηναίοις. It. Vat. *Ἀθηναῖοι.*

2. *Ἐπέπλεον δέ. Δέ* om. Cass. Aug.

Κνῆμος. F. perperam *Κνῆμις.*

Cap. LXVII. *Ἀνήριστος.* Reg. (G.) *Ἀνῆριστος.* At vid. Herodot. VII. 138.

Digitized by Google

Νικόλαος καὶ Στρατόδημος, καὶ Τεγεάτης Τιμαγόρας, καὶ Ἀργεῖος ἰδίᾳ, Πόλλις, πορευόμενοι ἐς τὴν Ἀσίαν ὡς βασιλέα, εἴ πως πείσειαν αὐτὸν χρήματά τε παρέχειν καὶ ξυμπολεμεῖν, ἀφικνοῦνται ὡς Σιτάλκην πρῶτον τὸν Τήρεω ἐς Θρᾴκην, βουλόμενοι πεῖσαί τε αὐτὸν, εἰ δύναιντο, μεταστάντα τῆς Ἀθηναίων ξυμμαχίας, στρατεῦσαι ἐπὶ τὴν Ποτίδαιαν, οὗ ἦν στράτευμα τῶν Ἀθηναίων ὁπλιτικὸν, καὶ, ὑπὲρ ὥρμηντο, δι' ἐκείνου πορευθῆναι πέραν τοῦ Ἑλλησπόντου ὡς Φαρνάκην τὸν Φαρναβάζου, ὃς αὐτοὺς ἔμελλεν ὡς βασιλέα ἀναπέμψειν. 2. παρατυχόντες δὲ Ἀθηναίων πρέσβεις, Λέαρχος Καλλιμάχου καὶ Ἀμεινιάδης Φιλήμονος, παρὰ τῷ Σιτάλκῃ, πείθουσι τὸν Βιβλ. ά. κεφ. ξδ'.

ξ'. 2. *Καὶ Ἀργεῖος ἰδίᾳ πολλάκις*] γράφεται *ἰδίᾳ Πόλις· ὄνομα κύριον.* (λ. *Κασσ. Αὐγ.*) — *Ἀργεῖος ἰδίᾳ*] *ἄνευ τοῦ κοινοῦ· οἱ*

Στρατόδημος It. Vat. Reg. et, ut videtur, F. atque H., de quibus tacet Gail. Quod Valckenario ad Herodot. l. d. iubente receperunt Gottl. et proximi editores. Quod prius legebatur *Πρατόδημος*, revocavit Bekk.

Καὶ Τεγεάτης Τιμαγόρας. D. *Τεγ. καὶ Τιμαγώρας.* I. *καὶ Τιμαγόραος.*

Καὶ Ἀργεῖος. Καί in marg. al. man. D., s. v. I.

Ἰδίᾳ Πόλλις. Reg. (G.) *Ἰδιαίπολις*, cum marg 1. Steph. „Quod potuit oriri ex ī adscripto diphthongi impropriae." DÜK. Gr. *Ἰδιάπολις*, atque etiam in Reg. ā s. ī. Plerique libri *ἰδίᾳ* (*ἰδια*) *Πόλις*, sicut ante Gottl. exarabatur. Pro *Πόλις* I. *Πόλεις*, et in marg. al. man. *Πόλλις*, marg. Cass. cum marg. 2. Steph. et Schol. vulg. in capite *πολλάκις*. Germanum *Πόλλις* ex Cass. It. Vat. cod. Bas. Laur. et, ut videtur, etiam Pal. a Reisk. admonitus primus recepit Gottl. Cf. adnot.

Ὡς βασιλέα. I. *ἐς βασ.*

Χρήματά τε. *Τέ* om. D.

Παρέχειν. Laur. E. Vind. Mosqu. m. Ar. Chr. Dan. *παρασχεῖν.*

Ὡς Σιτάλκην. Mosqu. *ἐς Σιτ.*

Τήρεω. Mosqu. *Τήρεως.* At vid. cap. 29.

Πεῖσαί τε. D. I. *τὲ πεῖσαι.*

Οὗ ἦν etc. E. *οὗ ἄρ' ἦν στράτ. τῆς Ἀθηναίων ξυμμ. στρατ. ἐπὶ τὴν Ποτ. οὗ ἦν στράτ. τῶν Ἀθ.*

Πολιορκοῦν, καὶ, ὑπερ. Vulgo *πολιορκοῦν· καὶ παῦσαι βοηθεῖν τε αὐτοῖς, καὶ, ὑπερ.* At *παῦσαι — αὐτ.* om. Aug. (ubi a man. rec. in marg. adscr.) Cl. Pal. It. Vat. H. Reg. (G$_a$ in quo al. man. supplevit,) cod. Bas. Laur. Vall. Haack. Bekk. Cf. adnot.

Ἀναπέμψειν. Gr. *πέμπειν*, et ex emend. *ἀναπέμπειν.*

2. *Λέαρχος.* Gr. *Λαίαρχος.* F. *Κλέαρχος.*

Καλλιμάχου. Vulgo *ὁ Καλλ.* sed artic. de. Cass. Aug. Cl. G. Pal. It. Vat. H. Reg. Gr. Mosqu. m. Ar. Chr. Uncis inclusit Haack., delevit Bekk. Cf. I. 1. p. 195.

Φιλήμονος. Vulgo *ὁ Φιλ.* sed artic. iterum de. in libris iisdem (quanquam in Aug. a man. rec. additus est, et de Pal. tacetur,) atque insuper in B. cod. Bas. I.

Digitized by Google

Σάδοκον τὸν γεγενημένον Ἀθηναῖον, Σιτάλκου υἱόν, τοὺς ἄνδρας ἐγχειρίσαι σφίσιν, ὅπως μὴ, διαβάντες ὡς βασιλέα, τὴν ἐκείνου πόλιν τὸ μέρος βλάψωσιν. 3. ὁ δὲ, πεισθεὶς, πορευομένους αὐτοὺς διὰ τῆς Θρᾴκης ἐπὶ τὸ πλοῖον ᾧ ἔμελλον τὸν Ἑλλήσποντον περαιώσειν, πρὶν ἐς- 5
βαίνειν, ξυλλαμβάνει, ἄλλους ξυμπέμψας μετὰ τοῦ Δεάρχου καὶ Ἀμεινιάδου, καὶ ἐκέλευσεν ἐκείνοις παραδοῦναι· οἱ δὲ, λαβόντες, ἐκόμισαν ἐς τὰς Ἀθήνας. 4. ἀφικομένων δὲ αὐτῶν, δείσαντες οἱ Ἀθηναῖοι τὸν Ἀριστέα, μὴ αὖθις σφᾶς ἔτι πλείω κακουργῆ διαφυγών, ὅτι καὶ πρὸ 10
ἰδ. Βιβλ. τούτων τὰ τῆς Ποτιδαίας καὶ τῶν ἐπὶ Θρᾴκης πάντ' ἀ. Κεφ. ξ'. ἐφαίνετο πράξας, ἀρίστους καὶ βουλομένους ἔστιν ἃ εἰπεῖν αὐθημερὸν ἀπέκτειναν πάντας, καὶ ἐς φάραγγας

γὰρ Ἀργεῖοι φίλοι ἦσαν Ἀθηναίοις. — 1. Τὸν γεγενημένον] τὸν ἐγγεγραφέναι. (λ. Ἀνγ.) — 3. Τὸ μέρος] ὅσον ἀπὸ τοῦ μέρους αὐτοῦ. (λ. Ἀνγ.) — Ὁ δὲ] ἦγουν ὁ Σάδοκος. (λ. Ἀνγ.) — 7. Ἐκείνοις] τοῖς πρέσβεσι τῶν Ἀθηναίων. (λ. Ἀνγ.) — 8. Οἱ δὲ] οἱ πρέσβεις τῶν Ἀθηναίων. (λ. Ἀνγ.) — 9. Τὸν Ἀριστέα] τὸν Κορίνθιον. (λ. Ἀνγ.) — 10. Ἄυθις] ἐς τὸ μέλλον. (λ. Ἀνγ.) — Κακουργῆ] κακουργήσῃ. (λ. Ἀνγ.)

E. Dan. Rursus uncis inclusit Haack., delevit Bekk.

Σιτάλκη. Dan. Σιτάμῃ.

Τὸν γεγενημένον. Τὸν om. E. Ar. Chr. Dan.

Ἐγχειρίσαι. Pal. D. ἐγχειρῆσαι, sed D. τ̄ s. η̄ ead. man.

Ὅπως μή. Μὴ s. v. G.

Ὡς βασιλέα. Cl. ἐς βασ.

3. Ἔμελλον — περαιώσειν. „Thom. Mag." WASS. „Thomas adnotat περαιοῦμαι dicendum, quamvis Thucydides περαιῶ dicat. [Cf. I. 1. p. 186.] Apud eum pro ὡς ex h. l. legendum est φ." DUK. Ὡς — etiam E.

Ξυλλαμβάνει. Vind. ξυλλαμβάνειν.

Ἄλλους. Gr. D. I. Laur. E. Vind. m. Ar. Chr. ἄλλους δέ. Quod δέ, etiamsi proximum καί deleretur, sententiam depravaret. Caeterum in m. lineola notatum est.

Ξυμπέμψας. C. G. ξυμπέψας. D. I. πέμψας. At non solum ξυμπέμπειν τινί, sed etiam μετά τινος recte dici docet Xen. Hell. I, 4, 21. atque alia composita cum ξύν plurima.

Καὶ ἐκέλευσεν. Καί om. E. Ar. Chr. Dan. Insuper Ar. Chr. ἐκέλευεν, Dan. ἐκέλευον.

Λαβόντες. Errore apud Gail. καὶ λαβ. legitur.

4. Ἔτι. C. Gr. D. Mosqu. ἐπί, in D. tamen τ̄ s. π̄.

Πλείω Cass. C. Pal. It. H. Reg. (G.) Gr. D. I. Tus. Haack. Bekk. Vulgo πλέω. Cf. I. 1. p. 223. E. πλέον.

Κακουργῆ. E. κακουργεῖ.

Φάραγγας. Cass. C. φάραγκας, in C. γ s. κ. ead. man. Laur. E. m. Ar. Chr. φάραγγα.

Digitized by Google

ἐςέβαλον, δικαιοῦντες τοῖς αὐτοῖς ἀμύνεσθαι οἷςπερ καὶ οἱ Λακεδαιμόνιοι ὑπῆρξαν, τοὺς ἐμπόρους οὓς ἔλαβον Ἀθηναίων καὶ τῶν ξυμμάχων ἐν ὁλκάσι περὶ Πελοπόννησον πλέοντας ἀποκτείναντες, καὶ ἐς φάραγγας ἐςβαλόντες. πάντας γὰρ δὴ κατ' ἀρχὰς τοῦ πολέμου οἱ Λακεδαιμόνιοι ὅσους λάβοιεν ἐν τῇ θαλάσσῃ, ὡς πολεμίους διέφθειρον, καὶ τοὺς μετ' Ἀθηναίων ξυμπολεμοῦντας, καὶ τοὺς μηδὲ μεθ' ἑτέρων.

(6. Στρατεία Ἀμπρακιωτῶν ἐπὶ Ἄργος τὸ Ἀμφιλοχικόν.)

ξή. Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους, τοῦ θέρους τελευτῶντος, καὶ Ἀμπρακιῶται, αὐτοί τε καὶ τῶν βαρβάρων πολλοὺς ἀναστήσαντες, ἐστράτευσαν ἐπὶ Ἄργος τὸ Ἀμφιλοχικὸν καὶ τὴν ἄλλην Ἀμφιλοχίαν. 2. ἔχθρα δὲ πρὸς τοὺς Ἀργείους ἀπὸ τοῦδε αὐτοῖς ἤρξατο πρῶτον γενέσθαι. 3. Ἄργος τὸ Ἀμφιλοχικὸν καὶ Ἀμφιλοχίαν τὴν ἄλλην ἔκτισε, μετὰ τὰ Τρωϊκὰ οἴκαδε ἀναχωρήσας, καὶ

1. Δικαιοῦντες] δίκαιον κρίνοντες. (λ. Αὐγ.) — Τοῖς αὐτοῖς ἀμύνεσθαι] τὴν ἴσην τιμωρίαν δοῦναι. (λ. Αὐγ.) — Οἷςπερ] ἀντὶ τοῦ ὧν. (λ. Αὐγ.) — 2. Ὑπῆρξαν] ἀντὶ τοῦ προκατήρξαντο. (λ. Αὐγ.)

ξή. 9. Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους] μετάβασις. (λ. Αὐγ.) — 11. Ἀναστήσαντες] διεγείραντες εἰς συμμαχίαν. (Κασσ.) — Ἐπὶ τὸ Ἄργος] κατὰ τοῦ Ἄργους. (λ. Αὐγ.) — 13. Αὐτοῖς] τοῖς Ἀμπρακιώταις. (λ. Αὐγ.) — 15. Καὶ οὐκ ἀρεσκόμενος τῇ — καταστ.]

Εςέβαλον. Gr. ἐςέβαλλον.

Ξυμμάχων. Post hoc vocab. ante Haack. perperam virgula interpungebatur, quam addere qui velit, post πλέοντας collocet. —

Φάραγγας. C. φάλαγγας, ρ̄ s. λ̄. Reg. (G.) Laur. E. marg. Steph. φάραγγα, in E. ες̄ s. ᾱ al. man.

Ἐςβαλόντες. F. Ar. Dan. ἐμβαλόντες. Laur. E. marg. Steph βαλόντες.

Οἱ Λακεδ. Οἱ om. Laur. E. m. Ar. Dan.

Cap. LXVIII. Τοῦ θέρους. Mosqu. τοῦ αὐτοῦ θέρους

Ἐπὶ Ἄργος Cass. Cl. C. F. Pal. H. Reg. (G.) Gr. D. I. Cf. I. 1. p. 217. Ex Aug. Mosqu. Ar. Chr. Dan. cum Valcken. ad Eur. Phoen. p. 28. ἐπ' Ἄργος scripserat Gottl., quem secuti sunt Haack. et Bekk. Ante Gottl. perperam ἐπὶ τὸ Ἄργος, sicut B.

Καὶ τήν. Ar. Chr. καὶ ἐς τήν.

Τὴν ἄλλην Ἀμφιλοχίαν. D. Ἀμφιλοκίαν τὴν ἄλλην, et om. proxima ad ἔκτισε, quae in marg. suppl.

3. Ἀμφιλοχίαν τὴν ἄλλην. m. τὴν ἄλλην Ἀμφιλοχ.

Μετά. Laur. E. m. Ar. Chr. Dan. μὲν μετά.

Τὰ Τρωϊκά. Dan. om. τά.

Digitized by Google

σὺν ἀρεσκόμενος τῇ ἐν Ἄργει καταστάσει, Ἀμφίλοχος ὁ Ἀμφιάρεω, ἐν τῷ Ἀμπρακικῷ κόλπῳ, ὁμώνυμον τῇ ἑαυτοῦ πατρίδι Ἄργος ὀνομάσας. 4. καὶ ἦν ἡ πόλις αὕτη μεγίστη τῆς Ἀμφιλοχίας, καὶ τοὺς δυνατωτάτους εἶχεν οἰκήτορας. 5. ὑπὸ ξυμφορῶν δὲ πολλαῖς γενεαῖς ὕστερον πιεζόμενοι, Ἀμπρακιῶται, ὁμόρους ὄντας τῇ Ἀμφιλοχικῇ, ξυνοίκους ἐπηγάγοντο, καὶ ἡλληνίσθησαν τὴν νῦν γλῶσσαν τότε πρῶτον ἀπὸ τῶν Ἀμπρακιωτῶν ξυνοικησάντων· οἱ δὲ ἄλλοι Ἀμφίλοχοι βάρβαροί εἰσιν. 6. ἐκβάλλουσιν οὖν τοὺς Ἀργείους οἱ Ἀμπρακιῶται χρόνῳ, καὶ αὐτοὶ ἴσχουσι τὴν πόλιν. 7. οἱ δ' Ἀμφίλοχοι, γενομένου τούτου, διδόασιν ἑαυτοὺς Ἀκαρνᾶσι, καὶ προσπαρακαλέσαντες ἀμφότεροι Ἀθηναίους, οἳ αὐτοῖς Φορμίωνά τε στρατηγὸν ἔπεμψαν καὶ ναῦς τριάκοντα, ἀφικομένου δὲ τοῦ Φορμίωνος, αἱροῦσι κατὰ κράτος Ἄργος, καὶ 142.

εὗρε γὰρ τὴν μητέρα Ἐριφύλην ἀναιρεθεῖσαν ὑπὸ Ἀλκμαίωνος τοῦ ἀδελφοῦ αὐτοῦ. — 1. Τῇ ἐν Ἄργει καταστάσει] τῇ οἰκήσει. (λ. Κασσ. Ἀνγ.) — 4. Τῆς Ἀμφιλοχίας] γῆς δηλονότι. (λ. Ἀνγ.) — 7. Ἐπηγάγοντο] ἐφειλκύσαντο. (λ. Κασσ. Ἀνγ.) — Καὶ ἐλληνίσθησαν] Ἕλληνες κατὰ τὴν νῦν διάλεκτον ἐγένοντο. (λ. Κασσ.) — 9. Οἱ δὲ ἄλλοι Ἀμφίλοχοι βάρβαροι] οἱ δὲ Ἀμπρακιῶται Ἕλληνες, Κορινθίων ἄποικοι. — 10. Τοὺς Ἀργείους] τοὺς Ἀμφιλοχικοὺς, τοὺς δεξαμένους. — Χρόνῳ] ἀντὶ τοῦ μόλις. — 11. ** Οἱ δ' Ἀμφίλοχοι] οἱ πάντες, διὰ τὴν μητρόπολιν. (Κασσ. Ἀνγ.) — 12. Ἀκαρνᾶσι] φίλοις οὖσι δηλονότι Ἀθηναίων. — 13. † Ἀθηναίους] † ἀνακόδοτον, μᾶλλον δὲ παινακόδοτον τοῦτο, εἰ οὕτω χρὴ φάναι. (Βασ.)

Ἀμπρακικῷ. H. Reg. Gr. D. I. Ἀμβρακ., et sic ubique hoc cap. cum $\overline{\beta}$ in secunda syllaba, praeterquam quod Gr. semel $\overline{\pi}$ servat. Vicissim C. semel $\overline{\beta}$ habet. Cf. I. 2. p. 140. et script. discr. ad II, 9. Ar. Ἀμπρακιωτικῷ. Mosqu. Ἀμπρακιοτικῷ.

Ἑαυτοῦ. Laur. E. m. Ar. Chr. αὐτοῦ.

4. Ἡ πόλις. Ἡ om. Gr. I.

Δυνατωτάτους. Pal. δυνατούς.

5. Ὁμόρους. Vat. G. ὁμήρους, in hoc tamen ō s. ῆ.

Ἡλληνίσθησαν scripsimus cum Lob. ad Phryn. p. 388. Libri tam scripti quam editi omnes ἐλληνισθησαν, quod excusare conatur Buttm. Gr. max. t. II. p. I. in Addend. p. II.

Τότε de. Laur. E. m. Ar. Chr. Dan.

Ξυνοικησάντων. Chr. Dan. ξυνοικισάντων. Ar. τῶν ξυνοικισάντων.

Ἀμφίλοχοι. D. Ἀμφιλόχιοι, ut marg. Flor. Vinar.

7. Οἱ δ' Ἀμφίλοχοι. Cl. οἱ δὲ ἄλλοι.

Γενομένου. Ar. Chr. γεγενημένου. Ita iidem II, 65, 12.

Ἑαυτούς. E. αὐτούς.

Προσπαρακαλέσαντες Cass. Aug.

Digitized by Google

τοὺς Ἀμπρακιώτας ἠνδραπόδισαν· κοινῇ τε ᾤκησαν αὐτὸ Ἀμφίλοχοι καὶ Ἀκαρνᾶνες. 8. μετὰ δὲ τοῦτο ἡ ξυμμαχία ἐγένετο πρῶτον Ἀθηναίοις καὶ Ἀκαρνᾶσιν. 9. οἱ δὲ Ἀμπρακιῶται τὴν μὲν ἔχθραν ἐς τοὺς Ἀργείους ἀπὸ τοῦ ἀνδραποδισμοῦ σφῶν αὐτῶν ἐποιήσαντο, ὕστερον δὲ ἐν τῷ πολέμῳ τήνδε τὴν στρατείαν ποιοῦνται αὐτῶν τε καὶ Χαόνων καὶ ἄλλων τινῶν τῶν πλησιοχώρων βαρβάρων· ἐλθόντες τε πρὸς τὸ Ἄργος, τῆς μὲν χώρας ἐκράτουν, τὴν δὲ πόλιν ὡς οὐκ ἐδύναντο ἑλεῖν προςβαλόντες, ἀπεχώρησαν ἐπ' οἴκου, καὶ διελύθησαν κατὰ ἔθνη. τοσαῦτα μὲν ἐν τῷ θέρει ἐγένετο.

(Β. Χειμών. ξθ'. α'.)

(1. Ἀθηναῖοι ἔς τε Ναύπακτον ναῦς πέμπουσι, καὶ ἐπὶ Καρίας καὶ Λυκίας, ὅπου πλήσσονται.)

ξθ'. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Ἀθηναῖοι ναῦς ἔστειλαν εἴκοσι μὲν περὶ Πελοπόννησον καὶ Φορμίωνα στρατηγόν· ὃς ὁρμώμενος ἐκ Ναυπάκτου, φυ-

Ὀλ. πζ'. ἔτ. γ'. πρὸ Χρ. υλ'. ἀπὸ τοῦ Ὀκτωβρ. μην.

1. Αὐτό] τὸ Ἄργος. — 2. † Μετὰ δὲ τοῦτο] † ἀντὶ τοῦ ἀπὸ ταύτης τῆς αἰτίας. — 4. Ἐς τοὺς Ἀργείους] κατὰ τῶν Ἀργείων. (λ. Αὐγ.) — 6. Ἐν τῷ πολέμῳ] τῷ Πελοποννησιακῷ δηλονότι.

Cl. C. Pal. It. Vat. H. Gr. B. Laur. E. Vind. m. Ar. Chr. Dan. Ald. Flor. Bas. marg. 2. Steph. (quorum librorum nonnullos προςκαλέσαντες exhibere, perperam tradit Bekk.) Προςκαλέσαντες Reg. D. I. Mosqu. Alterutrum etiam Schol. Vulgo προςεκαλέσαντο. Nobiscum faciunt Haack. et Bekk., qui tamen punctum post τριάκοντα servarunt, quod nos cum commate mutavimus. Vid. adnot.

Ὤικησαν. Laur. E. Mosqu. Chr. Dan. ᾤκισαν.

Καὶ Ἀκαρν. Καί de. Dan.

8. Ἐγένετο πρῶτον. Laur. E. Ar. Chr. Dan. πρῶτον ἐγένετο.

9. Ἀπό de. Reg.

Πρῶτον om. C.

Στρατείαν ex Cl. Gr. et marg. Steph. primus recepit Duk., idemque Aug. Pal. Itt. et Parr., de quibus tacetur, exhibere videntur. Prius στρατιάν, quod Reg. (G.) tuetur, ubi alterum corrector int. vers. adnotavit.

Αὐτῶν libri et scripti et editi ante Lips., ubi αὑτῶν exaratum, quod Haack. et Bekk. tenuerunt. Laur. et E. ἑαυτῶν. Nos veterem scripturam revocavimus. Cf. Farr. script. discr.

Χαόνων. Mosqu. τῶν Χ.

Ἐλθόντες τε. Laur. E. ἐλθ. δέ.

Τὸ Ἄργος. Τό om. Reg. (G.)

Τῆς μὲν χώρας. Cod. Bas. τὴν μὲν χώραν.

Προςβαλόντες. C. Gr. προςβάλλοντες.

Θέρει. Cod. Bas. a. corr. θέρει τούτῳ, ex interpr.

Digitized by Google

λαπὴν εἶχε μήτ' ἐκπλεῖν ἐκ Κορίνθου καὶ τοῦ Κρισαίου κόλπου μηδένα, μήτ' ἐσπλεῖν· ἑτέρας δὲ ἓξ ἐπὶ Καρίας καὶ Λυκίας καὶ Μελήσανδρον στρατηγὸν, ὅπως ταῦτά τε ἀργυρολογῶσι, καὶ τὸ ληστικὸν τῶν Πελοποννησίων μὴ ἐῶσιν, αὐτόθεν ὁρμώμενον, βλάπτειν τὸν πλοῦν τῶν ὁλκάδων τῶν ἀπὸ Φασήλιδος καὶ Φοινίκης καὶ τῆς ἐκεῖθεν ἠπείρου. 2. ἀναβὰς δὲ στρατιᾷ Ἀθηναίων τε τῶν ἀπὸ τῶν νεῶν καὶ τῶν ξυμμάχων ἐς τὴν Λυκίαν ὁ Μελήσανδρος, ἀποθνήσκει, καὶ τῆς στρατιᾶς μέρος τι διέφθειρε, νικηθεὶς μάχῃ.

(2. Ποτιδαίας ἅλωσις.)

Ὀλ. πξ. ἔτ. γ. πρὸ Χρ. νηθ'. πρὸ τῆς ιζ'. τοῦ Μαρτ. μην.

ο'. Τοῦ δ' αὐτοῦ χειμῶνος οἱ Ποτιδαιᾶται, ἐπειδὴ οὐκέτι ἐδύναντο πολιορκούμενοι ἀντέχειν, ἀλλ' αἵ τε ἐς τὴν Ἀττικὴν ἐσβολαὶ Πελοποννησίων οὐδὲν μᾶλλον ἀπαξθ'. 4. Ἀργυρολογῶσιν] ἀργύριον ἀπαιτῶσιν. (l. Ἀνγ.) — 6. Ἀπὸ Φασήλιδος] Φάσηλις πόλις Παμφυλίας. μέμνηται ταύτης καὶ Διονύσιος ὁ περιηγητής.

ο'. 13. Οὐδὲν μᾶλλον] οὐδὲν παρὰ Ἀττικοῖς ἀντὶ τοῦ οὔ. (Ἀνγ.)

Cap. LXIX. *Κρισαίου.* Ar. Chr. et rec. man. Pal. *Κρισσαίου.* At vid. hic Wass. et nos I, 1 p. 210.

Μήτ' ἐσπλεῖν. Mosqu. *μήτε πλεῖν.*

Μελήσανδρον. Cass. Cl. I. *Μελίσανδρον.* „Nomen ducis *Μελήσανδρος* an *Μελίσανδρος* fuerit, non facile dictu est. *Μελίσανδρον* Milesium, scriptorem Homero vetustiorem, memorat Aelian. XI. Var. Hist. 2." DUK. Melesandrum appellat Pausan. I, 29, 6. *Μελλήσανδρον* Gr., ut etiam mox infra.

Ὅπως ταὐτά τε ἀργυρολογῶσι. Lib. de Synt. p. 159. Anecdd. Bekk. *ὅπως τε ταῦτα ἀργυρολογήσωσι τὰ χωρία.* In Pal. *ἀργυλογῶσι.*

Ληστικόν. I. Tus. *λῃστρικόν.* Vid. not. ad I, 4.

Τῶν ἀπό. Vat. *τὴν ἀπό.*

Φασήλιδος. Accentus vocabuli dubius. Vid. I. 2. p. 475.

2. *Ἀποθνήσκει.* G. *ἀποθνήκει,* σ s. π.

Νικηθείς. Cod. Bas. *ἠττηθείς,* quod Wass. praeferebat, alterum ab interprete adscriptum dicens. At iam ipsa forma verbi adversatur; debebat enim *ἠσσα.* esse.

Cap. LXX. *Ποτιδαιᾶται.* Legitimum accentum libri hic servant, quod de Art. crit. p. 149. adnotare negleximus.

Ἐδύναντο. Cass. Pal. It. Vat. Reg. (G.) cod. Bas. (hic a. pr. man., rec. emend.) ed. Bas. *ἠδύν.* Vid. I. 1. p. 226.

Ἀλλ' αἵ τε. E. *ἄλλαι τε.* Pal. *ἀλλαίτε.*

Ἐς τὴν Ἀττικὴν ἐσβολαί. Cass. Aug. Laur. E. m. Ar. Chr. Dan. *ἐσβολαὶ ἐς τὴν Ἀττ.* „Haec eodem verborum ordine leguntur

Digitized by Google

νίστασαν τοὺς Ἀθηναίους, ὅ τε σῖτος ἐπελελοίπει, καὶ ἄλλα τε πολλὰ ἐπεγεγένητο αὐτόθι ἤδη βρώσεως πέρι ἀναγκαίας, καί τινες καὶ ἀλλήλων ἐγέγευντο, οὕτω δὴ λόγους προςφέρουσι περὶ ξυμβάσεως τοῖς στρατηγοῖς τῶν Ἀθηναίων τοῖς ἐπὶ σφίσι τεταγμένοις, Ξενοφῶντί τε τῷ Εὐριπίδου, καὶ Ἑστιοδώρῳ τῷ Ἀριστοκλείδου, καὶ Φανομάχῳ τῷ Καλλιμάχου. 2. οἱ δὲ προςεδέξαντο, ὁρῶντες μὲν τῆς στρατιᾶς τὴν ταλαιπωρίαν ἐν χωρίῳ χειμερινῷ, ἀναλωκυίας τε ἤδη τῆς πόλεως δισχίλια τάλαντα ἐς [τὴν] πολιορκίαν. 3. ἐπὶ τοῖςδε οὖν ξυνέβησαν, ἐξελθεῖν αὐτοὺς, καὶ παῖδας καὶ γυναῖκας, καὶ τοὺς ἐπικούρους, ξὺν ἑνὶ ἱματίῳ, γυναῖκας δὲ ξὺν δυοῖν, καὶ ἀργύ-

7. Οἱ δέ] οἱ στρατηγοί. (λ. Αὔγ.)

in [Gregor.] Corinth. [p. 60.], quo in Ar. Chr. et Dan." DUK. Neque falsa est haec collocatio. Vid. Krüg. l. l. p. 153. At Cass. et Aug. hic quum depravatis se adiungant, non audiendi.

Ἀπανίστασαν τοὺς Ἀθηναίους. Greg. Cor. τοὺς Ἀθην. ἀπανίστασαν.

Ἐπελελοίπει. C. E. ἐπιλελοίπει. Non omnino falso.

Ἄλλα τε. F. om. τέ, D. τά pro eo habet.

Ἐπεγεγένητο. Ar. Chr. ἐπεγεγένηντο.

Ἤδη om. F.

Καί τινες ἀλλ. „Καί πού τινες ἀλλήλων ἐγεύσαντο legit Suidas locum hunc citans, qui etiam ἀλλήλων pro ἑαυτῶν positum dicit." HUDS. Eadem leguntur in Bekk. Anecdd. p. 378. apud Philemon p. 19. et apud Phavor. s. ἀλλήλων. De ἀλλήλων quae tradunt grammatici, ea falsa esse manifestum est. Cf. I. 1. p. 175. Facilius particulam πού aliquis probaverit (cf. de Art. crit. p. 83.), sed ne ea quidem hic valde apta.

Ἐγέγευντο Cass. Aug. It. Vat. Reg. (G.) Laur. Vind. m. Ar. Chr. Dan. marg. Steph. Haack. Bekk. Ἐγεγεύοντο Pal. H. E. Ἐγεγένοντο Cl. Ἐγένοντο ed. Bas. et Vasc. Ἐγεύσαντο Suid. Anecdd. Bekk. Philem. Phavor. Liban. Declam. XIX. Procop. p. 14. At vid. de Art. crit. p. 81. et 86. Vulgo ἐγεύοντο.

2. Ἀναλωκυίας τε. Pro τέ Laur. et E. δέ. At vid. I. 1. p. 277.

Δισχίλια. D. δυσχ. Ar. Chr. χίλια. At vid. not.

Τὴν πολιορκίαν. Τήν om. Aug. Cl. C. F. Pal. It. Vat. H. Reg. (G.) Gr. I., quanquam vix recte deesse potest.

3. Τοῖςδε. C. τοῖς.

Οὖν. Reg. (G.) γοῦν.

Ἐξελθεῖν. E. ἐλθεῖν.

Καὶ παῖδας καὶ γυναῖκας. Ar. Chr. καὶ γυν. καὶ παῖδ. Utrumque ordinem verborum habet Thuc. (vid. Ind. verb.), noster tamen frequentior Graecis contra morem linguae Germanae. E. alterum καί om. Quod si καὶ γυναῖκας propter seqq. suspecta tibi sint, vid. adnot.

Καὶ τοὺς ἐπικούρους. Dan. om. καὶ τούς.

Γυναῖκας δέ. Laur. E. γυν. τέ.

Ξὺν δυοῖν. F. ξυνδεῖν.

Ἀργύριόν τι. Τί. de Ar. Chr.

Digitized by Google

φεύν τι ῥηθὲν ἔχοντας ἐφόδιον. 4. καὶ οἱ μὲν ὑπόσπονδοι ἐξῆλθον ἐπὶ τὴν Χαλκιδικήν, καὶ ἕκαστος ᾗ ἐδύνατο· Ἀθηναῖοι δὲ τούς τε στρατηγοὺς ἐπῃτιάσαντο, ὅτι ἄνευ 143.
αὐτῶν ξυνέβησαν, (ἐνόμιζον γὰρ ἂν κρατῆσαι τῆς πόλεως ᾗ ἐβούλοντο,) καὶ ὕστερον ἐποίκους ἑαυτῶν ἔπεμ- 5
ψαν ἐς τὴν Ποτίδαιαν, καὶ κατῴκισαν. 5. ταῦτα μὲν ἐν τῷ χειμῶνι ἐγένετο· καὶ † τὸ † δεύτερον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Θουκυδίδης ξυνέγραψε.

(III. *Τρίτον ἔτος τοῦ πολέμου.* — *Κεφ.* ργ΄.)

(A. *Θέρος* — *Κεφ.* ϟβ΄.)

(1. *Στρατεία Λακεδαιμονίων ἐπὶ Πλάταιαν.* — *οη΄. Πλαταιῆς Ἀρχίδαμον τῆς στρατείας ἀποτρέπειν πειρῶνται.*)

Ὀλ. πζ΄. ἔτ. γ΄. πρὸ Χρ. νηθ΄. οα΄ ΤΟΥ Δ΄ ΕΠΙΓΙΓΝΟΜΕΝΟΥ ΘΕΡΟΥΣ οἱ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἐς μὲν τὴν Ἀττικὴν οὐκ 10
ἐσέβαλον, ἐστράτευσαν δ' ἐπὶ Πλάταιαν. ἡγεῖτο δὲ Ἀρχίδαμος ὁ Ζευξιδάμου, Λακεδαιμονίων βασιλεύς, καὶ καθίσας τὸν στρατὸν ἔμελλε δῃώσειν τὴν γῆν. οἱ δὲ Πλα-

2. † *Καὶ ἕκαστος ᾗ ἐδύνατο*] τὰς τριάκοντα δύο πόλεις †. — 4. *Ἐνόμιζον γὰρ ἂν — ᾗ ἐβούλοντο*] *ἀνδραποδίσαι γὰρ τοὺς ἄνδρας ἐβούλοντο.*

4. *Ἐπὶ τήν* Cass. Aug. Cl. C. F. Pal. It. Vat. H. Reg. (G.) Cam. Gr. Haack. Bekk. Vulgo *ἐς τε τήν.*

Καὶ ἕκαστος ᾗ ἐδύνατο. Laur. E. Mosqu. *καὶ ᾗ ἕκ. ἐδ.* Ar. Chr. Dan. *καὶ ᾗ ἐδύναντο.*

Ἧι ἐβούλοντο. Mosqu. *ᾗ* om., Dan. in marg. *εἰ* pro eo habet.

Ἑαυτῶν ἔπεμψαν. Laur. E. m. Ar. Chr. Dan. *ἔπεμψαν ἑαυτῶν.* Pro *ἔπεμψαν* cod. Bas. *ἐξέπ.*

Κατῴκισαν. Mosqu. *κατῴκησαν.*

5. *Χειμῶνι.* G. *χειμόνι.* Mox B. *Θουκιδίδης.*

Τὸ δεύτερον ἔτος. Alibi in his formulis Thucydides articulum non addit, unde hic suspectus fit.

Ξυνέγραψε om. F. *N ἐφελκ.* non male addunt H. Reg. Bekk. in minn. exempll.

CAP. LXXI. *Τοῦ δ' ἐπιγιγνομένου* etc. „Haec ad finem usque cap. LXXIV. ob perspicuitatem laudat Dion. Hal. p. 153. [900.]" WASS. Cod. Bas. male *ἐπιγενομένου.*

Θέρους. Cl. C. F. cod. Bas. Gr. marg. Steph. *ἔτους.* At „lectioni margini adscriptae alii innumeri, qui eandem *μετάβασιν* habent, loci opponi possunt." STEPH.

Τὴν Ἀττ. Artic. om. Dan.

Δὲ ἐπί Cass. C. Pal. Reg. Vulgo (Haack. Bekk.) *δ' ἐπί.*

Λακεδαιμονίων βασιλεύς. Vat. H. Reg. *βασιλεὺς Λακεδ.* At vid. II, 19. 47. (In G. *Λα s.* v.)

Πλαταιῆς. C. Pal. H. B. Bekk.

Digitized by Google

ταῖς, εὐθὺς πρίσβεις πέμψαντες πρὸς αὐτόν, ἔλεγον τοιάδε. 2. „Ἀρχίδαμε καὶ Λακεδαιμόνιοι, οὐ δίκαια ποιεῖτε, οὐδ' ἄξια οὔτε ὑμῶν οὔτε πατέρων ὧν ἐστὲ, ἐς γῆν τὴν Πλαταιέων στρατεύοντες. Παυσανίας γὰρ ὁ Κλεομβρότου, Λακεδαιμόνιος, ἐλευθερώσας τὴν Ἑλλάδα ἀπὸ τῶν Μήδων μετὰ Ἑλλήνων τῶν ἐθελησάντων ξυνάρασθαι τὸν κίνδυνον τῆς μάχης ἢ παρ' ἡμῖν ἐγένετο, θύσας ἐν τῇ Πλαταιέων ἀγορᾷ Διὶ ἐλευθερίῳ ἱερὰ, καὶ ξυγκαλέσας πάντας τοὺς ξυμμάχους, ἀπεδίδου Πλαταιεῦσι γῆν καὶ πόλιν τὴν σφετέραν ἔχοντας αὐτονόμους οἰκεῖν, στρατεύσαί τε μηδένα ποτὲ ἀδίκως ἐπ' αὐτοὺς, μηδ' ἐπὶ δουλείᾳ· εἰ δὲ μή, ἀμύνειν τοὺς παρόντας ξυμμάχους κατὰ δύναμιν. 3. τάδε μὲν ἡμῖν πατέρες οἱ ὑμέτεροι ἔδοσαν ἀρετῆς ἕνεκα καὶ προθυμίας τῆς ἐν ἐκείνοις τοῖς κινδύνοις γενομένης. ὑμεῖς δὲ τἀναντία δρᾶτε· μετὰ γὰρ Θηβαίων τῶν ἡμῖν ἐχθίστων ἐπὶ δουλείᾳ τῇ ἡμετέρᾳ ἥκετε. 4. μάρτυρας δὲ θεοὺς τούς τε ὁρκίους τότε γενομένους ποιούμενοι, καὶ τοὺς ὑμετέρους πατρῴους, καὶ ἡμετέρους ἐγχωρίους, λέγομεν ὑμῖν τὴν γῆν τὴν Πλαταιΐδα μὴ ἀδι-

οά'. 10. *Αὐτονόμους*] τοὺς *Πλαταιεῖς* δηλονότι. (λ. *Αὐγ.*)

Cf. I. 1. p. 221. Cass. Reg. cod. Bas. Mosqu. Ar. Chr. Dan. hic et paulo post, ubi Gr. assentitur, *Πλαταιεῖς*, quod Gottleb. recepit. Prius *Πλαταιῆς*.

Πρὸς αὐτόν. E. *παρ' αὐτόν.* Laur. *παρ' αὐτῶν.*

2. *Ἀρχίδαμε.* Cod. vet. Steph. *ὦ Ἀρχ.*

Οὐδ'. Dion. Hal. p. 901. *οὔτε.*

Πλαταιέων. Ita omnes, ut videtur, libri. Unus Bekk. *Πλαταιῶν.* At vid. I. 1. p. 222., quibuscum tamen conferas quae supra c. 2. in discr. script. dicta sunt.

Γάρ. Ar. *δέ.*

Ἐν τῇ. Ar. om. *τῇ.*

Διὶ ἐλευθερίῳ ἱερά. Laur. E. m. Ar. Chr. Dan. *ἱερὰ Διὶ ἐλευθ.* Pro *ἱερά* in cod. vet. Dion. Hal. *ἱερᾷ.*

Ξυγκαλέσας. Vat. *ξυμμάχους.* In H. *ξυγκ. π. τ. ξυμμ.* de.

Ποτέ om. C. F. cod. Bas. Gr.

Γῆν s. v. al. man. I.

3. *Ἡμῖν.* Pal. H. Reg. (G.) E. *ὑμῖν.*

Πατέρες οἱ ὑμέτ. Cam. *οἱ πατ. οἱ ὑμέτ.* D. et I. *πατέρες* in marg. habent, ille cad. man., hic al. man.

Κινδύνοις. Marg. Steph. *χρόνοις.*

Τἀναντία δρᾶτε. Dion. Hal. p. 903. *τάναντ. ἐκείνοις δρᾶτε.*

Τούς τε ὁρκίους τότε. Pal. *τοὺς τότε ὁρκίους.*

4. *Τμετέρους.* Gr. Dion. Hal. *ἡμετ.*

Τὴν γῆν. Laur. E. Ar. Chr. Dion. Hal. om. *τήν*, sane non male. Cf. c. 74. et *χώραν τὴν Πλαταιΐδα* III. 58.

Πλαταιΐδα. Ita etiam alibi

Digitized by Google

μεῖν, μηδὲ παραβαίνειν τοὺς ὅρκους, ἐᾶν δὲ οἰκεῖν αὐτονόμους, καθάπερ Παυσανίας ἐδικαίωσε."

(*Λόγοι Ἀρχιδάμου καὶ Πλαταιέων περὶ ξυμβάσεως.*)

οβ'. Τοσαῦτα εἰπόντων Πλαταιέων, Ἀρχίδαμος ὑπολαβὼν εἶπε. „Δίκαια λέγετε, ὦ ἄνδρες Πλαταιῆς, ἢν ποιῆτε ὅμοια τοῖς λόγοις. καθάπερ γὰρ Παυσανίας ὑμῖν παρέδωκεν, αὐτοί τε αὐτονομεῖσθε, καὶ τοὺς ἄλλους ξυνελευθεροῦτε, ὅσοι, μετασχόντες τῶν τότε κινδύνων, ὑμῖν τε ξυνώμοσαν, καὶ εἰσὶ νῦν ὑπ' Ἀθηναίοις, παρασκευή τε τοσήδε καὶ πόλεμος γεγένηται αὐτῶν ἕνεκα καὶ τῶν ἄλλων ἐλευθερώσεως· ἧς μάλιστα μὲν μετασχόντες καὶ αὐτοὶ ἐμμείνατε τοῖς ὅρκοις· εἰ δὲ μή, ἅπερ καὶ τὸ 144. πρότερον ἤδη προὐκαλεσάμεθα, ἡσυχίαν ἄγετε, νεμόμε-

οβ'. 3. *Τπολαβών*] ἀποκριθεὶς ἢ ὑπονοήσας ἢ ἐνθυμηθείς. (*Κασσ. Ἀνγ.*) — 4. ** *Δίκαια λέγετε* — —] μέμνηται καὶ ταύτης τῆς δημηγορίας Πλούταρχος ἐν τοῖς πολιτικοῖς παραγγέλμασι. (*Κασσ. Ἀνγ.*) — 6. *Αὐτοί τε αὐτονομεῖσθε*] τοῖς οἰκείοις νόμοις ἀκωλύτως χρῆσθε.

Thuc., non *Πλαταΐδα*. Cf. Lob. ad Phryn. p. 41.

Cap. LXXII. *Πλαταιέων*. Cass. Bekk. *Πλαταιῶν*. Vid. ad cap. praeced. Laur. E. Ar. Chr. Dan. Dion. *τῶν Πλαταιέων*.

Εἶπε Cass. F. H. G. D. I. E. m. Dan. et haud dubie alii quoque libri. Ante Haack. *εἶπεν*.

Ἄνδρες om. C. F. cod. vet. Steph. Gr. I. Quod in similibus formulis in aliquot libris excidit c. 89. et III, 9, sed *ὦ ἄνδρες Πλαταιῆς* constanter legitur proximo cap.

Πλαταιῆς rursus C. Pal. H. B. m. Bekk. Plerique libri *Πλαταιεῖς*. Ante Gottl. *Πλαταιῇς*. Vid. ad cap. 71.

Ἢν. Mosqu. *ἤ*.

Ποιῆτε. Gr. *ποιεῖτε*. Pro *τοῖς* statim G. *τῆς*.

Γάρ de. Cass. E.

Αὐτοί. H. *αὐτός*.

Τοὺς ἄλλους. C. It. cod. Bas. *τοῖς ἄλλοις*.

Μετασχόντες. Dan. *μετασχέντες*.

Τότε. Vat. *ποτέ*.

Νῦν om. C. Laur. In E. *εἰσίν* et deinde *vv* s. v. al. man.

Παρασκευή τε. Laur. E. m. *παρ. δέ*. Quod autem ante haec verba vulgo legitur punctum, cum Bekk. in comma mutavimus. Vid. not.

Καὶ τῶν ἄλλων. Ar. Chr. Dan. *καὶ τῆς τῶν ἄλλων*, quod Reiskio placebat. At vid. Krüg. l. l. p. 168. Supra I, 143. *ὀλίγων ἡμερῶν ἕνεκα μεγάλου μισθοῦ δόσεως*. Tota verba *καὶ τῶν ἄλλων* a Valla non expressa Krüg. suspecta reddere studet. At vid. adnot.

Καὶ αὐτοί. Reg. *καὶ οἱ αὐτ.*

Ἐμμείνατε. I. *ἐμείνατε*, *μ* s. *μ* al. man.

Τὸ πρότερον. Laur. E. Ar. Chr. Dan. om. *τό*.

Ἄγετε. G. *ἄγεται*.

Digitized by Google

νοι τὰ ὑμέτερα αὐτῶν, καὶ ἔστε μηδὲ μεθ' ἑτέρων, δέχεσθε δὲ ἀμφοτέρους φίλους, ἐπὶ πολέμῳ δὲ μηδ' ἑτέρους· καὶ τάδε ἡμῖν ἀρκέσει." 2. Ὁ μὲν Ἀρχίδαμος τοσαῦτα εἶπεν. οἱ δὲ Πλαταιέων πρέσβεις, ἀκούσαντες ταῦτα, ἐσῆλθον ἐς τὴν πόλιν, καὶ τῷ πλήθει τὰ ῥηθέντα κοινώσαντες, ἀπεκρίναντο αὐτῷ ὅτι ἀδύνατα σφίσιν εἴη ποιεῖν ἃ προκαλεῖται, ἄνευ Ἀθηναίων· παῖδες γὰρ σφῶν καὶ γυναῖκες παρ' ἐκείνοις εἶησαν· δεδιέναι δὲ καὶ περὶ τῇ πάσῃ πόλει, μὴ, ἐκείνων ἀποχωρησάντων, Ἀθηναῖοι ἐλθόντες σφίσιν οὐκ ἐπιτρέπωσιν, ἢ Θηβαῖοι, ὡς ἔνορκοι ὄντες κατὰ τὸ ἀμφοτέρους δέχεσθαι, αὖθις σφῶν τὴν πόλιν πειράσωσι καταλαβεῖν. 3. ὁ δὲ, θαρσύνων αὐτοὺς, πρὸς ταῦτα ἔφη. „Ὑμεῖς δὲ πόλιν μὲν καὶ οἰκίας ἡμῖν παράδοτε τοῖς Λακεδαιμονίοις, καὶ γῆς ὅρους

7. Ἄνευ Ἀθηναίων] τῆς γνώμης δηλονότι. — 8. Παρ' ἐκείνοις] τοῖς Ἀθηναίοις. — 10. Οὐκ ἐπιτρέπωσιν] οὐ δώσουσιν ἄδειαν τοῖς Πλαταιεῦσιν ἐμμένειν τοῖς ὅρκοις.

Αὐτῶν. Reg. αὐτῶν.

Πολέμῳ δέ. Δέ om. Cass. Aug.

Μηδ' ἑτέρους. Vind. μηδετέρους.

Τάδε. D. I. ταῦτα.

Ἀρκέσει It. Vat. G. B. Laur. E. Vind. Ar. Chr. Dan. marg. Steph. Vall. Dion. Hal. p. 903. Bekk. Quam scripturam probat Schaef. in Ind. ad Pors. Advers. s. ἀρέσκειν p. 345. Vulgo (et Haack.) ἀρέσκει, in qua scriptura καί offendit. In forma futuri si haereas, ea iam I, 93. adfuit. Cf. ad Xen. Cyr. I, 4, 20.

2. Ὁ μέν. Mosqu. addit οὖν.

Ἀρχίδαμος τοσαῦτα. Gr. τοσαῦτα Ἀρχίδ.

Πλαταιέων. Dion. Hal. Πλαταιῶν. Vid. antea.

Προκαλεῖται. Gr. προκαλεῖτε, ut etiam infra.

Γάρ om. F. Statim B. ἐκείοις.

Τῇ πάσῃ πόλει. It. Dion. πάσῃ τῇ πόλει.

Θηβαῖοι. F. Θηβαίοις.

Πειράσωσι. Cass. Pal. H. Vat. It. Mosqu. πειράσουσι, H. tamen σωσι s. σουσι. Sic μή cum fut. post verba metuendi nonnulli libri coniungebant I, 86. ubi vid. Hic vero coniunctivus praecedit, quanquam eundem transitum habes Aesch. Pers. v. 117. sqq., nisi ibi cum Wellauero interpungis; nec ille durior est, quam qui I. 1. p. 270. sqq. memorati sunt.

3. Ὑμεῖς. Reg. ὑμῖν.

Πόλιν μέν. Ar. Chr. Dan. πόλιν ὑμῶν.

Ἡμῖν παράδοτε Cass. C. F. Pal. Vat. H. Reg. (G.) Gr. D. I. Lamr. E. m. Chr. Haack. Bekk. Vulgo παράδοτε ἡμῖν. At in ἡμῖν hic maior vis inest, quum Lacedaemonii se Atheniensibus et Thebanis opponant, et in epexegesi pronomen ita ab appositione sua seiungi satis docent alia exempla. Vid. I. 1. p. 205.

Digitized by Google

ἀποδείξατε, καὶ δένδρα ἀριθμῷ τὰ ὑμέτερα, καὶ ἄλλο εἴ τι δυνατὸν ἐς ἀριθμὸν ἐλθεῖν· αὐτοὶ δὲ μεταχωρήσατε ὅποι βούλεσθε, ἕως ἂν ὁ πόλεμος ᾖ. ἐπειδὰν δὲ παρέλθῃ, ἀποδώσομεν ὑμῖν ἃ ἂν παραλάβωμεν. μέχρι δὲ τοῦδε ἕξομεν παρακαταθήκην, ἐργαζόμενοι, καὶ φορὰν φέροντες ἣ ἂν ὑμῖν μέλλῃ ἱκανὴ ἔσεσθαι."

(*Πλαταιῆς ἐς Ἀθήνας πρέσβεις πέμψαντες ξυμβουλεύονται.*)

ογ'. Οἱ δ', ἀκούσαντες, ἐξῆλθον αὖθις ἐς τὴν πόλιν, καὶ βουλευσάμενοι μετὰ τοῦ πλήθους, ἔλεξαν ὅτι βούλονται, ἃ προκαλεῖται, Ἀθηναίοις κοινῶσαι πρῶτον, καὶ ἢν πείθωσιν αὐτούς, ποιεῖν ταῦτα· μέχρι δὲ τούτου σπείσασθαι σφίσιν ἐκέλευον, καὶ τὴν γῆν μὴ δηοῦν. ὁ δὲ ἡμέρας τε ἐσπείσατο ἐν αἷς εἰκὸς ἦν κομισθῆναι, καὶ τὴν γῆν οὐκ ἔτεμνεν. 2. ἐλθόντες δὲ οἱ Πλαταιῆς πρέ-

1. *Εἴ τι δυνατόν*] λείπει τὸ ἐστί. — 4. *Μέχρι δὲ τοῦδε*] τοῦ καιροῦ τοῦ πολέμου. — 5. *Ἐργαζόμενοι*] τὴν γῆν δηλονότι. — 6. *Ἱκανή*] εἰς τροφὴν δηλονότι.

ογ'. 9. *Ἀθηναίοις κοινῶσαι*] πρεσβεύσασθαι πρὸς τοὺς Ἀθηναίους δηλονότι. (λ. Κασσ. Ἀνγ.) — 12. *Κομισθῆναι*] ἀναστρέψαι. — 13. *Οὐκ ἔτεμνε*] σημείωσαι ὅτι τὸ τεμεῖν ἀδιαφόρως καὶ

Δυνατὸν ἐς. Cass. *δυνατόν ἐστιν ἐς*, quod *ἐστίν* in Aug. man. rec. efficere studuit. Ex Schol.

Ἐλθεῖν. Ar. Chr. Dan. *ἐλεῖν.*

Μεταχωρήσατε. C. *παραχωρήσατε.*

Ὅποι. Cl. E. m. Ar. Chr. *ὅπῃ.*

Ἃ ἂν παραλάβωμεν. Haec vulgo propter similem terminationem verborum *ἀποδώσομεν* et *παραλάβωμεν* exciderant, sed ex Cass. Aug. Cl. Pal. It. Vat. Reg. Gr. D. Laur. m. Ar. Chr. Dan. Bar. Ald. Flor. Bas. Vall. Dion. Hal. p. 904 restituta sunt ab Haack. et Bekk., quod, si absunt, *ἀποδώσομεν* nimis nude positum est. C. solum *ὑμῖν* addit.

Μέχρι δέ. D. I. *μέχρι μέν.*

Τοῦδε Cass. Cl. Pal. Reg. Gr. D. I. Mosqu. m. Ar. Chr. Bar. Ald. Flor. Bas. Steph. 1. et haud dubie reliqui libri. Inepte inde a Steph. 2. *τοῦ δέ*, quod Haack. correxit.

Τμῖν μέλλῃ ἱκανή. F. *ἱκανὴ ὑμῖν μέλλοι.* Postremum habet etiam I., cum *ᾖ s. ōī* ead. man. In D. *μέλλει.*

Cap. LXXIII. *Αὖθις* in H. s. v. ead. man. Mosqu. *πάλιν.*

Προκαλεῖται. Gr. *προκαλεῖτε.* Dan. *προκαλοῦνται.*

Κοινῶσαι. Dan. *κοινωνῆσαι.* Statim comma post *πρῶτον* pro puncto primus posuit Haack.

Μέχρι δέ. Cod. Bas. *μέχρι δή.*

Τούτου. Ar. Chr. *τοῦδε.* At „*τοῦδε* praecesserat." WASS.

Ἐσπείσατο. E. *ἐσπείσαντο*, sed *ν* eras.

Ἔτεμνεν. F. *Ἔτεμε.*

2. *Ἐλθόντες δέ.* D. om. *δέ.*

Πλαταιῆς C. Pal. H. B. m. Bekk. Plerique libri (quos no-

Digitized by Google

σβεις ὡς τοὺς Ἀθηναίους, καὶ βουλευσάμενοι μετ' αὐτῶν, πάλιν ἦλθον ἀπαγγέλλοντες τοῖς ἐν τῇ πόλει τοιάδε. 3. „Οὔτε ἐν τῷ πρὸ τοῦ χρόνῳ, ὦ ἄνδρες Πλαταιῆς, ἀφ' οὗ ξύμμαχοι ἐγενόμεθα, Ἀθηναῖοί φασιν ἐν οὐδενὶ ἡμᾶς προέσθαι ἀδικουμένους, οὔτε νῦν περιόψεσθαι, βοηθήσειν δὲ κατὰ δύναμιν. ἐπισκήπτουσί τε ὑμῖν πρὸς τῶν ὅρκων οὓς οἱ πατέρες ὤμοσαν, μηδὲν νεωτερίζειν περὶ τὴν ξυμμαχίαν."

(*Πλαταιέων οὐ βουλομένων Ἀθηναίους προδιδόναι Ἀρχίδαμος τοὺς θεοὺς ἐπιμαρτύρεται.*)

145. οδ'. Τοιαῦτα τῶν πρέσβεων ἀπαγγειλάντων, οἱ Πλαταιῆς ἐβουλεύσαντο Ἀθηναίους μὴ προδιδόναι, ἀλλ' * ἀνέχεσθαι * καὶ γῆν τεμνομένην, εἰ δεῖ, ὁρῶντας, καὶ

ἐπὶ τῆς γῆς, ὥςπερ τὸ δηῶσαι, τίθεικεν. — 2. *Ἀπαγγέλλοντες*] *οἱ Πλαταιεῖς δηλονότι.* — 6. *Ἐπισκήπτουσι*] *παραικελεύονται.*

minatos vide I. 1. p. 474.) *Πλαταιεῖς*. Ante Gottl. *Πλαταιῆς*. Cf. I. 1. p. 221. F. *Πλαταιῶν*.

Ἀπαγγέλλοντες. Reg. Laur. E. Vind. Ar. Chr. *ἀγγέλλοντες*. Dan. *ἀναγγέλλοντες*. At vid. cap. 74. init. D. *ἐπαγγελλον, τες* s. v. al. man.

Τοιάδε. Ar. Chr. Dan. *τάδε*. „Ita vix alibi noster." WASS. Cf. ad VI., 8. In m. quidem pariter *τάδε*, sed *τοιάδε* supra script.

3. *Οὔτε* plene Cass. Pal. H. Reg. (G.) Gr. D. I. Vulgo *οὔτ'*. Cf. Farr. discr. script.

Πλαταιῆς rursus C. Pal. H. Bekk. pro *Πλαταιεῖς* et *Πλαταιῆς*. Vid. paulo ante.

Ἡμᾶς. Cl. F. Pal. It. Vat. H. G. D. I. Laur. E. m. Vall. *ὑμᾶς*. „Benedictus praefert *ὑμᾶς*. Mihi vulgatum aptius videtur propter verba *ἀφ' οὗ ξύμμαχοι ἐγενόμεθα*." HAACK. In proximis autem *ἐπισκήπτουσί τε ὑμῖν* modestia postulabat, ut prima persona in secundam mutaretur.

Πρὸς τῶν. Laur. *πρὸ τῶν*. G. *πρώτων*.

CAP. LXXIV. *Πλαταιῆς* rursus C. H. B. Bekk. pro *Πλαταιεῖς* vel *Πλαταιῆς*. Vid. antea.

Ἀθηναίους. H. *Ἀθηναίοις, ους* s. *οις* al. man.

Ἀνέχεσθαι. Cass. Cl. Vat. H. Reg. (G.) *ἀντέχεσθαι*, quod Valla per *resistere* interpretaturus erat. Quod si haec scriptura vera sit, „subaudiendum *αὐτῶν*, i. e. *Ἀθηναίων*, quod fortassis praeferendum." HAACK. *Ἀντέχεσθαι adhaerere* tamen de *rebus* potius dicitur, quas *amplectimur*, quibus *operam damus*, sicut *θαλάσσης ἀντέχεσθαι* Thucydides scripsit.

Δεῖ. Dion. *δέοι*, quod sine causa placebat Kistemak.

Digitized by Google

ἄλλο πάσχοντας ὅ τι ἂν ξυμβαίνῃ· ἐξελθεῖν τε μηδένα ἔτι, ἀλλ' ἀπὸ τοῦ τείχους ἀποκρίνασθαι ὅτι ἀδύνατα σφίσι ποιεῖν ἐστὶν ἃ Λακεδαιμόνιοι προπαλοῦνται. 2. ὡς δὲ ἀπεκρίναντο, ἐντεῦθεν δὴ πρῶτον μὲν ἐς ἐπιμαρτυρίαν καὶ θεῶν καὶ ἡρώων τῶν ἐγχωρίων Ἀρχίδαμος [ὁ] βασιλεὺς κατέστη, λέγων ὧδε. 3. „Θεοὶ ὅσοι γῆν τὴν Πλαταιΐδα ἔχετε, καὶ ἥρωες, ξυνίστορες ἔστε ὅτι οὔτε τὴν ἀρχὴν ἀδίκως, ἐκλιπόντων [δὲ] τῶνδε πρότερον τὸ ξυνώμοτον, ἐπὶ γῆν τήνδε ἤλθομεν, ἐν ᾗ οἱ πατέρες ἡμῶν εὐξάμενοι ὑμῖν Μήδων ἐκράτησαν, καὶ παρέσχετε αὐτὴν εὐμε-

οὐ. 3. *Προπαλοῦνται*] *ἐπισπῶνται.* — 10. *Καὶ παρέσχετε*] *οἱ θεοὶ δηλονότι.*

Ξυμβαίνῃ. H. Reg. (G.) *ξυμβαίνοι*, quod olim in Obss. critt. probatum postea reiecimus I. 1. p. 142. Gr. *ξυμβαίνει*. D. I. *ξυμβαίῃ*.

Ἐξελθεῖν τε. I. *ἐξελθεῖν δέ.*

Ἀπό. Vat. H. Reg. (G.) *ὑπό.* In Reg. marg. man. rec. *γρ. ἐπί.*

Τοῦ τείχους. *Τοῦ* om. Cass. et unus Par.

Ἀδύνατα. Chr. *ἀδύνατον.* Cf. ad I, 1.

2. *Τῶν ἐγχωρίων.* Dan. *καὶ τῶν ἐγχ.*

Ὁ βασιλεύς. *Ὁ* om. Cass. Cl. Pal. It. Vat. H. Reg. (G.) Itaque unc's circumscripsimus. Vid. not.

Ὧδε. In Mosqu. post *ὧδε* legitur *Ἀρχίδαμος.*

3. *Γῆν.* Mosqu. *τὴν γῆν.* Cf. c. 71, 4.

Τὴν Πλαταιΐδα. *Τήν* om. H. Reg. (G.)

Ξυνίστορες ἔστε. Vulgo *ξυνίστορές ἐστε.* „Ut haec accipiantur tanquam in imperandi modo dicta, rectius, ut opinor, *ξυνίστορες ἔστε* scribetur, itidemque paulo post *ξυγγνώμονες δὲ ἔστε.*" STEPH. Ita Cass. Vall. Haack. Bekk., et in *ξυγγνώμ. δὲ ἔστε* saltem imperativus necessarius.

Ἀδίκως. Ante Haack., qui Duk. et Kistemak. obsecutus est, virgula perperam post *ἀρχήν* collocabatur.

Ἐκλιπόντων δὲ τῶνδε. *Δέ* ex Cass. Pal. Reg. (G.) E. Vind. Mosqu. Ar. Chr. Thom. Mag. in *συνώμοτον* inseruimus, etsi non omnino necessarium est. Vat. et H. pro *δὲ τῶνδε* solum *δέ* exhibent, quanquam in H. marg. *τῶνδε* al. man. suppl., Laur. *δὲ τῶν.* Pro *ἐκλιπόντων* D. *ἐκλειπόντων.* Statim Vind. *ξυνώμοντο.*

Γῆν τήνδε. Cl. Mosqu. *τὴν γῆν τήνδε.* Cf. adnot. et interea I. 1. p. 196.

Τμῖν. „Post *εὐξάμενοι* additum ex veteri fuit *ὑμῖν.*" STEPH. „Non intelligo quid velit. Nam iam dudum ante secundam illius edit. in Vasc. et Bas. legebatur *ὑμῖν.* Nec dubito, quin etiam in aliis sit, quum ex iis nullam varietatem adnotaverit Hudsonus." DUK. Om. C.

Παρέσχετε. Ar. Chr. *παρέχετε.* Mox Vind. *ἐν ἀγωνίσασθαι.*

Digitized by Google

νῦν ἐναγωνίσασθαι τοῖς Ἕλλησιν, οὔτε νῦν, ἦν τι ποιῶμεν, ἀδικήσομεν· προκαλεσάμενοι γὰρ πολλὰ καὶ εἰκότα, οὐ τυγχάνομεν. ξυγγνώμονες δὲ ἔστε τῆς μὲν ἀδικίας κολάζεσθαι τοῖς ὑπάρχουσι πρότερον, τῆς δὲ τιμωρίας τυγχάνειν τοῖς ἐπιφέρουσι νομίμως."

(Ἡ πολιορκία τῆς Ποτιδαίας ἄρχεται.)

οε'. Τοσαῦτα ἐπιθειάσας, καθίστη ἐς πόλεμον τὸν στρατόν. καὶ πρῶτον μὲν περιεστανώρωσεν αὐτοὺς τοῖς δένδρεσιν ἃ ἔκοψαν, τοῦ μηδένα ἔτι ἐξιέναι· ἔπειτα χῶμα ἔχουν πρὸς τὴν πόλιν, ἐλπίζοντες ταχίστην αἵρεσιν ἔσεσθαι αὐτῶν, στρατεύματος τοσούτου ἐργαζομένου. 2. ξύλα μὲν οὖν τέμνοντες ἐκ τοῦ Κιθαιρῶνος, παρῳκοδό-

1. Ἐναγωνίσασθαι] ἐν αὐτῇ τὸν ἀγῶνα τελέσαι. — 4. Τῆς δὲ τιμωρίας] τῆς ἐκδικήσεως.

οε'. 6. Ἐπιθειάσας] κατευξάμενος. (Λύγ.) — 7. Περιεστανώρωσεν] ὁ Ἀρχίδαμος δηλονότι. (λ. Κασσ.) περιεχαράκωσεν, ὅτι οἱ παλαιοὶ τὰ ὀρθὰ ξύλα ἐκάλουν σταυρούς. — Τοῖς δένδρεσι] σημείωσαι τὸ δένδρος εὐθεῖαν. — 9. Ἔχουν] συνεπόμιζον. — Πρὸς τὴν πόλιν] οὐ διὰ παντὸς τοῦ τείχους ἀλλ' ἐν μέρει τινί. (Κασσ. Λύγ.) — Αἵρεσιν] πόρθησιν.

Ἀδικήσομεν. Gr. ex emend. ἀδικήσωμεν. Statim pro puncto cum Bekk. colon posuimus.

Ξυγγνώμονες δὲ ἔστε. De accentu vide paulo ante. Virgulam autem post ἔστε cum Bekk. delevimus, ut dativus ad ξυγγνώμονες referatur.

Τῆς μέν. F. τοῖς μέν.

Τῆς δέ. F. τοῖς δέ. Dan. τοῖςδε.

Cap. LXXV. Τοσαῦτα ἐπιθειάσας. „Suidas h. v. τινὰ ἐπιθ. pro τοσαῦτα, hinc emendandus." WASS. Huc respicere etiam Etym. M. docet Hemsterhus. in Duk. praef. Vid. de Art. crit. p. 68. In Pal. pro ἐπιθειάσας fuerat ἐπιθιάσας.

Πόλεμον. G. I. τὸν πόλ.

Καὶ πρ. — ἐξιέναι. „[Gregor] Corinth. [p. 61.] Voc. δένδρεσιν agnoscit etiam Thom. Mag." WASS. „Corinthius etiam καὶ πρῶτα habet. [Unus tamen cod. πρῶτον.] Περιεστανώρωσαν [in aliis codd. ἐστανώρωσαν et περιέστρωσαν] sive in exemplari suo invenit, sive de se posuit, sine detrimento sententiae scribi potest." DUK. Atque sic E. At vid. I. 1. p. 96. et Krüg. de Authent. Anab. Xenoph. p. 48.

Ἔκοψαν. D. I. ἔκοψεν, in I. tamen ἂν s. ἐν al. man.

Τοῦ nonnulli libri Greg. Cor. temere om.

Ἔτι ἐξιέναι. Laur. E. ἐπεξιέναι. Ar. Chr. ἔτι ἐπεξιέναι.

Χῶμα. Laur. E. m. marg. Steph. χώματα. Ar. Chr. Dan. χῶμά τι.

2. Ξύλα — χῶμα. „Habet Suidas in φορμηδόν." WASS.

Digitized by Google

μουν ἐκατέρωθεν, φορμηδὸν ἀντὶ τοίχων τιθέντες, ὅπως μὴ διαχέοιτο ἐπικολὺ τὸ χῶμα. ἐφόρουν δὲ ὕλην ἐς αὐτό, καὶ λίθους, καὶ γῆν, καὶ εἴ τι ἄλλο ἀνύτειν μέλλοι σχεδὸν ἐπιβαλλόμενον. 3. ἡμέρας δὲ ἔχουν ἑβδομήκοντα καὶ νύκτας ξυνεχῶς, διῃρημένοι κατ' ἀναπαύλας, ὥστε τοὺς μὲν φέρειν, τοὺς δὲ ὕπνον τε καὶ σῖτον αἱρεῖσθαι· Λακεδαιμονίων τε οἱ ξεναγοὶ ἑκάστης πόλεως ξυνεφεστῶτες ἠνάγκαζον ἐς τὸ ἔργον. 4. οἱ δὲ Πλαταιῆς, ὁρῶντες τὸ χῶμα αἰρόμενον, ξύλινον τεῖχος ξυνθέντες, καὶ ἐπιστήσαντες τῷ ἑαυτῶν τείχει ᾗ προσεχοῦτο, ἐξῳκοδόμουν ἐς αὐτὸ πλίνθους, ἐκ τῶν ἐγγὺς οἰκιῶν καθαιροῦντες. 5. ξύνδεσμος δ' ἦν αὐτοῖς τὰ ξύλα, τοῦ μὴ, ὑψηλὸν γιγνό-

ἀπὸ τῆς ἀρχῆς τοῦ Ἰουλίου μηνός.

1. *Φορμηδόν*] ψιαθηδόν. φορμὸς γὰρ ψίαθος, ὅστις ἐναλλὰξ ἔχων τὸ πλέγμα ἐστί. — 3. *Ἀνύτειν*] τελεσιουργεῖν πρὸς ὕψος. οἱ Ἀττικοὶ τὸ ἀνύειν ἀνύτειν φασί. — 5. *Ξυνεχῶς*] ἀδιαστάτως. (λ. Ἀὐγ.) — 6. *Σῖτον*] τὸ σῖτον οὐδετέρως. (λ. Ἀὐγ.) — *Αἱρεῖσθαι*] λαμβάνειν. (λ. Ἀὐγ.) — 7. *Οἱ ξεναγοί*] οἱ τῶν μισθοφόρων ἄρχοντες· ξένους γὰρ ἐκάλουν τοὺς μισθοφόρους.

Τοίχων. F. *τειχων*.

Ἐφόρουν — ἐπιβαλλόμενον. „Suidas in *ἐφόρουν*, ubi est *τὴν ὕλην*." DUK. Sic etiam Zon. p. 937., ubi praeterea male *εἰς αὐτόν*.

Καὶ εἴ τι — ἐπιβαλλόμενον. „Hunc locum laudat Greg. de dial. p. 29. [71.], ut probaret *ἀνύτειν* esse Atticorum." GOTTL.

Ἀνύτειν. Reg. Laur. Ald. Flor. Bas. *ἀνύττειν*. At vid. Schaef. ad Greg. l. l. B. *ἀνύπτειν*. Suid. *ἀνύσειν*. Porso apud tragicos *ἀνύτειν* per spiritum aspetum secundum Moeridis aliorumque Atticistarum praecepta exarat. Vid. tamen ad Xen. Cyr. I, 6, 5. et Herm. ad Soph. El. v. 1443. et Eur. Bacch. v. 1092.

Ἐπιβαλλόμενον. Pal. *ἐπιβαλόμενον*.

3. *Ὕπνον τε καὶ σῖτον*. F. om. *τέ*. E. habet *σῖτόν τε καὶ ὕπνον*.

Ξεναγοί. Chr. *ξεναγωγοί*. Cf. Lob. ad Phryn. p. 430. et adnot. „Suidas in *ξεναγῶν*, *οἵ τε ξεναγοὶ ἐκ πάσης πόλεως ξυνεφεστ. ἡ. ἐ. τ. ξ.*" WASS.

Ἑκάστης. Gr. *τῆς ἑκάστης*. D. Laur. E. m. Ar. Chr. Dan. *καὶ ἑκάστης*.

Ξυνεφεστῶτες. Laur. E. Vind. m. Ar. Chr. Dan. *ἐφεστ.*

4. *Πλαταιῆς* rursus C. Pal. H. B. Bekk. Vulgo *Πλαταιῆς* vel *Πλαταιεῖς*. Cf. c. 71.

Αἰρόμενον. I. Dan. *αἰρούμενον*, in I. marg. al. man. *αἰρόμενον*.

Ἑαυτῶν. Dan. *αὐτῶν*.

ἯΙ. C. *ὧ*.

Προσεχοῦτο. C. *προσεχεῖτο*. Gr. D. I. *προσεχοῦντο*, sed in marg. D. ead. man. *οῦ* atque in marg. I. al. man. *προσεχοῦτο*.

Ἐξῳκοδόμουν. Gr. D. *ἐπῳκοδ.*

5. *Ξύνδεσμος*. In I. syllaba *ξῦν s.* v. ead. man.

Τοῦ μή. Dan. om. *τοῦ*.

Ὑψηλόν. D. *ψηλόν*.

Γιγνόμενον. Reg. (G.) *γενόμενον* et supra man. rec. *γιγν.*

Digitized by Google

μενον, ἀσθενὲς εἶναι τὸ οἰκοδόμημα· καὶ προκαλύμματα εἶχε δέῤῥεις καὶ διφθέρας, ὥστε τοὺς ἐργαζομένους καὶ τὰ ξύλα μήτε πυρφόροις ὄϊστοῖς βάλλεσθαι, ἐν ἀσφαλείᾳ τε εἶναι. 6. ἦρετο δὲ τὸ ὕψος τοῦ τείχους μέγα, καὶ τὸ χῶμα οὐ σχολαίτερον ἀντανήει αὐτῷ. καὶ οἱ Πλαταιῆς τοιόνδε τι ἐπινοοῦσι· διελόντες τοῦ τείχους ᾗ προσέπιπτε τὸ χῶμα, ἐσεφόρουν τὴν γῆν.

(Ἡ πολιορκία τῆς Ποτιδαίας διατιλεῖ ἐγγραφομένη.)

οϛ'. Οἱ δὲ Πελοποννήσιοι αἰσθόμενοι, ἐν ταρσοῖς καλάμου πηλὸν ἐνείλλοντες ἐξέβαλον ἐς τὸ διῤῥημένον, ὅπως μὴ διαχεόμενον, ὥσπερ ἡ γῆ, φοροῖτο. 2. οἱ δὲ,

5. Οὐ σχολαίτερον] οὐ βραδύτερον. (Ἀϋγ.) — Ἀντανήει] † ἀντήρετο †. (λ. Ἀϋγ.)

οϛ'. 8. Ἐν ταρσοῖς καλάμου] ἐν πλέγμασιν ἀπὸ καλάμου πεποιημένοις. — 9. Ἐνείλλοντες] ἐμπλέκοντες. (λ. Ἀϋγ.)

Οἰκοδόμημα. Marg. Ald. Vinar. οἴκημα.

Προκαλύμματα. I. προκαλύματα, μ s. v. ead. man. Vind. προκάλυμμα.

Δέῤῥεις. Gr. δέρεις. Multa hic et in proximis imitari Arrianum. I. 1. p. 370. vidimus.

Καὶ τά. Καί om. Ar. Dan.

Ὄϊστοῖς. Atticum quidem vocant οἰστοῖς, sed nihil novare ausi sumus. Secus Bekk. in minn. exempll.

Ἀσφαλείᾳ. Ar. ἀσφαλεῖ. Utrumque dicitur.

6. Σχολαίτερον. Ar. Dan. σχολαιότερον. Vid. ad IV, 47. Cf. de παλαιότερος et παλαίτερος ad I, 4. D. σχολαίστερον.

Ἀντανήει. D. I. ἀντανίει, in D. cum η̄ s. ῑ al. man.

Πλαταιῆς rursus C. Pal. H. B. Bekk. Cf. §. 4.

Τοιόνδε τι. E. τοιόνδε τοι.

Ἡι. Ar. Chr. Dan. οὗ.

Ἐσεφόρουν. Reg. (G.) ἐσοφόρουν. D. marg. Flor. Vinar. Tus. ἐξεφόρουν, quod etiam Valla *egerebant* interpretatus legisse videtur.

Cap. LXXVI. Οἱ δὲ — φοροῖτο. Haec cum praeced. cap. rectius coniungit Heilm.

Ταρσοῖς. F. E. ταρσεῖς. Statim E. πηλόν om.

Ἐν ταρσοῖς — τὸ διῤῥημένον τοῦ τείχους. „Suidas in ἐνείλοντες. Ultimas voces de suo addidit; mss. enim non agnoscunt. [Paulo rectius F. τοῦ χώματος ibi inserit.] Phavorinus Suidam exscribit. Rursus Suid. in εἴλειν pro εἰσέβαλλον, quod priore loco est, [sicut ἐσέβαλλον Gr. Laur. E. Vind. Ar. Chr.] habet ἐπέβαλον. Sed ibi forte reponendum est ἐσέβαλον, quod idem in ταρσός agnoscit, ubi male ἐνείλοντες [vid. Lob. ad Phryn. p. 30.] et τείχους, ut supra. Vid. Etymol. in ταῤῥοί.“ WASS. Add. Zonar. p. 640.

Ὅπως μή. Μή s. v. G.

Διαχεόμενον. Malis διαχεόμενος, quum ad πηλόν spectet: nam durius scriptori generalem rei (πράγματος) notionem obversatam esse dicas.

Digitized by Google

ταύτῃ ἀποκληόμενοι, τοῦτο μὲν ἐπέσχον, ὑπόνομον δ' ἐκ τῆς πόλεως ὀρύξαντες, καὶ ξυνπεκμηράμενοι ὑπὸ τὸ χῶμα, ὑφεῖλκον αὖθις παρὰ σφᾶς τὸν χοῦν· καὶ ἐλάνθανον ἐπιπολὺ τοὺς ἔξω, ὥστ' ἐπιβάλλοντας ἧσσον ἀνύτειν, ὑπαγομένου αὐτοῖς κάτωθεν τοῦ χώματος, καὶ ἰζάνοντος ἀεὶ ἐπὶ τὸ κενούμενον. 3. δεδιότες δὲ μὴ οὐδ' οὕτω δύνωνται ὀλίγοι πρὸς πολλοὺς ἀντέχειν, προσπεξεῦρον τόδε· τὸ μὲν μέγα οἰκοδόμημα ἐπαύσαντο ἐργαζόμενοι τό κατὰ τὸ χῶμα, ἔνθεν δὲ καὶ ἔνθεν αὐτοῦ ἀρξάμενοι, ἀπὸ τοῦ βραχέος τείχους ἐκ τοῦ ἐντὸς μηνοειδὲς ἐς τὴν πόλιν προσῳκοδόμουν, ὅπως, εἰ τὸ μέγα τεῖχος ἁλίσκοιτο, τοῦτ' ἀντέχοι, καὶ δέοι τοὺς ἐναντίους

1. Τὸ νόμον] κεκρυμμένον ὄρυγμα. (λ. Ἀϋ.) — 2. Ξυνπεκμηράμενοι ὑπὸ τὸ χῶμα] διὰ τεκμηρίου τινὸς ἐρχόμενοι ὑπὸ τὸ χωμάτιον. (Κασσ.) — 5. † Ὑπαγομένου] † ἐνδιδόντος. (λ. Ἀϋ.) — 8. Οἰκοδόμημα] τὸ ξύλινον. (Ἀϋ.)

2. Ἀποκληόμενοι (sive ἀποληιόμ.) Pal. It. Vat. H. (in quo ει s. η al. man.) Laur. Bekk. Vulgo (et Haack,) ἀποκλειόμ. Cf. I. 1. p. 213.

Τοῦτο. „Fortasse τούτου [sicut VIII, 31. et ap. Dion. Cass. XLIX, 9.] scribendum rectius esset." STEPH. Non. Vid. adnot. ad VII, 33.

Ἐπέσχον. Pal. It. Vat. E. ἔπασχον, quod Vallam quoque, *id quidem tulerunt* interpretatum, invenisse probabile est. Ad vid. ad VII, 33.

Καὶ ξυντεκμ. — χοῦν καί om. F.

Τὸ χῶμα. Τό om. Ar. Chr. Dan.

Ὑφεῖλκον. Ar. ὑφεῖλον. At vid. Poll. I, 168. Dio Cass. LXVI, 4.

Παρά. Reg. περί.

Ἐπιβάλλοντας. Gr. ἐπιβάλλοντες.

Ἀνύτειν. Cass. Cl. Reg. cod. Bas. Laur. ἀνύττειν. Vid. ad cap. praeced.

Ὑπαγομένου. E. ὑπαγομένους.

Αὐτοῖς. C. cod. vet. Steph. εὐθύς.

3. Τόδε. F. τοιόνδε.

Ἐργαζόμενοι. Chr. τὸ κατὰ τὸ σῶμα (χῶμα) ἐργαζ.

Αὐτοῦ om. Reg. et Gr. „sed perperam. Herodot. IV, 71. ἔνθεν καὶ ἔνθεν τοῦ νεκροῦ." WASS. Post ἀρξάμ. collocat E.

Ἀρξάμενοι. Comma non hic, sed post αὐτοῦ et τείχους posuit Haack., prorsus om. Bekk. Cf. not.

Ἀπό. E. καὶ ἀπό.

Ἐκ τοῦ ἐντός. Haec si supervacanea iudices, vid. Lob. ad Soph. Ai. p. 334. et iam supra I, 133.

Μηνοειδές. F. μονοειδές.

Ἐς τὴν πόλιν post μηνοειδές collocari iusserunt Cass. Aug. Pal. It. Vat. H. Reg. (G.) Gr. D. I. Laur. E. Ar. Chr. Dan. Ald. Flor. Bas. Steph. 1. Haack. Bekk. Vulgo ante μην. legitur.

Προσῳκοδόμουν. Laur. E. m. Ar. Chr. ἐφῳκοδ.

Ἀντέχοι. Reg. (G.) ἀνέχοι. Pal. It. Vat. ἂν ἔχοι, in Pal. rec. man. ἀπ' ἔχοι. Gr. ἀνέχει.

Digitized by Google

εὐθὺς πρὸς αὐτὸ χοῦν, καὶ προχωροῦντας εἶναι διπλάσιόν τε πόνον ἔχειν, καὶ ἐν ἀμφιβόλῳ μᾶλλον γίγνεσθαι. 4. ἅμα δὲ τῇ ὁρμῇ καὶ μηχανὰς προσῆγον τῇ πόλει οἱ Πελοποννήσιοι· μίαν μὲν, ἣ τοῦ μεγάλου οἰκοδομήματος, κατὰ τὸ χῶμα προσαχθεῖσα, ἐπὶ μέγα τε κατέσεισε, καὶ τοὺς Πλαταιέας ἐφόβησεν· ἄλλας δὲ ἄλλῃ τοῦ τείχους, ἃς βρόχους τε περιβάλλοντες ἀνέπιλον οἱ Πλαταιῆς, καὶ δοκοὺς μεγάλας ἀρτήσαντες ἀλύσεσι μακραῖς σιδηραῖς ἀπὸ τῆς νομῆς ἑκατέρωθεν, ἀπὸ κεραιῶν δύο ἐπικεκλιμένων καὶ ὑπερτεινουσῶν ὑπὲρ τοῦ τείχους, ἀνελκύσαντες ἐγκαρσίας, ὁπότε προσπεσεῖσθαί πῃ μέλλοι ἡ μηχανὴ, ἀφίεσαν τὴν δοκὸν χαλαραῖς ταῖς ἁλύσεσι, καὶ

1. *Χοῦν*] ἀπὸ γυνῆς γῆς τεῖχος ποιεῖν. (λ. *Ἀὐγ.*) — 2. *Ἐν ἀμφιβόλῳ μᾶλλον γίγνεσθαι*] ἀντὶ τοῦ ἐκατέρωθεν βάλλεσθαι (λ. *Ἀὐγ.*) — *Μᾶλλον γίγνεσθαι*] τοὺς ἐναντίους δηλονότι. (λ. *Ἀὐγ.*) — 4. *Μίαν μέν*] μηχανήν. (λ. *Ἀὐγ.*) — *Τοῦ μεγάλου οἰκοδομήματος*] τῶν Πλαταιέων δηλονότι. (λ. *Ἀὐγ.*) — 5. *Κατέσεισε*] τὸ τεῖχος δηλονότι. (λ. *Ἀὐγ.*) — 6. *Ἄλλας δέ*] μηχανὰς δηλονότι. (λ. *Ἀὐγ.*) — *Τοῦ τείχους*] προσέφερον. (λ. *Ἀὐγ.*) — 7. *Ἃς βρόχους τε —*] σημείωσαι τὴν σύνταξιν, ἃς βρόχοι περιβάλλοντες. — (λ. *Κασσ. Ἀὐγ.*) — * * *Βρόχους*] σχοινία. (*Κασσ. Ἀὐγ.*) — 10. *Ὑπερτεινουσῶν*] ὑψουμένων. (λ. *Ἀὐγ.*) — 11. *Ἡ μηχανή*] τῶν Πελοποννησίων δηλονότι.

Πρός. Cl. *πάλιν πρός.* Et dicitur sane non solum *πάλιν αὖθις*, sed etiam *αὖθις πάλιν*.

Χοῦν. Inepte vulgo punctum post h. v. collocatur, quod cum Bekk. in comma mutavimus.

Προχωροῦντας. Laur. *προσχωρ.*

Ἐν ἀμφιβόλῳ. O. *ἀναμφιβόλῳ*, *ε̄* s. *α̃* al. man.

4. *Καὶ μηχανάς.* *Καί* de. Ald. Flor.

Τῇ πόλει οἱ Πελοποννήσιοι. Laur. E. m. Ar. Chr. Dan. *οἱ Πελοποννήσιοι τῇ πόλει.*

Μίαν. C. *μία.*

Οἰκοδομήματος. Vulgo virgula post h. v. om., quae aut cum Bekk. etiam post *προσαχθεῖσα* abiicienda, aut cum Haack. hic addenda erat.

Πλαταιέας. Laur. Haack, Bekk. Cf. I. 1. p. 222. Olim *Πλαταιῆς* vel *Πλαταιεῖς.* C. Pal. It. Vat. H. B. m. *Πλαταιῆς.* Sed nolim curare quae Matth. Gr. §. 82. a. adnot. 4. monuit.

Περιβάλλοντες. Dan. *παραβάλλ.* Antea *βρόχοι* legisse videtur Schol. vulg.

Πλαταιῆς rursus Pal. C. H. B. Bekk. pro *Πλαταιῆς* vel *Πλαταιεῖς.*

Μεγάλας. Gr. *μεγάλους.*

Ἀρτήσαντες. E. *ἀρτύσαντες.*

Ἐγκαρσίας Cass. Aug. Cl. Pal. It. Vat. Reg. sod. Bas. Laur. Vind. Mosqu. Ar. Chr. Dan. marg. Steph. Vall. Haack, Bekk. Vulgo *ἐγκαρσίως.* Cf. not. De Parr. tacet Gail.

Πῃ. Gr. m. Ar. Chr. Dan. *ποι.*

Χαλαραῖς. Gr. *χαλεραῖς.* Ver-

Digitized by Google

οὐ διὰ χειρὸς ἔχοντες· ἡ δὲ, ῥύμῃ ἐμπίπτουσα, ἀπεκαύ- 141
λιξε τὸ προέχον τῆς ἐμβολῆς.

(*Πελοποννήσιοι τὴν πόλιν ἐπιφλέξαι μάτην πειρῶνται.*)

οζ'. *Μετὰ δὲ τοῦτο οἱ Πελοποννήσιοι, ὡς αἵ τε μη-*
χαναὶ οὐδὲν ὠφέλουν, καὶ τῷ χώματι τὸ ἀντιτείχισμα
ἐγίγνετο, νομίσαντες ἄπορον εἶναι ἀπὸ τῶν παρόντων 5
δεινῶν ἑλεῖν τὴν πόλιν, πρὸς τὴν περιτείχισιν παρε-
σκευάζοντο. 2. πρότερον δὲ πυρὶ ἔδοξεν αὐτοῖς πειρᾶ-
σαι, εἰ δύναιντο, πνεύματος γενομένου, ἐπιφλέξαι τὴν
πόλιν, οὖσαν οὐ μεγάλην· πᾶσαν γὰρ δὴ ἰδέαν ἐπε-
νόουν, εἴ πως σφίσιν ἄνευ δαπάνης καὶ πολιορκίας 10
προσαχθείη. 3. φοροῦντες δὲ ὕλης φακέλλους, παρέβαλ-

1. *Ἀπεκαύλιξε τὸ προέχον*] *ἀπέτεμε τὸ ἄκρον.* (*Κασσ.*) — 2. *Τὸ προέχον*] *τὸ προβεβλημένον.* (*λ. Λύγ.*)

οζ'. 9. *Πᾶσαν γὰρ δὴ ἰδέαν*] *ἐκινοίας δηλονότι.* (*λ. Λύγ.*) — 11. *Φακέλους*] *φορτία.* (*Κασσ. Λύγ.*) *Φάκελος, δεσμὸς, φορτίον,*

bis *χαλαραῖς ταῖς ἁλύσεσι* utitur Procop. p. 198.

Ἔχοντες. de. Ar.

Ῥύμῃ. Ar. *ῥώμῃ.* „Exstat et alia lectio *ῥώμῃ*, eademque scripturae diversitas alibi etiam occurrit, et quidem non procul, pag. videlicet 132., sed *ῥύμῃ* utrobique libenter retinuerim.“ STEPH. „Vid. cap. 81.“ DUK. *Τῷ ἐπιφερομένῳ ἄχθει* substituunt Suid. Zon. Phavor., quos in *ἐμβολή* huc et ad proxima respicere in adnot. videbimus.

Cap. LXXVII. *Τὸ ἀντιτείχισμα. Τό* om. E.

Περιτείχισιν. Vat. H. *παρατείχισιν*, in H. s. v. al. man. *γρ. περί.*

2. *Πειρᾶσαι.* Vulgo *πειράσαι.* Accentum cum Bekk. correximus; verbum *πειράζειν* enim ignorat Thuc., ignorant cum eo Attici scriptores. Cf. Buttm. Ind. verbb. anomm. in Gr. max. Idem vitium redit c. 93. IV, 121. 128. VII, 36. 43.

Δύναιντο. Laur. *δύνωνται.* In E. quidem *δύναιντο*, sed alterum *ν* al. man.

Γενομένου. Laur. Vind. m. Ar. Chr. Dan. *γιγνομένου.*

Οὐ μεγάλην. Οὐ om. E. Ar., sed quia urbs *non* magna erat, se eam combusturos esse poterant sperare.

Δή om. Ar. Statim F. *εἰδέαν.*

Εἴπως. E. Vind. *ἐφ' ᾧ.* Laur. *ἐφῶ.* Ar. Chr. Dan. om. *πώς.*

3. *Φοροῦντες — χώματος* Suid. in *Φάκελλος*, qui om. *δέ.*

Τὴς φακέλλους. Ammon. et Thom. M. in *φάκελος* habent *φακέλους ὕλης ἀγρίας.* Cf. not. Caeterum iidem, Cl. et Gr. *φακέλους* uno *λ* afferunt, quod Gottl. et Haack. receperunt. Ante Gottl. *φακέλλους*, quod praeter illos duos libros reliqui ante Gottl. collati, Pal. It. Vat. Laur. m. Suid. agnoscunt, et a Bekk. restitutum est. De Parr. Gail. tacet. Scriptura utique dubia Vid. not.

Παρέβαλλον Cass. Aug. Pal.

Digitized by Google

λον ἀπὸ τοῦ χώματος ἐς τὸ μεταξὺ πρῶτον τοῦ τείχους καὶ τῆς προσχώσεως. ταχὺ δὲ πλήρους γενομένου διὰ πολυχειρίαν, ἐπικαρένησαν καὶ τῆς ἄλλης πόλεως ὅσον ἐδύναντο ἀπὸ τοῦ μετεώρου πλεῖστον ἐπισχεῖν. 4. ἐμβαλόντες δὲ πῦρ ξὺν θείῳ καὶ πίσσῃ, ἦψαν τὴν ὕλην, καὶ ἐγένετο φλὸξ τοσαύτη, ὅσην οὐδείς πω ἓς γε ἐκεῖνον τὸν χρόνον χειροποίητον εἶδεν. ἤδη γὰρ ἐν ὄρεσιν ὕλη, τριφθεῖσα ὑπ' ἀνέμων πρὸς αὐτὴν, ἀπὸ ταὐτομάτου πῦρ καὶ φλόγα ἀπ' αὐτοῦ ἀνῆκε. 5. τοῦτο δὲ μέγα τε ἦν, καὶ τοὺς Πλαταιέας, τἆλλα διαφυγόντας, ἐλαχίστου ἐδέησε διαφθεῖραι. ἐντὸς γὰρ πολλοῦ χωρίου τῆς πόλεως οὐκ ἦν πελάσαι, πνεῦμά τε εἰ ἐπεγένετο αὐτῇ ἐπίφορον, ὅπερ καὶ ἤλπιζον οἱ ἐναντίοι, οὐκ ἂν διέφυ-

καὶ τὸ ταῖς κεφαλαῖς φορούμενον, ἤτοι τὸ φασκώλιον. (*Κασσ.*) — 2. *Ταχὺ δὲ πλήρους γενομένου*] τοῦ διασήματος. (*λ. Ἀύγ.*) — 3. *Ἐπικαρένησαν*] συνῆξαν. (*λ. Ἀύγ.*) — 7. *Χειροποίητον*] ἔστι γὰρ καὶ αὐτόματος. — *Ἤδη γὰρ*] πάλαι ποτέ. (*λ. Ἀύγ.*) — 10. *Τἆλλα*] δεινὰ δηλονότι. (*λ. Ἀύγ.*) — *Ἐλαχίστου*] ὀλίγου καιροῦ δηλονότι. (*λ. Ἀύγ.*) — 12. *Αὐτῇ*] τῇ φλογί. (*λ. Ἀύγ.*) — 13. *Διέφυγον*] τὸν κίνδυνον. (*λ. Ἀύγ.*)

It. Vat. Reg. Laur. E. Bekk. Cui tempori proximi aoristi non magnopere obstant, quum hic notio rei iteratae maxime tenenda sit. Vulgo (et Hasck.) *παρέβαλον*. D. *πέλαβον*. Mosqu. *προσέβαλον*. Ar. Chr. Dan. *παρενέβαλον*.

Ταχὺ — ἐδύναντο. „Suidas in *ἐπικαρένησαν*. — In *παρένησαν* eadem iterat, sed pro *πόλεως* habet *ὕλης*, male. Hinc ergo corrige, quod non fecit Kusterus.“ WASS. Cf. Zon. et Phav. in *ἐπικαρένησαν*.

Γενομένου. F. *γινομένου*.

Πολυχειρίαν. D. *πολύχωρίαν*, ει s. ω ead. man. Nostrum agnoscit Poll. Cf. not. Chr. *διὰ τὴν πολυχειρίαν*, sicut Diod. p. 610. Wessel. Neque tamen articulus necessarius.

Μετεώρου. F. *μεταιώρου*.

4. *Ἐμβαλόντες*. F. *ἐσβαλόντες*. Gr. *ἐμβάλλοντες*.

Ὅσην Cass. Gr. Laur. Mosqu. Ar. Chr., et, ut videtur, Aug. Pal. plerique Parr. m., de quibus tacetur. Verum H. B. Ald. Flor. Bas. Steph. 1. et, ut videtur, It. atque Vat. *ὅσον*, in H. tamen *ην* s. *ον* al. man.

Αὐτήν. Cass. Aug. Cl. Reg. m. Ar. Chr. Ald. Flor. Bas. *αὐτήν*. Cf. Farr. discr. script.

Ἀπὸ ταὐτομάτου. Laur. E. *ἀπὸ τοῦ αὐτομ.* Virgulam non ante haec vocabula, sed post ea collocant Gr. et F. Port. At opposita est *φλὸξ χειροποίητος πυρὶ ἀπὸ ταὐτομάτου γενομένῳ*.

5. *Εἰ* de. Dan.

Διέφυγον. Laur. E. *διέφυγε*, in E. *ον* s. *ε* al. man.

Digitized by Google

γον. 6. νῦν δὲ καὶ τόδε λέγεται ξυμβῆναι, ὕδωρ ἐξ οὐρανοῦ πολὺ καὶ βροντὰς γενομένας σβέσαι τὴν φλόγα, καὶ οὕτω παυσθῆναι τὸν κίνδυνον.

(Οἱ Πελοποννήσιοι πρὸς τὴν περιτείχισιν τρέπονται.)

οή. Οἱ δὲ Πελοποννήσιοι, ἐπειδὴ καὶ τούτου διήμαρτον, μέρος μέν τι καταλιπόντες τοῦ στρατοπέδου, περιετείχιζον τὴν πόλιν κύκλῳ, διελόμενοι κατὰ πόλεις τὸ χωρίον. τάφρος δὲ ἐντός τε ἦν καὶ ἔξωθεν, ἐξ ἧς ἐπλινθεύσαντο. 2. καὶ ἐπειδὴ πᾶν ἐξείργαστο περὶ ἀρκτούρου ἐπιτολάς, καταλιπόντες φύλακας τοῦ ἡμίσεος τείχους, (τὸ δὲ ἥμισυ Βοιωτοὶ ἐφύλασσον,) ἀνεχώρησαν τῷ στρατῷ, καὶ διελύθησαν κατὰ πόλεις. 3. Πλαταιῆς δὲ παῖδας μὲν καὶ γυναῖκας, καὶ τοὺς πρεσβυτάτους τε, καὶ

'Ολ. πζ'. ἔτ. δ'. πρὸ Χρ. νκθ'. τῇ ηγ' τοῦ Σεπτεμβρ. μηνός.

'οη'. 8. *Περὶ ἀρκτούρου ἐπιτολάς*] κατὰ τὸν Ὀκτώβριον μῆνα. (*λ. Δύγ.*)

6. Ἐξ οὐρανοῦ deesse in E. perperam tradit Bekk.

Βροντάς. G. βροτάς, *v s.* ō al. man.

Οὕτω. C. οὔπω.

Παυσθῆναι Cass. It. Vat. H. D. Laur. Mosqu. Ar. Chr. Dan. Tus. Bekk. Vulgo (et Haack.) παυσθῆναι. Vid. ad I, 81.

CAP. LXXVIII. *Καὶ τούτου.* Καί om. Cl. It.

Μέν τι. Cass. Reg. (G.) Vind. μέντοι.

Στρατοπέδου Cass. Aug. Cl. C. F. It. Vat. H. (in quo *s. v.* al. man. στρατοῦ,) Cam. Gr. Mosqu. Ar. Chr. Dan. Haack. Bekk. Vulgo στρατοῦ. Στρατόπεδον etiam de exercitu, qui in castris est, dici notissimum est. Cf. Ind. verb. Deinde vulgo sequebantur verba τὸ δὲ λοιπὸν ἀφέντες, quae cum Aug. Cl. It. Vat. H. Mosqu. Ar. Chr. Dan. abiecimus. Vid. adnot. In Aug. a man. rec. in marg. adscripta praefixa hac sigla: Χσ'. Laur. E. marg. Steph., qui agnoscunt, πλεῖον pro λοιπόν habent. Defendit Haack., uncis circumscripsit Bekk. Vid. adnot.

Χωρίον. F. χωρεῖον.

Ἔξωθεν. I. ἔξοθεν, et ἐξ ἧς in marg. al. man.

2. *Περί.* Reg. (G.) παρά.

Καταλιπόντες. Mosqu. subiicit τέ.

Φύλακας. Ar. Chr. φυλακάς. Quoties accentus horum vocabulorum dubius sit, docet Schneid. ad Xen. Cyr. V, 1, 30.

Ἡμίσεος. Pal. Reg. Ar. Chr. ἡμίσεως. At vid. I. 1. p. 221.

3. *Πλαταιῆς* rursus C. H. B. Bekk., haud dubie etiam Pal., pro vulg. Πλαταιῆς vel Πλαταιεῖς. Cf. c. 71.

Πρεσβυτάτους. I. πρεσβυτέρους, sed τατους *s. v.* ead. man. Statim τέ om. Chr. Dan.

Digitized by Google

148. πλῆθος τὸ ἄχρηστον τῶν ἀνθρώπων πρότερον ἐκκεκομισμένοι ἦσαν ἐς τὰς Ἀθήνας· αὐτοὶ δ' ἐπολιορκοῦντο ἐγκαταλελειμμένοι τετρακόσιοι, Ἀθηναίων δὲ ὀγδοήκοντα, γυναῖκες δὲ δέκα καὶ ἑκατὸν σιτοποιοί. 4. τοσοῦτοι ἦσαν οἱ ξύμπαντες, ὅτε ἐς τὴν πολιορκίαν καθίσταντο, καὶ ἄλλος οὐδεὶς ἦν ἐν τῷ τείχει, οὔτε δοῦλος οὔτε ἐλεύθερος. τοιαύτη μὲν ἡ Πλαταιῶν πολιορκία κατεσκευάσθη.

(2. Ἀθηναίων ἐπὶ Χαλκιδέας καὶ Βοττιαίους στρατευσάντων ἦσσα ἐπὶ Σκαρτώλῳ.)

οθ'. Τοῦ δ' αὐτοῦ θέρους καὶ ἅμα τῇ τῶν Πλαταιῶν ἐπιστρατείᾳ Ἀθηναῖοι δισχιλίοις ὁπλίταις ἑαυτῶν καὶ ἱππεῦσι διακοσίοις ἐστράτευσαν ἐπὶ Χαλκιδέας τοὺς ἐπὶ Θράκης καὶ Βοττιαίους, ἀκμάζοντος τοῦ σίτου· ἐστρατήγει δὲ Ξενοφῶν ὁ Εὐριπίδου, τρίτος αὐτός. 2. ἐλθόντες δὲ ὑπὸ Σπάρτωλον τὴν Βοττικὴν, τὸν σῖτον Ἰουλ. μην.

1. Ἐκκεκομισμένοι ἦσαν] ἐξήγαγον. (λ. Αὐγ.) — 7. Τοιαύτη μέν] οἱ διελόντες ταύτην τὴν συγγραφὴν εἰς τρισκαίδεκα, ἐνταῦθα τὸ τέλος τῆς τρίτης ἱστορίας ὥρισαν καὶ ἀρχὴν τῆς τετάρτης.
οθ'. 14. Σπάρτωλον] ἡ Σπάρτωλος προπαροξύνεται. (λ. Καισ.) — Τὴν Βοττικήν] ὅτι Βοττιαῖοι ἄποικοι Μακεδόνων. εἰσὶ δὲ ἐν τῇ Θράκῃ, πλησίον Χαλκιδέων. (λ. Αὐγ.)

Ἄχρηστον Cass. Aug. Cl. C. F. Pal. It. Vat. Reg. (G.) Gr. D. Mosqu. Haack. Bekk. Vulgo ἀχρεῖον, quod in Cass. int. vers. rec. man. exaratum.

156. πή. Τοιαῦτα μὲν τοῖς Πελοποννησίοις οἱ ἄρχοντες παρεκελεύσαντο. ὁ δὲ Φορμίων, δεδιὼς καὶ αὐτὸς τὴν τῶν στρατιωτῶν ὀρῴωδίαν, καὶ αἰσθόμενος ὅτι τὸ πλῆθος τῶν νεῶν, κατὰ σφᾶς αὐτοὺς ξυνιστάμενοι, ἐφοβοῦντο, ἐβούλετο ξυγκαλέσας θαρσῦναί τε, καὶ παραινεσιν ἐν τῷ παρόντι ποιήσασθαι. 2. πρότερον μὲν γὰρ ἀεὶ αὐτοῖς ἔλεγε, καὶ προπαρεσκεύαζε τὰς γνώμας, ὡς οὐδὲν αὐτοῖς πλῆθος νεῶν τοσοῦτον, ἢν ἐπιπλέῃ, ὅ τι οὐχ ὑπομενετέον αὐτοῖς ἐστί· καὶ οἱ στρατιῶται ἐκ πολλοῦ ἐν σφίσιν αὐτοῖς τὴν ἀξίωσιν ταύτην εἰλήφεσαν, μηδένα ὄχλον, Ἀθηναῖοι ὄντες, Πελοποννησίων νεῶν ὑποχωρεῖν. 3. τότε δὲ πρὸς τὴν παροῦσαν ὄψιν ὁρῶν αὐτοὺς ἀθυμοῦντας, ἐβούλετο ὑπόμνησιν ποιήσασθαι τοῦ θαρσεῖν, καὶ ξυγκαλέσας τοὺς Ἀθηναίους, ἔλεξε τοιάδε.

πή. 4. Ξυνιστάμενοι] συναθροιζόμενοι. — 10. Τὴν ἀξίωσιν] τὴν πεῖραν — 11. Μηδένα — ὑποχωρεῖν] σημείωσαι τὴν σύνταξιν.

Cap. LXXXVIII. Τὸ πλῆθος. Τό om. Reg. (G.)

Ξυγκαλέσας. I. ξυγκαλέσαι. D. om.

2. Πρότερον μέν. Μέν om. Reg. (G.) Mox Pal., ut solet, αἰεί. Cf. I. 1. p. 211.

Αὐτοῖς. C. It. Vat. Reg. Gr. Laur. αὐτούς, sed C. et Gr. cum emendat. αὐτοῖς.

Ἔλεγε a man. rec. in Aug. additum.

Προπαρεσκεύαζε. C. παρεσκεύαζε.

Τοσοῦτον. It. Vat. Reg. (G.) Gr. Ald. Flor. Bas. marg. Steph. τοσούτων. F. ω̄ s. ō.

Αὐτοῖς om. E.

Ἐν σφίσιν — ὑποχωρεῖν. „Citat Thom. M. in v. ἀξιῶ." WASS. Ibi Ἀθηναῖοι ὄντες om.

Ἐν σφισιν αὐτοῖς. Marg. Flor. Vinar. ἐν σφ. αὐτ.

Μηδένα ὄχλον. In I. al. man. superscr. νι s. να et ω̄ s. ον. Qua correctione facile caremus. Cf. I. 1. p. 132. et Thom. M.

3. Τότε δέ. C. τότε δή.

Ὁρῶν. E. ὁρῶν τε.

Ἔλεξε. C. E. m. Ar. Chr. ἔλεγε, per se non deterius. Vid. not. ad I, 119.

Digitized by Google

(„*Παραίνεσις τοῦ στρατηγοῦ Φορμίωνος πρὸς τοὺς Ἀθηναίους.*“ *MOSK.*)

πθ'. „Ὁρῶν ὑμᾶς, ὦ ἄνδρες στρατιῶται, πεφοβημένους τὸ πλῆθος τῶν ἐναντίων, ξυνεκάλεσα, οὐκ ἀμῶν τὰ μὴ δεινὰ ἐν ὀρρωδίᾳ ἔχειν. 2. οὗτοι γὰρ πρῶτον μὲν διὰ τὸ προνενικῆσθαι, καὶ μηδὲ αὐτοὶ οἴεσθαι δρασεῖν ἡμῖν εἶναι, τὸ πλῆθος τῶν νεῶν, καὶ οὐκ ἀπὸ τοῦ ἴσου παρεσκευάσαντο· ἔπειτα, ᾧ μάλιστα πιστεύοντες προσέρχονται, ὡς προσῆκον σφίσιν ἀνδρείοις εἶναι, οὐ δι' ἄλλο τι θαρσοῦσιν ἢ διὰ τὴν ἐν τῷ πεζῷ ἐμπειρίαν τὰ πλείω κατορθοῦντες, καὶ οἴονται σφίσι καὶ ἐν τῷ ναυτικῷ ποιήσειν τὸ αὐτό. 3. τὸ δ' ἐκ τοῦ δικαίου ἡμῖν μᾶλλον νῦν περίεσται, εἴπερ καὶ τούτοις ἐν ἐκείνῳ· ἐπεὶ εὐψυχίᾳ γε οὐδὲν προφέρουσι, τῷ δὲ ἑκάτεροί τι ἐμπειρότεροι εἶναι θρασύτεροι ἐσμεν. 4. Λα-

πθ'. 5. *Τῶν νεῶν*] γράφεται τῶν ἐναντίων. (l. *Αὐγ.*) — 2. *Ξυνεκάλεσα*] εἰς ταὐτὸν συνήγαγον. — 3. *Οὗτοι γὰρ*] οἱ Λακεδαιμόνιοι. — 12. *Ἐν ἐκείνῳ*] ἐν τῇ πεζομαχίᾳ. — *Οὐδὲν προφέρουσι*] κατὰ τὴν ναυμαχίαν.

Cap. LXXXIX. Ὦ ἄνδρες om. Reg. (G.), solum ἄνδρες C. F. „Non legitur ἄνδρες in vetere codice, licet eius adiectio sermonem magis Graecum efficere quodammodo videatur. Eam tamen eundem cod. in alio etiam quodam loco non habere memini.“ STEPH. Vid. cap. 72. et Duk. in script. discr. ad III, 9.

Στρατιῶται. D. I. *Ἀθηναῖοι.*

Τῶν ἐναντίων. Schol. *τῶν νεῶν* legisse videtur, quod marg. Flor. Vinar. superscr., et cui explicando inservit quidem nostrum apud Schol. c. 92. Sed „in Mss. Thuc. nulla varietas scripturae est. In Cass. [quidem] super *ἐναντίων* aliquid scriptum erat, quod videbatur esse *νεῶν*· nam atramentum ita evanuerat, ut non satis legi posset. Sed si *νεῶν* est, non tam pro varia lectione habendum est, quam pro supplemento substantivi, quod hic desiderari putabat qui id scripsit, ex Thucydide, qui [mox et cap. 88. bis] dicit *πλῆθος νεῶν*.“ DUK. in Adnott. ad Schol.

Ὀρρωδίᾳ. B. *ὠῤῥδία.*

2. *Τὸ προνενικῆσθαι.* E. *τὸ προνενικῆσαι.* Par. nescio quis om. *τό.*

Ἡμῖν. om. Gr. Mosqu.

Καὶ οὐκ. Καί de. Ar. Chr. Dan.

Πλείω. Laur. m. *πλέω.* Cf. I. 1. p. 223.

Οἴονται. It. Vat. H. Reg. (G.) *οἰόν τε*, quod placebat Kistemakero. At vid. adnot.

3. *Τί* om. Cass. (cui man. rec. adscript.) Aug. Cl. It. Vat.

Ἐμπειρότεροι εἶναι. Laur. E. m. Ar. Chr. *εἶναι ἐμπειρ.* Sed vis inest in *ἐμπειρ.*

Θρασύτεροι. Ar. *θαρσύτεροι.*

Digitized by Google

κεδαιμόνιοί τε, ἡγούμενοι τῶν ξυμμάχων, διὰ τὴν σφετέραν δόξαν ἄκοντας προσάγουσι τοὺς πολλοὺς ἐς τὸν κίνδυνον· ἐπεὶ οὐκ ἄν ποτε ἐπεχείρησαν, ἡσσηθέντες παρὰ πολύ, αὖθις ναυμαχεῖν. 5. μὴ δὴ αὐτῶν τὴν τόλμαν δείσητε. πολὺ δὲ ὑμεῖς ἐκείνοις πλέω φόβον παρέχετε καὶ πιστότερον, κατά τε τὸ προνενικηκέναι, καὶ ὅτι οὐκ ἂν ἡγοῦνται, μὴ μέλλοντάς τι ἄξιον τοῦ παρὰ πολὺ πράξειν, ἀνθίστασθαι ἡμᾶς. 6. ἀντίπαλοι μὲν γὰρ οἱ πλείους, ὥσπερ οὗτοι, τῇ δυνάμει τὸ πλέον πίσυνοι ἢ τῇ γνώμῃ ἐπέρχονται· οἱ δ' ἐκ πολλῷ ὑποδεεστέρων, καὶ ἅμα οὐκ ἀναγκαζόμενοι, μέγα τι τῆς 157. διανοίας τὸ βέβαιον ἔχοντες ἀντιτολμῶσιν. ἃ λογιζόμε-

4. *Παρακολύ*] ὑπερβαλλόντως. (λ. *Αὐγ.*) — 7. *Οὐκ ἂν ἡγοῦνται* — —] ὁ νοῦς οὕτως, ἡγοῦνται οἱ ἐχθροὶ μὴ ἀνθίστασθαι ἡμᾶς ἄλλως ἢ μέλλοντάς τι γενναῖον πρᾶξαι. — 8. *Ἀντίπαλοι*] θαῤῥοῦντες ἀντιπαλαίειν. — 10. *Πολλῷ*] τῷ μέτρῳ. — 11. *Οὐκ ἀναγκαζόμενοι*] ἡμεῖς [δηλονότι οἱ Ἀθηναῖοι. (λ. *Κασσ. Αὐγ.*)]

4. *Τῶν ξυμμάχων.* Bar. Ald. Flor. Bas. Steph. 1. marg. Steph. 2. *αὐτῶν ξυμμ. Αὐτῶν* etiam Laur. Vind., qui om. *ξυμμ.*, quod in E. al. man. adscr., in quo eodem *αν των* legitur, et *αν* quidem in marg. sed initio versus. Unde *αὖ τῶν* pessime scribi voluit Bened.

Προσάγουσι. C. cod. Bas. Gr. *προάγουσι*, quod probat Reisk.

Ἐπεχείρησαν Cass. Aug. Cl. C. F. It. Vat. Reg. (G.) Gr. marg. Ald. Vinar. [Stob.] Haack. Bekk., idemque etiam Steph. legi adnotaverat. Vulgo *ἐνεχείρησαν*. Utroque verbo in *conandi* notione Thucydides utitur (vid. Ind.), et scriptura iam I, 128. fluctuabat.

5. *Δή.* Laur. *δέ*.

Τόλμαν. I. *τόλμην.* At vid. Lob. ad Phryn. p. 531. sq.

Πλέω F. G. E. Vind. (de quo falsa tradit Bekk.) om., Ar. Chr. Dan. post *φόβον* collocant, Laur. *πλέον* exarant.

Ἡγοῦνται. Reg. *ἡγῶνται.*

Ἀνθίστασθαι. Nonnulli Parr. typothetarum, ut videtur, errore *ἀντίστ.*

Ἡμᾶς Cass. Aug. Cl. C. F. Pal. H. Reg. (G,) cod. Bas. Gr. I. Mosqu. m. (in quo corr.) Schol. Vall. Haack. De ltt. scriptura nihil traditur. Vulgo (et Bekk.) *ὑμᾶς*, propter praeced. *ὑμεῖς παρέχετε.* „Sed „per se aptius est, non solum milites, sed etiam imperatorem h. l. cogitari.“ HAACK.

6. *Οὗτοι, τῇ δύναμει.* m. *τῇ δυν. οὗτ.*

Πολλῷ. Cass. a. pr. man. (deinde erasum *ν*,) Cl. Reg. (G.) D. (in quo *ν* erasum et marg. *πολλῷ*,) I. (in quo pariter marg. al. man. *πολλῷ*,) Laur. Vind. B. Ar. Chr. Bar. marg. Steph. *πολλῶν.*

Μέγα τι. Laur. E. *μέγιστα.*

Τῆς διανοίας. Τῆς s. v. G.

Digitized by Google

νοι οὗτοι τῷ οὐκ εἰκότι πλέον περφόβηνται ἡμᾶς ἢ τῇ κατὰ λόγον παρασκευῇ. 7. πολλὰ δὲ καὶ στρατόπεδα ἤδη ἔπεσεν ὑπὸ ἐλασσόνων τῇ ἀπειρίᾳ, ἔστι δὲ ἃ καὶ τῇ ἀτολμίᾳ· ὧν οὐδετέρου ἡμεῖς νῦν μετέχομεν. 8. τὸν δὲ ἀγῶνα οὐκ ἐν τῷ κόλπῳ ἐκὼν εἶναι ποιήσομαι, οὐδ' ἐκπλεύσομαι ἐς αὐτόν· ὁρῶ γὰρ ὅτι πρὸς πολλὰς ναῦς ἀνεπιστήμονας ὀλίγαις ναυσὶν ἐμπείροις καὶ ἄμεινον πλεούσαις ἡ στενοχωρία οὐ ξυμφέρει. οὔτε γὰρ ἂν ἐπιπλεύσειέ τις ὡς χρὴ ἐς ἐμβολήν, μὴ ἔχων τὴν πρόσοψιν τῶν πολεμίων ἐκ πολλοῦ, οὔτε ἂν ἀποχωρήσειεν ἐν

5. Ἐκὼν εἶναι] παρέλκει τὸ εἶναι κατὰ συνήθειαν Ἀττικήν· οὐδὲν γὰρ ἐν ταῖς τοιαύταις συντάξεσι δηλοῖ. — 8. Ἐπιπλεύσειε] κατὰ τῶν ἐναντίων ἐπέλθοι. (λ. Ἀνγ.) — 9. Μὴ ἔχων τὴν πρόσοψιν τῶν πολεμίων] μὴ ὁρῶν τοὺς πολεμίους. (λ. Ἀνγ.) — 10. Ἐκ

Τῷ οὐκ εἰκότι. F. τῷ γε εἰκ. D. την νκ (in marg. al. man. τῷ οὐκ) εἰκ.

Περφόβηνται. B. syllabam ται om.

7. Δὲ καί. Καί de. Ar.

Ὑπὸ ἐλασσόνων Cass. C. Pal. H. Reg. D. Mosqu. Vulgo ὑπ' ἐλασσ. Cf. I. 1. p. 217. et Farr. discr. script.

8. Ἐκὼν εἶναι. „De hoc Attico genere loquendi Steph. ad Script. de Dialect. p. 26. [Matth. Gr. §. 548. Herm. ad Vig. p. 888. ed. 2.] et Thom. M. in ἐκών, ubi ex memoria haec ita refert: οὐκ ἐν τῷ κόλπῳ ἐκὼν εἶναι τὴν ναυμαχίαν ποιήσομαι." DUK.

Οὐδ' Cass. Cl. C. H. Reg. Gr. D. I. Vulgo οὐδέ. Nostrum in οὐδὲ σπλεύσομαι corrupit cod. Bas.

Ἐςπλεύσομαι e Cass. Cl. Reg. Gr. et ex corrupta scriptura cod. Bas., quibuscum C. H. consentiunt, et Aug. Pal. It. Vat., de quibus tacetur, consentire videntur, a Wass. monitus primus recepit Duk. Olim πλεύσομαι, uti Laur. Vind. B. In Cam. marg. Steph. ἐμπλεύσομαι, D. I. ἐςπλεύσομεν, Tus. πλεύσομεν.

Ὀλίγαις. D. I. ὀλίγοις.

Ἐμπείροις Cass. (hic cum altera script. int. vers.) Aug. Cl. C. F. Pal. It. Vat. H. Reg. (G.) Cam. Gr. I. marg. Steph. marg. Ald. Vinar. Haack. Bekk. Vulgo ἐμπείρως. „Ἐμπείροις egregie opponitur antecedenti ἀνεπιστήμονας." BENED.

Ἐπιπλεύσειε. G. ἐπικλέσειε.

Ἐς ἐμβολήν. C. ἐς ἐκβολήν, μ s. κ. Reg. (G.) ὡς ἐμβ.

Πρόσοψιν. „Immo πρόοψιν." BEKK. „Πρόσοψιν e Thucyd. adnotat Pollux II, 58." DUK. Sed hic etiam ad IV, 29. respicere potuit, et πρόοψις quoque e Thucyd. affert, quod ipsum habes V, 8. Πρόσοψιν hinc habet Thom. M. *Prospectus* tamen in interpretatione posuit Valla.

Πολεμίων. Ar. Chr. Dan. πολεμίων ἐναντίον. „Suspicor legendum ἐναντίων loco πολεμίων." WASS. „Thomas M. in πρόσοψις sequitur lectionem vulgatam." DUK. Ἐναντίον *ex adverso* ex interpret. accessit.

Οὔτε ἄν. m. οὐδ' ἄν, nisi potius οὔτ' ἄν habet.

Digitized by Google

δέοντι, πιεζόμενος· διέκπλοί τε οὐκ εἰσὶν, οὐδὲ ἀναστροφαὶ, ἅπερ νεῶν ἄμεινον πλεουσῶν ἔργα ἐστίν· ἀλλ' ἀνάγκη ἂν εἶη τὴν ναυμαχίαν πεζομαχίαν καθίστασθαι· καὶ ἐν τούτῳ αἱ πλείους νῆες κρείσσους γίγνονται.
9. τούτων μὲν οὖν ἐγὼ ἔξω τὴν πρόνοιαν κατὰ τὸ δυνατόν. ὑμεῖς δὲ, εὔτακτοι παρὰ ταῖς ναυσὶ μένοντες, τά τε παραγγελλόμενα ὀξέως δέχεσθε, ἄλλως τε καὶ δι' ὀλίγου τῆς ἐφορμήσεως οὔσης, καὶ ἐν τῷ ἔργῳ κόσμον καὶ σιγὴν περὶ πλείστου ἡγεῖσθε, † ὅ ἔς τε † τὰ πολλὰ τῶν πολεμικῶν, † καὶ † ξυμφέρει καὶ ναυμαχίᾳ οὐχ

πολλοῦ] λείπει διαστήματος. — 1. *Διέκπλοι*] τὸ ἐμβάλλειν καὶ διασχίζειν τὴν τῶν ἐναντίων τάξιν. *ἀναστροφαὶ* δὲ αἱ εἰς τοὐπίσω ὑποχωρήσεις. [*ἀνακάμψεις.* (*Κασσ.*)] — 4. *Ἐν τούτῳ*] ἐν τῷ πεζομαχεῖν. — 5. *Τούτων μὲν οὖν ἐγὼ* — —] τὸ ἐπιχείρημα ἐκ τοῦ συμφέροντος. — 7. *Τά τε παραγγελλόμενα*] τὰ τῆς παραινέσεως ἔργα. (*λ. Ἀνύ.*) — *Ὀξέως*] σπουδαίως. (*λ. Ἀνύ.*) — 8. *Τῆς ἐφορμήσεως οὔσης*] τῶν πολεμίων. — *Ἐν τῷ ἔργῳ κόσμον* —] ἤτοι ἐν

Πιεζόμενος. Tam hic quam post *καθίστασθαι* plenam interpunctionem cum Haack. et Bekk. sustulimus.

Διέκπλοι. Vulgo *δίεκπλοι.* Accentum cum Bekkero correximus, quum ex *διέκπλοοι* forma nominis contracta sit.

Πεζομαχίαν s. v. al. man. H.

Κρείσσους γίγνονται. Mosqu. *γίγνονται κρείσσους.*

9. *Οὖν ἐγώ* de. Gr.

Εὔτακτοι. Vind. *ἄτακτοι.*

Παρά. Reg. (G.) *περί.*

Ταῖς ναυσί. Cass. Aug. It. Vat. *ταῖς τε ναυσί.* Gr. *τὲ ταῖς ναυσί.*

Τά τε παραγγελλ. Τέ om. E.

Ἐφορμήσεως. Vat. *ἐφορμίσεως.* Reg. (G.) *τῆς τῶν πολεμίων ἐφορμίσεως.* In m. *τῶν πολεμίων* supra script., ex Schol.

Ἡγεῖσθε. E. Vind. m. Ar. Chr. Dan. marg. Steph. *ποιεῖσθε*, ad verbum, quod hac in formula frequentius est, inferendum. In E. et m. tamen vulg. s. v. adnotat.

Ὅ ἔς τε. Stephani coniecturam cum Haack. et Bekk. recepimus. Pro hoc *ὃ ἔς τε* libri omnes *ὥστε* praeter Cl., qui *ὥσπερ* et in marg. *ὥστε* praebet. *Ὥσπερ* etiam in marg. cod. Bas. adnotatur. Illud *ὥστε τὰ πολλά* Abresch. in *ὥς τε τὰ π.*, nos ipsi olim in *ὡς τά τε π.* mutaturi eramus. Marg. Flor. Vinar. *ᾧ τά τε π.* Valla: *quae quum aliis in rebus bellicis conducunt, tum.* Cf. adnot.

Πολεμικῶν. Laur. Bar. Ald. Flor. Bas. (ed., non cod.) *πολεμίων.* Cf. adnot. ad I, 18.

Καὶ ξυμφέρει. Libris, quorum praestantissimi, Cass. Aug. Pal. It. Vat. H. Reg. (G.) cod. Bas. I., *καί* inserunt, repugnare noluimus, quanquam consuetus ordo aut vulgaris, *τά τε πολλὰ τῶν πολ. ξυμφέρει, καὶ ναυμαχίᾳ οὐχ ἥκιστα*, est, quem Haack. et Bekk. servarunt, aut hic, *τά τε πολλὰ τῶν πολ. καὶ ναυμαχίᾳ οὐχ ἧκ.* (s. *καὶ δὴ καὶ ναυμαχίᾳ*) *ξυμφ.*

Ναυμαχίᾳ. Ald. Bas. *ναυμα-*

Digitized by Google

ἥκιστα· ἀμύνασθε δὲ τούσδε ἀξίως τῶν προειργασμένων. 10. ὁ δὲ ἀγὼν μέγας ὑμῖν, ἢ καταλῦσαι Πελοποννησίων τὴν ἐλπίδα τοῦ ναυτικοῦ, ἢ ἐγγυτέρω καταστῆσαι Ἀθηναίοις τὸν φόβον περὶ τῆς θαλάσσης. 11. ἀναμιμνήσκω δ' αὖ ὑμᾶς ὅτι νενικήκατε αὐτῶν τοὺς πολλούς· ἡσσημένων δὲ ἀνδρῶν οὐκ ἐθέλουσιν αἱ γνῶμαι πρὸς τοὺς αὐτοὺς κινδύνους ὁμοιαι εἶναι.

(*Ναυμαχία ἐν τῷ Κρισαίῳ κόλπῳ. — ΛΒ'. Τάξις τῶν Πελοποννησίων καὶ ἀρχὴ τῆς μάχης, ἐν ᾗ πρῶτον οἱ Ἀθηναῖοι τρέπονται καὶ κακοῦνται.*)

ϟ. Τοιαῦτα δὲ καὶ ὁ Φορμίων παρεκελεύετο. οἱ δὲ Πελοποννήσιοι, ἐπειδὴ αὐτοῖς οἱ Ἀθηναῖοι οὐκ ἐπέπλεον τῷ πολέμῳ κόσμον ἔχετε καὶ σιγήν, καὶ συμφέρον ὂν τοῖς μετιοῦσιν ἐπιτοπολὺ τὰ πολεμικά, καὶ μάλιστα τοῖς ναυμαχοῦσιν. (λ. *Αὐγ.*)

χίαι. Marg. Steph. *ναυμαχίαις.* Caeterum parenthesis signa, quibus vulgo verba ὃ ἔς τε (ὥστε) — ἥκιστα inclusa sunt, cum Haack. et Bekk. inutilia duximus.

Ἀμύνασθε Cass. Cl. C. F. Pal. It. Vat. H. Reg. (G.) cod. Bas. Gr. (sed in hoc ex emend.) D. I. B. Haack. Bekk. Vulgo ἀμύνεσθε. Statim δέ Cass. C. It. Vat. H. Reg. (G.) D. I. Bekk., quod recte locum habebit, modo ne praecedd. parenthesin efficere volueris. F. οὖν praebet, cod. Bas. et Gr. partic. om., ille tamen δή ex emend. addit. Vulgo (et Haack.) τέ.

Τούσδε. F. τάδε.

10. Τμῖν. F. ἡμῖν.

Πελοποννησίων. Reg. (G.) τῶν Πελοπ.

Τῆς θαλάσσης. Τῆς om. Ar. Dan.

11. Ἀναμιμνήσκω. Pal. ἀναμιμνήσκω. Cf. id. III, 104, 5.

Δ' αὖ. Vat. H. D. I. δ' ἂν.

Ἡσσημένων — εἶναι. „Stobaeus p. 97., qui agnoscit τούς." WASS. Τούς om. Ar. Praeterea E. ὅμοιοι.

Cap. XC. Τοιαῦτα δέ Pal. Reg. Laur. Bekk. In E. et teste Gail. etiam in G. (?) τοιαῦτα μὲν τοιαῦτα δέ. H. τοιαῦτα μέν, s. v. γρ. δέ. In Aug. adscript. οἱ πολλοὶ ἀγνοοῦντες γράφουσι τὸν δὲ *CTN* (i. e. σύνδεσμον) μετὰ τὴν δημηγορίαν. Vulgo (et Haack.) τοιαῦτα μέν. Δέ cur praestet, docent quae in script. discr. ad I, 43. adscripta sunt.

Καί om. D.

Παρεκελεύετο Cass. Cl. It. Vat. Bekk. Ita etiam H. et D., in quibus σα s. ϖ, in H. al. man., in D. ead. Vulgo (et Haack.) παρεκελεύσατο, quod cap. 86. fin. et cap. 88. init. satis confirmare videantur. At vid. ad I, 119. adnott. Chr. παρεσκευάσατο.

Οἱ Ἀθηναῖοι. Οἱ om. B.

Ἐπέπλεον. Ar. Chr. Dan. ἔπλεον.

Digitized by Google

ἐς τὸν κόλπον καὶ τὰ στενά, βουλόμενοι ἄκοντας ἔσω προαγαγεῖν αὐτούς, ἀναγόμενοι ἅμα ἕῳ, ἔπλεον, ἐπὶ τεσσάρων ναξάμενοι τὰς ναῦς, ἐπὶ τὴν ἑαυτῶν γῆν ἔσω ἐπὶ τοῦ κόλπου, δεξιῷ κέρᾳ ἡγουμένῳ, ὥσπερ καὶ ὥρμουν. 2. ἐπὶ δ' αὐτῷ εἴκοσι ἔταξαν τὰς ἄριστα πλεούσας, ὅπως, εἰ ἄρα νομίσας ἐπὶ τὴν Ναύπακτον αὐτοὺς πλεῖν ὁ Φορμίων, καὶ αὐτὸς ἐπιβοηθῶν ταύτῃ παραπλέοι, μὴ διαφύγοιεν πλέοντα τὸν ἐπίπλουν σφῶν οἱ Ἀθηναῖοι ἔξω τοῦ ἑαυτῶν κέρως, ἀλλ' αὗται αἱ νῆες περικλῄσειαν. 3. ὁ δὲ, ὅπερ ἐκεῖνοι προσεδέχοντο, φοβηθεὶς περὶ τῷ χωρίῳ ἐρήμῳ ὄντι, ὡς ἑώρα ἀναγομένους αὐτούς, ἅμα καὶ κατὰ σπουδὴν ἐμβιβάσας, ἔπλει παρὰ τὴν γῆν· καὶ ὁ πεζὸς ἅμα τῶν Μεσσηνίων παρε-

158.

ϛ'. 2. Ἐπὶ τεσσάρων ταξάμενοι] ἀντὶ τοῦ κατὰ τέσσαρας αὐτὰς ποιήσαντες. — 3. Ἐπὶ τήν] ἀντὶ τοῦ παρὰ τήν. (λ. Ἀνγ.) — Ἔσω ἐπὶ τοῦ κόλπου] ἐσωτέρω τῶν Ῥίων ἐν τῷ Κρισαίῳ κόλπῳ. (λ. Ἀνγ.) — 5. Ἐπὶ δ' αὐτῷ] τῷ κέρατι. (λ. Ἀνγ.) — 6. Ἐπὶ τὴν Ναύπακτον] ἔσω γὰρ ἐν τῷ κόλπῳ ἔκειτο ἡ Ναύπακτος. — 7. Ταύτῃ] τῇ ὁδῷ. (λ. Ἀνγ.) — 10. Ὁ δὲ — —] ὁ δὲ Φορμίων ὡς ἑώρα τοὺς Πελοποννησίους, ἄκων κατὰ σπουδὴν τοὺς στρατιώτας ἐμβιβάσας εἰς τὴν ναῦν ἔπλει. (λ. Ἀνγ.) — Προσεδέχοντο] ἤλπιζον. (λ. Ἀνγ.) — 11. Περὶ τῷ χωρίῳ] τῆς Ναυπάκτου δηλονότι. (λ. Ἀνγ.) — Ἐρήμῳ ὄντι] βοηθείας δηλονότι. (λ. Ἀνγ.) — 13. Τὴν γῆν] τὴν οἰκείαν δηλονότι. (λ. Ἀνγ.)

Ἐς τὸν κόλπ. Ἐς om. B.

Ἔσω. Laur. εἴσω. Quod non minus Thucydideum.

Ἀναγόμενοι. Laur. ἀναγαγόμενοι. E., nisi male exaratum apud Gail., ἀναγαγώμενοι.

Ἕῳ. Dan. ἕως.

Ἐπί. Laur. E. Vind. m. B. Ald. Flor. Bas. marg. Steph., παρά, ex interpr. Cf. Schol. Probabat tamen Kistemak.

Ἑαυτῶν om. E. Vind. m., quorum primus s. v. al. man. αὐτῶν.

Ἡγουμένῳ Cass. (in quo super ῳ script. οῑ,) Cl. C. It. Vat. H. Reg. B. marg. Steph. Bekk. Valla: *dextro cornu procedente.* Vulgo (et Haack.) ἡγούμενοι.

Ὥσπερ καί. Καί om. H.

2. Εἴκοσι. Quod vulgo sequitur ναῦς, cum Cass. Aug. Cl. It. Vat. H. Reg. (G.) Bekk. abiecimus. Haackius uncis incluserat.

Ταύτῃ. Laur. E. m. αὐτῇ.

Αὗται Gr. Ar. Chr. Tus. Haack. Bekk., quod ipsum iam Gottl. recepturus erat, cui operae non paruerunt. Prius αὐταί.

Περικλῄσειαν Pal. Bekk. et praeter ῑ subscr. etiam C. In Laur. περικλείσειαν, uti vulgo (et Haack.), sed prior diphthongus in illo correcta. Cf. I. 1. p. 212. sq.

3. Αὐτούς om. Pal. Mox καί ante κατά apud Schol. nisi casu excidit, ab hoc interprete non lectum est.

Ὁ πεζός. Ὁ om. Dan.

Μεσσηνίων. Pal. Gr. D. m.

Digitized by Google

βοήθει. 4. ἰδόντες δὲ οἱ Πελοποννήσιοι [κατὰ μίαν] ἐπὶ κέρως παρεπλέοντας, καὶ ἤδη ὄντας ἐντὸς τοῦ κόλπου τε καὶ πρὸς τῇ γῇ, ὅπερ ἐβούλοντο μάλιστα, ἀπὸ σημείου ἑνὸς ἄφνω ἐπιστρέψαντες τὰς ναῦς, μετεπηδὸν ἔπλεον, ὡς εἶχε τάχους ἕκαστος, ἐπὶ τοὺς Ἀθηναίους, καὶ ἤλπιζον πάσας τὰς ναῦς ἀπολήψεσθαι. 5. τῶν δὲ ἕνδεκα μέν [τινες], αἵπερ ἡγοῦντο, ὑπεκφεύγουσι τὸ κέρας τῶν Πελοποννησίων καὶ τὴν ἐπιστροφὴν ἐς τὴν εὐρυχωρίαν· τὰς δὲ ἄλλας ἐπικαταλαβόντες, ἐξέωσάν τε πρὸς τὴν γῆν ὑποφευγούσας, καὶ διέφθειραν· ἄνδρας τε τῶν Ἀθηναίων ἀπέκτειναν, ὅσοι μὴ ἐξένευσαν αὐτῶν.

1. [Κατὰ μίαν] ἐπὶ κέρως] ὡς [ἂν] εἰ ἔλεγε, μίαν κατακολουθοῦσαν τῇ ἑτέρᾳ. τοῦτο γὰρ τὸ ἐπὶ κέρως καλεῖ. — 3. Ἀπὸ σημείου ἑνός] ὡς ἂν εἰ ἔλεγεν, οὐ δεηθέντες πολλῶν παρακελεύσεων, ἀλλ' εὐθὺς ποιοῦντες ὅπερ ἐδόκει. [τὸ δὲ σημείου ἀντὶ τοῦ μιλίου. δύναται δὲ λέγειν καὶ τὸ σύνθημα. (λ. Κασσ. Λύγ.)] — 4. Ἐπιστρέψαντες τὰς ναῦς μετωπηδὸν ἔπλεον] τὸ μὲν ἐπιστρέψαντες εἶπεν, ὅτι ἦν ἄνω εἰπὼν, ἐπειδὴ κατ' εὐθεῖαν ἔπλεον· νῦν δὲ οὐκέτι· τὸ δὲ μετωπηδὸν, πάλιν τὸ κατ' εὐθεῖαν πλέειν ἐστί· τὸ γὰρ μέτωπον τῆς νεὼς ἡ πρῷρα ἐστί. λέγει οὖν ὅτι τὰ μέτωπα, ὅ ἐστι τὰ πρόσωπα τῶν νεῶν, παρεῖχον τοῖς ἐναντίοις. — 6. Τῶν δέ] τῶν νεῶν τῶν Ἀθηναίων. — 9. Ἐξέωσαν] ἐξέκλιναν τῆς προκειμένης ὁδοῦ. (λ. Λύγ.) §. πρὸς τὴν γῆν ὀκεῖλαι ἐποίησαν. — 11. Ἐξένευσαν] ἐξεκολύμβησαν.

Ar. Chr. *Μεσηνίων*, itidemque paulo infra, ubi E. accedit. Sed Cass., qui hic *Μεσηνίων*, infra *Μεσσηνίων* habet. Quod idem de I. valere videtur. Cf. I. 2. p. 531. et Bekk. ad I, 111.

4. *Ἐπὶ κέρως*. Cod. Bas. et Tus. *ἐπικαίρως*, uti Suid. et Phav. Male. Vid. Duk. ad VI, 32. Sed praecedens *κατὰ μίαν* facile pro interpretatione huius locutionis quispiam habuerit, nisi locis I. 1. p. 198. prolatis excusari putet.

Παρεπλέοντας de. Reg. (G.) Mox G. *ἐβούλετο*, sed *ον s. ε.* *Ἐπιστρέψαντες*. Laur. Vind. m. *ἐπιτρέψ.*

5. *Τινές* om. Cass. Aug. Cl. G. Pal. It. Vat. H. Reg. (G.) cod. Bas. Bekk. Non raro tamen numeralibus additur (cf. Ind. verb.), nec videtur temere oriri potuisse. Deest tamen tale additamentum cap. 91, 1.

Καὶ τὴν ἐπιστοφήν. Ante haec verba inepte olim comma ponebatur, quasi cum *εὐρυχωρίαν* cohaererent. Correxit Haack. a Kistemak. admonitus.

Τὰς δὲ ἄλλας. „Suidas (in ἐξένευσαν) τὰς δὲ ἄλλας ναῦς. Addit de suo *ναῦς*, et sequentia ita legit, *ἐπικατ. ἑ. τ. π. τ. γῆν, καὶ πολλοὺς ἀπέκτειναν, ὅσοι μὴ ἐ. α.* caeteris omissis perperam. Phavor. [et Zonar.] haec tantum habet, *καὶ πολλοὺς ἀπέκτειναν, ὅσοι μὴ ἐ. ἀ.*" WASS.

Ἄνδρας τε. Gr. om. *τέ*.

Digitized by Google

6. καὶ τῶν νεῶν τινὰς ἀναδούμενοι εἷλκον κενὰς, μίαν δὲ αὐτοῖς ἀνδράσιν εἷλον ἤδη· τὰς δέ τινας οἱ Μεσσήνιοι, παραβοηθήσαντες, καὶ ἐπεμβαίνοντες ξὺν τοῖς ὅπλοις ἐς τὴν θάλασσαν, καὶ ἐπιβάντες, ἀπὸ τῶν καταστρωμάτων μαχόμενοι ἀφείλοντο ἑλκομένας ἤδη.

(*Οἱ Πελοποννήσιοι, διώκοντες ἕνδεκα ναῦς Ἀθηναίων ἐς Ναύπακτον φευγούσας, ταράσσονται καὶ ἐφίστανται.*)

ϛά. Ταύτῃ μὲν οὖν οἱ Πελοποννήσιοι ἐκράτουν τε, καὶ * ἔφθειραν * τὰς Ἀττικὰς ναῦς. αἱ δὲ εἴκοσι νῆες αὐτῶν αἱ ἀπὸ τοῦ δεξιοῦ κέρως ἐδίωκον τὰς ἕνδεκα ναῦς τῶν Ἀθηναίων, αἵπερ ὑπεξέφυγον τὴν ἐπιστροφὴν ἐς τὴν εὐρυχωρίαν. καὶ φθάνουσιν αὐτοὺς, πλὴν μιᾶς νεώς, προκαταφυγοῦσαι ἐς τὴν Ναύπακτον, καὶ * ἴσχου-

ϟ. 6. *Ταύτῃ*] οὕτως. ἢ ἀντὶ τοῦ κατὰ τοῦτο τὸ μέρος. (λ. *Κασσ. Ἀνγ.*) — 11. *Καὶ ἴσχουσαι*] ἐλλιμενίζουσαι. ἄλλη † ἀρχὴ † [*τὸ καὶ ἴσχουσαι.* (λ. *Κασσ.*)]

6. *Καὶ τῶν νεῶν* etc. „Thomas Mag. in. *ἀναδησάμενος* ita laudat: *καὶ τινας ἀναδούμενοι κενὰς εἷλκον.*" WASS. Thomae locus non huc pertinet, sed ad IV, 14.

Εἷλον. Laur. E. *εἶχον*.

Ἤδη om. Ar. Dan. Bekk. Cf. adnot.

Παραβοηθήσαντες. Reg. (G.) *περιβοηθήσαντες*. Cod. vet. Steph. *παραβοηθοῦντες*.

Ἐς τὴν θάλ. C. *ἐπὶ θάλ.*

Cap. XCI. *Οὖν* om. C.

Ἔφθειραν. Cass. Pal. It. cod. Bas. Gr. *ἔφθειρον*. Cl. in marg., C. F. G. (?) E. Ar. Chr. Dan. marg. Steph. *διέφθειρον*. Laur. m. *διέφθειραν*, in hoc tamen supra scr. *γρ. ἔφ—αν*. Imperfectum propter *ἐκράτουν* recepit Haack. Hoc tamen actionem diuturniorem, quae postremo imperfecta mansit, significat, quod secus est in nostro verbo, cuius aoristum modo legimus c. 90, 5. Hunc igitur cum Bekk. retinuimus. Simplex et compositum in hoc verbo iam I, 25. et 110. confusum vidimus, hic posterius ex praeced. cap. ortum.

Ἐπιστροφήν. Cass. Aug. Gl. C. Pal. It. Vat. H. G. Gr. cod. vet. Steph. (et inde marg. Steph.) *ὑποστροφήν*. „Sed cur hic potius *ἐπιστροφήν* in *ὑποστροφήν*, quam in loco, qui parvo praecedit intervallo [c. 90, 5.] mutaremus? praesertim vero quum ibi quoque *ἐς τὴν εὐρυχωρίαν* sequi videamus." STEPH. Praecedit insuper *ἐπιστρέψαντες* c. 90, 4.

Καὶ φθάνουσιν. Ante haec verba fortasse rectius virgula interpungitur.

Αὐτούς. Reg. (G.) *αὐτάς*, sed hic *αὐτούς* int. vers. Vid. not. ad II, 83.

Νεώς. Vind. *νηός*.

Προκαταφυγοῦσαι. E. *κατα-*

Digitized by Google

σαι * ἀντίπρωροι κατὰ τὸ Ἀπολλώνιον, παρεσκευάζοντο ἀμυνούμενοι, ἣν ἐς τὴν γῆν ἐπὶ σφᾶς πλέωσιν. 2. οἱ δὲ, παραγενόμενοι ὕστερον, ἐπαιώνιζόν τε ἅμα πλέοντες, ὡς νενικηκότες, καὶ τὴν μίαν ναῦν τῶν Ἀθηναίων τὴν ὑπόλοιπον ἐδίωκε Λευκαδία ναῦς μία πολὺ πρὸ τῶν ἄλλων. 3. ἔτυχε δὲ ὁλκὰς ὁρμοῦσα μετέωρος, περὶ ἣν ἡ Ἀττικὴ ναῦς φθάσασα [καὶ περιπλεύσασα], τῇ Λευκαδίᾳ διωκούσῃ ἐμβάλλει μέσῃ, καὶ καταδύει. 4. τοῖς μὲν οὖν Πελοποννησίοις, γενομένου τούτου 159.

1. Ἀντίπρωροι] ἔχουσαι τὰς πρώρας πρὸς τὸ πέλαγος ὁρώσας· τοῦ γὰρ φεύγειν ἐπαύσαντο. — Ἀντίπρωροι] γεγονυῖαι δηλονότι. (λ.Κασσ. Αὐγ.) — Τὸ Ἀπολλώνιον] ἱερὸν Ἀπόλλωνος ἐν τῷ λιμένι. — 3. Οἱ δὲ] οἱ Πελοποννήσιοι. — 5. Τὴν ὑπόλοιπον] τὴν ὑστερήσασαν. (λ. Αὐγ.) — 6. Ὁλκάς] ἡ ἐμπορικὴ ναῦς [ἐστί. Αὐγ.]

προφυγοῦσαι. Idem cum Laur. statim πρός pro ἐς. Mox post Ναύπακτον vulgo punctum collocatur, cui colon substituit Haack.

Ἴσχουσαι. Cass. Aug. Mosqu. Tus. σχοῦσαι. „Non male.“ GOTTL. Sic σχόντες κατὰ τὸ Ποσειδώνιον IV, 129. Neque vero alterum insolitum. Cf. Ind. verb. in ἴσχω. et ἔχω.

Κατὰ τό. Τό om. Cass. Aug. It. Vat. At obstant reliqui loci, in quibus talia templorum nomina memorantur, quos vid. de Art. crit. p. 151. sq. et in Ind. nom.

Ἀπολλώνιον. Cass. Aug., nisi fallunt Duk. et Gottl. typothetae, Ἀπολώνιον. Pal. Ἀπολλώνειον. At vid. not. cum vett. grammatt. locis et interea Lob. ad Phryn. p. 367. Comma ante verba κατὰ τὸ Ἀπολλ. transpositurus erat Kistemak., temere.

Παρεσκευάζοντο. Reg. (G.) κατεσκευάζοντο, male. Vid. ad II, 85. et Ind. verb.

Ἀμυνούμενοι. Ar. ἀμυνόμενοι.

Πλέωσιν Cass. Aug. Cl. C. Pal. It. Vat. H. Gr. D. E. Laur. m. Ar. Chr. Dan. Haack. Bekk. Olim ἐπιπλέωσιν.

2. Παραγενόμενοι It. Vat. H. G. I. Laur. Vind. Schol. et item libri ad Dukerum usque comparati tam scripti quam editi praeter Chr., e quo Wasse παραγιγνόμενοι (Dan. παραγινόμενοι) scripsit, quod Bekk. rursus expulit, quanquam ad sensum magis placet.

Ἐπαιώνιζον. C. E. Vind. m. (in quo supra script. ω̄) Ar. Chr. marg. Steph. ἐπαιάνιζον. At vid. adnot. ad I, 50. et I. 1. p. 211. et ne cura Blomf. ad Aesch. Theb. v. 254.

Ναῦς μία. C. μία ναῦς.

3. Καὶ περιπλεύσασα om. It. Vat. et s. v. al. man. habent H. et I. In F. καὶ διαπλεύσασα. Delevit Bekk. Vid. not.

Λευκαδία διωκούσῃ Cass. C. F. Pal. It. Vat. H. Reg. (G., ex quo Λευκαδίῳ affertur,) cod. Bas. I. Laur. E. m. Ar. Chr. Dan. Haack. Bekk. Vulgo διωκούσῃ Λευκαδίᾳ.

Μέσῃ. Cl. μέσον. H. quidem μέσῃ, sed s. v. ead. man.

4. Οὖν om. Reg. (G.)

Τούτου ἀπροσδοκήτου. Vulgo

Digitized by Google

ἀπροσδοκήτου τε καὶ παρὰ λόγον, φάβος ἐμπίπτει· καὶ ἅμα ἀτάκτως διώκοντες διὰ τὸ κρατεῖν, οἱ μέν τινες τῶν νεῶν καθεῖσαι τὰς κώπας ἐπέστησαν τοῦ πλοῦ, ἀξύμφορον δρῶντες πρὸς τὴν ἐξ ὀλίγου ἀντεξόρμησιν, βουλόμενοι τὰς πλείους περιμεῖναι· οἱ δὲ καὶ ἐς βράχεα ἀπειρίᾳ χωρίων ἔκειλαν.

(Οἱ Πελοποννήσιοι νικῶνται καὶ ἐς Πάνορμον ἀναχωροῦσιν, ὅθεν ἐξέπλεύσαν ἐς τὸν Κρισαῖον κόλπον καὶ Κόρινθον.)

ηβʹ. Τοὺς δὲ Ἀθηναίους ἰδόντας ταῦτα γιγνόμενα θάρσος τε ἔλαβε, καὶ ἀπὸ ἑνὸς κελεύσματος ἐμβοήσαντες

4. *Πρὸς τὴν ἐξ ὀλ. ἀντ.*] διὰ τὸ ἐγγύθεν ἀντεπιέναι τοὺς Ἀθηναίους.

(et Haack.) *τούτου τοῦ ἀπροσδοκ.* sed art. de. Pal. Vat. H. Reg. (G.) Laur. E. Vind. m. et una cum *τούτου* (quo etiam Chr. caret) Ar. Quem iure delevit Bekk., quum *ἀπροσδοκήτου* non ad *τούτου*, sed ad *γενομένου* pertinere sequens *παρὰ λόγον* doceat. Valla: *quae res ex improviso et inopinato quum accidisset.* Statim *τέ* om. It.

Παρὰ λόγον Cass. Cl. (in cuius marg. *παραλόγου*,) Vat. H. (in quo coniunctim *παραλόγον*,) Reg. Laur. Vind. m. (in quo *παραλόγου*, et supra script. *γρ. οῡ*,) Ar. Chr. Dan. Bekk. Vulgo (et Haack.) *παραλόγου*. At vid. Krüg. l. l. p. 267. et adnot. ad I, 78.

Αἱ μὲν — περιμεῖναι. „Priscianus l. XVII. p. 1100." WASS. „Ostendit ibi Priscianus Homeri, Thucydidis et aliorum testimoniis saepe diversa genera et diversos numeros iungi." DUK. Vid. not. ad II, 83.

Καθεῖσαι. Dan. *καθῆσαι.*

Ἐπέστησαν. E. Vind. m. Ar. Chr. Dan. *ἔστησαν.* Mosqu. et Priscian. l. d. *ἀπέστησαν.* Aug. quidem *ἐπέστ.*, sed man. rec. super ē script. *ᾱ*. Cf. not.

Ἀντεξόρμησιν. Laur. E. m. marg. Steph. *ἀντεφόρμησιν*, in m. tamen ξ̄ supra scr. Mosqu. Ar. Chr. Dan. *ἀντεξεφόρμησιν.*

Δὲ καὶ. Posterius om. Gr.

Βράχεα Cass. Ar. Chr. Ald. Flor. Bas. Bekk. Male vulgo (et Haack.) *βραχέα*, quum *vada*, quae Latini quoque *brevia* nominant, designentur. Gr. utrumque accentum habet. It. Vat. Reg. (G.) *βράγγεα.* Cod. vet. Steph. *βράχη.* „Quod habet etiam Pollux I, 115. et alii. Agit de hoc Brod. VI. Miscellan. 24." DUK. Cf. Lob. ad Phryn. p. 537. Mosqu. *βραχέα* post *χωρίων* collocat.

Ἀπειρίᾳ χωρίων Cass. Aug. Pal. It. Reg. (G.) cod. Bas. Gr. D. Laur. E. m. Dan. Bekk. In Vat. H. I. *ἀπειρίᾳ χωρίου.* Ar. Chr. *ἀπορίᾳ χωρίων.* Vulgo (et Haack.) *χωρίων ἀπειρίᾳ.*

Ὤκειλαν sine ῑ subscr. recte Pal. Haack. Dind. Vulgo (et Bekk.) male *ὦκειλαν.*

Cap. XCII. *Δὲ Ἀθηναίους* Cass. C. F. Pal. H. Reg. (G.) Gr. I. Vulgo (Haack. et Bekk.) *δ' Ἀθην.*

Κελεύσματος. Laur. Vind. *κελεύματος.* Quod probavit

ἐπ' αὐτοὺς ὥρμησαν. οἱ δὲ διὰ τὰ ὑπάρχοντα ἁμαρτήματα καὶ τὴν παροῦσαν ἀταξίαν ὀλίγον μὲν χρόνον ὑπέμειναν, ἔπειτα δὲ ἐτράποντο ἐς τὸν Πάνορμον, ὅθενπερ ἀνηγάγοντο. 2. ἐπιδιώκοντες δὲ οἱ Ἀθηναῖοι, τάς τε ἐγγὺς οὔσας μάλιστα ναῦς ἔλαβον ἓξ, καὶ τὰς ἑαυτῶν ἀφείλοντο, ἃς ἐκεῖνοι πρὸς τῇ γῇ διαφθείραντες, τὸ πρῶτον ἀνεδήσαντο· ἄνδρας τε τοὺς μὲν ἀπέκτειναν, τινὰς δὲ καὶ ἐζώγρησαν. 3. ἐπὶ δὲ τῆς Λευκαδίας νεὼς, ἣ περὶ τὴν ὁλκάδα κατέδυ, Τιμοκράτης ὁ Λακεδαιμόνιος πλέων, ὡς ἡ ναῦς διεφθείρετο, ἔσφαξεν αὐτὸν, καὶ ἐξέπεσεν ἐς τὸν Ναυπακτίων λιμένα. 4. ἀναχωρήσαντες δὲ οἱ Ἀθηναῖοι τροπαῖον ἔστησαν, ὅθεν ἀναγόμενοι ἐκράτησαν· καὶ τοὺς νεκροὺς καὶ τὰ ναυάγια, ὅσα πρὸς τῇ ἑαυτῶν ἦν, ἀνείλοντο, καὶ τοῖς ἐναντίοις τὰ ἐκείνων

ϟβ'. 3. Ὑπέμειναν] ἐδέξαντο τὸ ἐμβάσιμον τῶν Ἀθηναίων. (λ. Αὐγ.) — Τὸν Πάνορμον] σημείωσαι· ὁ Πάνορμος. (Αὐγ.) — 9. Ἡ — ναῦς] ἡ περὶ τὴν ὁλκάδα καταδῦσα. (λ. Αὐγ.) — 10. Ἔσφαξεν ἑαυτόν] Λακωνικὸν τὸ φρόνημα τοῦτο, μὴ ὑπ' ἐχθρῶν ἀξιῶσαι ἀναιρεθῆναι.

Bekk. in min. edit. (p. IV.) Ad vid. adnot.

Ἐπ' αὐτούς. E. ὡς αὐτ. Vind. Ar. Chr. Dan. ἐς αὐτ.

Ἐς τόν. Ex Reg. errore typothetarum εἰς τήν pro εἰς τόν, uti G. habet, afferri videtur. Laur. Vind. Ar. Chr. Ald. Flor. Bas. marg. Steph. ἐς τό. At Πάνορμον τὸν Ἀχαϊκόν c. 86.

Ὅθενπερ. Πέρ om. Ar.

Ἀνηγάγοντο. B. Laur. E. (in quo correct.) Vind. Mosqu. Ar. Chr. Dan. ἀνήγοντο.

2. Δὲ καί. Καί om. Gr. D. I.

3. Περί. Pal. It. Reg. (G.) Ald. Flor. Bas. (ed., non cod. Bas.) πρίν, in Reg. (G.) tamen supra rec. man. posuit περί. Gr. πρὶν περί.

Ὁλκάδα. F. ὁλκόδα.

Ἔσφαξεν. Marg. Steph. ἀπέσφαξεν, ex coniectura, ut videtur. „Pollux VI, 192. adnotat Thucydidem dixisse ἔσφαζεν. Dubitat Iungermann., an in Polluce legendum sit ex hoc loco ἔσφαξεν. Si nusquam alibi Thucydides dixit ἔσφαξεν, non est dubitandum." DUK. Non dixit alibi sic, sed ἔσφαζον VII, 84.

Αὐτόν Cass. Cl. C. Pal. Vat. H. Reg. (G.) Gr. I. Vulgo (Haack. Bekk.) ἑαυτόν.

Ναυπακτίων. F. cod. Bas. Gr. a correctore, qui ῑ super ō posuit, Laur. Vind. Ar. Chr. marg. Steph. Ναυπάκτιον.

4. Τροπαῖον. Cass. τρόπαιον et ex emend. ex rec. man. τροπαῖον. Mox τρόπαῖον ead. man. Τρόπαῖον utroque loco, sed inferius τροπαῖον et ab emendat. τρόπαιον Gr. In Pal. ter τρόπαιον. Cf. Duk. ad I, 30. et nos I. 1. p. 214. A contraria tamen parte stat Blomf. ad Aesch. Theb. V. 263.

Ἀναγόμενοι. Laur. Chr. ἀναγαγόμενοι, non male.

Digitized by Google

ὑπόσπονδα ἀπέδοσαν. 5. ἔστησαν δὲ καὶ οἱ Πελοποννήσιοι τροπαῖον, ὡς νενικηκότες, τῆς τροπῆς, ἃς πρὸς τῇ γῇ ναῦς διέφθειραν· καὶ ἦνπερ ἔλαβον ναῦν, ἀνέθεσαν ἐπὶ τὸ Ῥίον τὸ Ἀχαϊκὸν παρὰ τὸ τροπαῖον. 6. μετὰ δὲ ταῦτα φοβούμενοι τὴν ἀπὸ τῶν Ἀθηναίων βοήθειαν, ὑπὸ νύκτα ἐξέπλευσαν ἐς κόλπον τὸν Κρισαῖον καὶ Κόρινθον πάντες, πλὴν Λευκαδίων. 7. καὶ οἱ ἐκ τῆς Κρήτης Ἀθηναῖοι ταῖς εἴκοσι ναυσὶν, αἷς ἔδει πρὸ τῆς ναυμαχίας τῷ Φορμίωνι παραγενέσθαι, οὐ πολλῷ ὕστερον τῆς ἀναχωρήσεως τῶν νεῶν ἀφικνοῦνται ἐς τὴν Ναύπακτον· καὶ τὸ θέρος ἐτελεύτα.

2. *Τῆς τροπῆς*] *ἀντὶ τοῦ ὑπὲρ τῆς τροπῆς.* ** *ἡ σύνταξις οὕτως· ὡς νενικηκότες ἔστησεν τῆς τροπῆς τῶν νεῶν ἃς πρὸς τῇ γῇ διέφθειραν.* (Βασ.) — *Ἃς πρὸς τῇ γῇ ναῦς*] *ἀντὶ τοῦ διὰ τὰς ναῦς.* (λ. *Ἀὐγ.*) — 6. *Ὑπὸ νύκτα*] *ἀντὶ τοῦ κατὰ τὴν νύκτα.* (λ. *Ἀὐγ.*) — 9. *Οὐ πολλῷ ὕστερον*] *μετ' ὀλίγον.* (λ. *Ἀὐγ.*) — 10. *Τῆς ἀναχωρήσεως τῶν νεῶν*] *τῶν ἐναντίων.* (λ. *Ἀὐγ.*)

5. *Δὲ καί. Καί* om. F.

Οἱ Πελοποννήσιοι. Οἱ om. Laur.

Ναῦς διέφθειραν. Laur. m. Ar. Chr. Dan. *διέφθ. ναῦς.*

6. *Ἐς κόλπον* Cass. Aug. (nisi quod hi duo *εἰς* exarant,) Cl. C. Pal. It. Vat. H. Reg. (G.) Gr. D. I. „Nec immerito." WASS. Vulgo *ἐς τὸν κόλπον.* Articulum uncis inclusit Haack., a quibus male eum liberavit Bekk. Cf. ad *τὴν γῆν τὴν Πλαταιΐδα* in script. discr. ad 71, 4.

Κρισαῖον. Ar. Chr. Dan. *Κρισσαῖον*, et postremus alibi semper. Sic Reg. initio prox. cap. E. *Κρησσαῖον*, et ex corr. *Κρισσ.* At vid. I. 1. p. 210.

Κόρινθον. B. Laur. E. *Κορίνθιον.* Quae scriptura „quamvis etiam in Vallae libro reperiatur, est valde inepta, quia ille Crissaeus sinus simul etiam Corinthius appellabatur." BENED. Mosqu. Ar. Chr. Dan. *Κορίνθιοι.*

Πάντες. Laur. E. Vind. Mosqu. Ar. Chr. Dan. *ἅπαντες.*

Λευκαδίων. F. *Λευκαδίως.*

7. *Αἷς.* F. *ἅς.* At vid. Matth. Gr. §. 385. 9. Quanquam ne opus quidem hac explicatione, quum ad *ἔδει* etiam suppleas *αὐτούς.*

Πρὸ τῆς. Dan. *πρὸς τῆς.* (In D. *εἰς* pro *πρό* legi male tradit Bekk.)

Digitized by Google

(Β. Χειμών. — ργ'.)

(1. Στόλος Πελοποννησίων ἐπὶ τὸν Πειραιᾶ καὶ Σαλαμῖνα. ῾γ'. ῾δ'. Ἐκ Νισαίας ἀναγαγόμενοι Σαλαμῖνα πορθοῦσι.)

῾γ'. Πρὶν δὲ διαλῦσαι τὸ ἐς Κόρινθόν τε καὶ τὸν Κρισαῖον κόλπον ἀναχωρῆσαν ναυτικὸν, ὁ Κνῆμος καὶ ὁ Βρασίδας καὶ οἱ ἄλλοι ἄρχοντες τῶν Πελοποννησίων, ἀρχομένου τοῦ χειμῶνος, ἐβούλοντο, διδαξάντων Μεγαρέων, ἀποπειρᾶσαι τοῦ Πειραιῶς τοῦ λιμένος τῶν Ἀθηναίων· ἦν δὲ ἀφύλακτος καὶ ἄκλητος, εἰκότως, διὰ τὸ ἐπικρατεῖν πολὺ τῷ ναυτικῷ. 2. ἐδόκει δὲ λαβόντα τῶν ναυτῶν ἕκαστον τὴν κώπην καὶ τὸ ὑπηρέσιον καὶ τὸν τροπωτῆρα πεζῇ ἰέναι ἐκ Κορίνθου ἐπὶ τὴν πρὸς Ἀθήνας θάλασσαν, καὶ ἀφικομένους κατὰ τάχος ἐς Μέγαρα, καθελκύσαντας ἐκ Νισαίας, τοῦ νεωρίου αὐτῶν, τεσσαράκοντα ναῦς, αἳ ἔτυχον αὐτόθι οὖσαι, πλεῦσαι εὐθὺς ἐπὶ τὸν Πειραιᾶ. 3. οὔτε γὰρ ναυτικὸν ἦν προφυλάσσον ἐν αὐτῷ οὐδὲν, οὔτε προσδοκία οὐδεμία μὴ ἄν ποτε οἱ

160

Ὀλ. πζ'. ἐτ. δ'. πρὸ Χρ. υνθ'.

5

Ἀρχομένου τοῦ Ὀκτωβρίου μηνός.

10

῾γ'. 7. Ἐπικρατεῖν] ἰσχύειν τοὺς Ἀθηναίους. (λ. Κασσ. Ἀγγ.) — 8. Τὸ ὑπηρέσιον] ὑπηρέσιόν ἐστι τὸ κῶας, ᾧ ἐκπάθηνται οἱ ἐρέσσοντες διὰ τὸ μὴ συντρίβεσθαι αὐτῶν τὰς πυγάς. — 12. Πλεῦσαι] ἀπὸ κοινοῦ τὸ ἐδόκει.

Cap. XCIII. *Κρισαῖον.* Cf. ad cap. praeced. §. 6.

Οἱ ἄλλοι. Οἱ om. E. Chr.

Ἀρχομένου. Pal. *ἀρχόμενα*, corr. rec. man.

Μεγαρέων. Vulgo *τῶν Μεγ.*, sed art. de. Cass. Aug. Cl. C. Pal. H. Vat. Reg. Gr. Laur. Bekk. Uncis circumscripserat Haack.

Ἀποπειρᾶσαι. Ita recte Bekk. Vulgo (et Haack.) *ἀποπειράσαι.* Cf. supra ad cap. 77.

Ἀφύλακτος. E. *καὶ ἀφύλ.*

Ἄκλητος Pal. It. Vat. H. Bekk. In Gr. et I. *ἄκλητος*, in hoc tamen *ει* s. *η* ead. man. Vulgo (et Haack.) *ἄκλειστος.* At vid. I. 1. p. 212. sq.

Τῷ ναυτικῷ. E. *τὸ ναυτικόν.*

Ναυτῶν. Vind. *αὐτῶν.*

Τροπωτῆρα. Ar. Chr. *τροποτῆρα.*

Ἀθήνας. Laur. E. Ar. Chr. Dan, *Ἀθηναίους.*

Κατὰ τάχος ἐς Μέγαρα. E. *ἐς Μέγ. κατὰ τάχ.*

Μέγαρα. H. Reg. (G.) *Μέγαρά τε.*

Νισαίας. Ar. Chr. *Νισαίας* passim, sicut statim prox. cap., Dan. semper. Male.

Πλεῦσαι εὐθύς. H. Reg. (G.) *εὐθὺς πλεῦσαι.*

Πειραιᾶ. Pal. *Πειρεᾶ.* Vind. *Πειραΐα.*

3. *Οὔτε γάρ.* Tota haec sectio quodammodo parenthesim efficit.

Οὐδεμία. Chr. *οὐδὲ μία*, et init. prox. cap. *οὐδὲ μιᾶς.*

Ἄν ποτε. In *ἄν* si haereas, vid.

Digitized by Google

πολέμιοι ἐξαπιναίως οὕτως ἐπιπλεύσειαν· ἐπεὶ † οὔτ' † ἀπὸ τοῦ προφανοῦς τολμῆσαι ἂν καθ' ἡσυχίαν, † οὔτε †, εἰ διενοοῦντο, μὴ οὐκ ἂν προαισθέσθαι. 4. ὡς δὲ ἔδοξεν αὐτοῖς, καὶ ἐχώρουν εὐθύς· καὶ ἀφικόμενοι νυκτὸς, καὶ καθελκύσαντες ἐκ τῆς Νισαίας τὰς ναῦς, ἔπλεον ἐπὶ μὲν τὸν Πειραιᾶ οὐκέτι, ὥςπερ διενοοῦντο, καταδείσαντες τὸν κίνδυνον, (καί τις καὶ ἄνεμος λέγεται αὐτοὺς κωλῦσαι,) ἐπὶ δὲ τῆς Σαλαμῖνος τὸ ἀκρωτήριον τὸ πρὸς Μέγαρα ὁρῶν· καὶ φρούριον ἐπ' αὐτοῦ ἦν, καὶ νεῶν τριῶν φυλακὴ, τοῦ μὴ ἐκπλεῖν Μεγαρεῦσι μηδ' ἐκπλεῖν μηδένα· τῷ τε φρουρίῳ προσέβαλον, καὶ τὰς τριήρεις ἀφείλκυσαν κενὰς, τήν τε ἄλλην Σαλαμῖνα ἀπροσδοκήτοις ἐπιπεσόντες ἐπόρθουν.

4. Ἀφικόμενοι] εἰς τὰ Μέγαρα δηλονότι (l. Κασσ. Λύγ.) — 8. Τὸ ἀκρωτήριον] τὸ Βούδορον καλούμενον. — 12. Κενάς] τῶν ἀνδρῶν δηλονότι.

adnot. et interea Thiersch. Gr. §. 335. 2. et Intt. ad Xen. Anab. VI. 1, 28.

Ἐξαπιναίως. B. ἐξαπινέως.

Οὔτ' — οὔτε. In libris οὐδ' — οὐδέ. Nostrum coniecit Bekk., quod grammatica postulante recepimus. Satis habemus provocasse ad Buttm. Gr. med. §. 136.

Τοῦ ante προφανοῦς om. B., sicut εἰ post οὔτε C.

Προαισθέσθαι. It. Vat. προαίσθεσθαι, quod praesens Bekk. VII, 75. Thucydidi obtrusit. Add. Buttm. Gr. max. II. 1. p. 68. Sed hic praecedit τολμῆσαι. Pal. προήσθεσθαι.

4. Καὶ ἀφικόμ. Καί om. G. (?).

Ἐκ τῆς. Ar. Chr. Dan. ἐπὶ τῆς.

Οὐκέτι. Laur. οὔ.

Καί τις καί. Alterum καί om. cod. Bas. „Καί post τίς saepe abundare ex hoc et pluribus Thucydidis aliorumque locis docet Stephanus in Script. de Dialect. p. 34." DUK. Cf. id. ad IV, 121. et VIII, 83. vel nos in adnotatt. ad I, 107. Non abundare autem, sed *etiam* significare manifestum est.

Λέγεται αὐτούς Cass. Aug. Pal. It. Vat. H. Reg. (G.) Mosqu. Bekk. Vulgo (et Haack.) αὐτοὺς λέγεται. Statim Pal. male κωλύσαι.

Καὶ φρούριον — μηδέν. Haec vulgo in parenthesi leguntur, quod non permittunt verba τῷ τε φρουρίῳ προσέβαλον aperte huc respicientia. Parenthesis signa igitur removit Bekk., qui punctum post μηδέν posuit. Add. not.

Αὐτοῦ. Mosqu. Ar. Chr. αὐτῷ.

Ἐκπλεῖν. Cod. Bas. Laur. E. ἐπιπλεῖν.

Προσέβαλον. Gr. Laur. προσέβαλλον.

Ἀφείλκυσαν. G. ἐφείλκυσαν.

Ἀπροσδοκήτοις. E. ἀπροσδοκήτως.

Digitized by Google

(Ἐν Ἀθήναις μεγίστη γίγνεται ἔκπληξις· βοηθησάντων γε μέντοι αὐτῶν οἱ Πελοποννήσιοι ἐπὶ Νισαίας κἄπειτα ἐπὶ Κορίνθου ἀποχωροῦσιν.)

ϟδ'. Ἐς δὲ τὰς Ἀθήνας φρυκτοί τε ᾔροντο πολέμιοι, καὶ ἔκπληξις ἐγένετο οὐδεμιᾶς τῶν κατὰ τὸν πόλεμον ἐλάσσων. οἱ μὲν γὰρ ἐν τῷ ἄστει ἐς τὸν Πειραιᾶ ᾤοντο τοὺς πολεμίους ἐςπεπλευκέναι ἤδη, οἱ δ' ἐν τῷ Πειραιεῖ τήν τε Σαλαμῖνα ᾑρῆσθαι [ἐνόμιζον], καὶ παρὰ σφᾶς ὅσον οὐκ ἐςπλεῖν αὐτούς· ὅπερ ἂν, εἰ ἐβουλήθησαν μὴ κατοκνῆσαι, ῥᾳδίως ἂν ἐγένετο, καὶ οὐκ ἂν ἄνεμος ἐκώλυσε. 2. βοηθήσαντες δὲ ἅμ' ἡμέρᾳ πανδημεὶ οἱ Ἀθη-

ϟδ'. 1. Φρυκτοί] φρυκτοί εἰσι λαμπάδες τινὲς ἀπὸ ξύλων γινόμεναι, ἅς τινας βαστάζοντες ἄνωθεν τῶν τειχῶν ἐσήμαινον τοῖς πλησιοχώροις ἢ τοῖς συμμάχοις, ὅτ' ἄν τινας ἑώρων πολεμίους ἐπιόντας, ὡς ὅτι δεῖ προφυλάξασθαι. οὐ μόνον δὲ ἐπὶ πολεμίων τοῦτο ἐποίουν· ἀλλὰ καὶ ἐπὶ φίλων, ὅτ' ἂν ἑώρων βοήθειαν αὐτοῖς ἐρχομένην, ἐσήμαινον πάλιν διὰ τῶν φρυκτῶν, ὡς οὐ δεῖ θορυβεῖσθαι. καὶ ὅτ' ἂν μὲν φίλους ἐδήλουν, ἐβάσταζον τοὺς φρυκτοὺς ἠρεμοῦντες· ὅτ' ἂν δὲ πολεμίους, ἐκίνουν τοὺς φρυκτοὺς, [δηλοῦντες τὸν φόβον. (λ. Κασσ. Αὐγ.)] — 2. Ἔκπληξις ἐγένετο] τοῖς Ἀθηναίοις. (λ. Αὐγ.) — 3. Οἱ μὲν γὰρ ἐν τῷ ἄστει] ὄντες δηλονότι. (λ. Αὐγ.) — 5. Ἡιρῆσθαι] ἑαλωκέναι. (λ. Αὐγ.) — 6. Ὅσον οὐκ] ἀντὶ τοῦ σχεδὸν, ὡς τὸ μονονουχί. — Ἐςπλεῖν αὐτούς] ἀντὶ τοῦ ὅτι μέλλουσιν ἐςπλεῖν. — 8. Βοηθήσαντες] μετὰ βοῆς συνδραμόντες. (λ. Κασσ. Αὐγ.)

Cap. XCIV. Τὸν πόλεμον. Τόν de. m. Ar. Chr. Dan. Verum non de omnibus bellis, sed de praesenti loquitur scriptor.

Τοὺς πολεμίους ἐςπεπλευκέναι. m. ἐςπεπλ. τοὺς πολεμ.

Τήν τε Σαλαμῖνα Cass. Aug. Cl. C. F. Pal. It. Vat. H. Reg. (G.) Cam. Gr. I. Mosqu. marg. Steph. Vall. Haack. Bekk. Olim τήν τε τῶν Σαλαμινίων πόλιν, ex interpr. Antea pro Πειραιεῖ Pal. Πειραῖα ἀεί, sed corr. rec. man.

Ἡιρῆσθαι. B. Laur. E. Vind. m. Ar. Chr. Dan. Ald. Flor. Bas. Steph. 1. ἑαλωκέναι. At vid. Schol.

Ἐνόμιζον, quod vulgo aberat, ex Cass. Aug. Cl. C. F. It. Vat. H. Reg. (G.) Cam. Gr. I. Mosqu. marg. Steph. receperunt Haack. et Bekk. Non agnoscitur a Valla, nec enotatum e Pal., sive ibi non exstat, sive incuria collatoris. Manet sane suspectum, quum ab interpretibus adiici potuerit.

Ἐςπλεῖν. I. ἐςπλῆν, nisi fallit Gail.

Ὅπερ ἂν, εἰ. G. ὅπερ εἰ ἂν μή.

Ῥᾳδίως ἄν. Ἄν om. Laur. E m. Ar. Chr. Dan. At vid. adnot. ad I. 36. et interea Thiersch Gr. §. 337.

2. Ἅμ' ἡμέρᾳ. I. ἅμα ἡμέρᾳ. Ἅμα tamen apostrophum etiam III, 17. patitur. III, 107. ἅμα τῇ

ναῖοι ἐς τὸν Πειραιᾶ, ναῦς τε καθεῖλκον, καὶ ἐςβάντες κατὰ σπουδὴν καὶ πολλῷ θορύβῳ, ταῖς μὲν ναυσὶν ἐπὶ τὴν Σαλαμῖνα ἔπλεον, τῷ πεζῷ δὲ φυλακὰς τοῦ Πειραιῶς καθίσταντο. 3. οἱ δὲ Πελοποννήσιοι ὡς ᾔσθοντο τὴν βοήθειαν, καταδραμόντες τῆς Σαλαμῖνος τὰ πολλὰ, 161. καὶ ἀνθρώπους καὶ λείαν λαβόντες καὶ τὰς τρεῖς ναῦς ἐκ τοῦ Βουδόρου τοῦ φρουρίου, κατὰ τάχος ἐπὶ τῆς Νισαίας ἔπλεον· ἔστι γὰρ † ὅ τι † καὶ αἱ νῆες αὐτοὺς διὰ χρόνου καθελκυσθεῖσαι, καὶ οὐδὲν στέγουσαι, ἐφόβουν. ἀφικόμενοι δὲ ἐς τὰ Μέγαρα, πάλιν ἐπὶ τῆς Κορίνθου ἀπεχώρησαν πεζοί. 4. οἱ δ' Ἀθηναῖοι, οὐκέτι καταλαβόντες πρὸς τῇ Σαλαμῖνι, ἀπέπλευσαν καὶ αὐτοί. καὶ μετὰ τοῦτο φυλακὴν ἅμα τοῦ Πειραιῶς μᾶλλον τὸ λοιπὸν ἐποιοῦντο λιμένων τε κλῄσει καὶ ἄλλῃ ἐπιμελείᾳ.

(2. Σιτάλκου Ὀδρύσου στρατεία ἐπὶ Περδίκκαν Μακεδόνων βασιλέα. — ρα'. Αἰτίαι τῆς στρατείας.)

ϟε'. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους, τοῦ χειμῶνος τού- Ὀλ. πζ'. ἔτ. δ'. πρὸ Χρ. υκθ'. ἀρχομένου τοῦ Ὀκτωβρίου. μηνός.

9. Οὐδὲν στέγουσαι] ὕδωρ δηλονότι.

ἡμέρᾳ, sicut saepissime apud Xenoph.

Καθίσταντο. Ar. καθίσαντο.

3. Ἤισθοντο. Laur. E. ᾐσθάνοντο. Praecedens ὡς B. om.

Βουδόρου. Laur. Vind. Βουδώρου. Vid. I. 2. p. 266.

Ἔπλεον. Gr. D. I. Laur. E. m. Ar. Chr. Dan. ἀπέπλεον. Mosqu. ἐπέπλεον. De praeced. Νισαίας cf. ad c. 93, 2.

Ὅ τι pro ὅτε ex Abresch. coniectura (Dilucc. p. 269.) reposuimus. Nam ἔστιν ὅτε significaret *nonunnquam*, sed hic dicendum *nonnihil*.

Αἱ νῆες. Αἱ om. Gr.

Τὰ Μέγαρα. Τά om. Laur. E. m. Ar. Chr. Dan.

Ἐπί. C. E. Vind. ἀπό.

Πεζοί. Laur. E. Vind. m. (in quo supra scr. γρ. οι,) Ar. Chr. Dan. marg. Steph. πεζῇ. Πεζοί tali modo Thucydidem nunquam dixisse scripsit Wass. ad I, 143., cui repugnat noster locus, nisi in eo deterr. libros sequi velis, quod suasit Benedict.

4. Δ' Ἀθηναῖοι. D. Ἀθηναῖοι δέ, sed ead. man. δ' Ἀθην.

Οὐκέτι. Cod. Bas. (ex emend.) et marg. Steph. αὐτοὺς οὐκέτι. ex interpr.

Ἅμα Cass. Aug. Cl. C. F. Pal. It. Vat. H. Reg. (G.) cod. Bas. Gr. I. Haack. Bekk. Olim ἤδη.

Κλῄσει Pal. It. Vat. H. Bekk. In Cass. Cl. Gr. κλήσει. Aug. quidem κλείσει, sed, ut videtur, a correct.; super ει priore scriptum est η. Vulgo (et Haack.) κλείσει. Cf. I. 1. p. 212. sq.

Digitized by Google

του ἀρχομένου, Σιτάλκης ὁ Τήρεω, Ὀδρύσης, Θρᾳκῶν βασιλεὺς, ἐστράτευσεν ἐπὶ Περδίκκαν τὸν Ἀλεξάνδρου, Μακεδονίας βασιλέα, καὶ ἐπὶ Χαλκιδέας τοὺς ἐπὶ Θράϊκης, δύο ὑποσχέσεις τὴν μὲν βουλόμενος ἀναπρᾶξαι, τὴν δὲ αὐτὸς ἀποδοῦναι. 2. ὅ τε γὰρ Περδίκκας, αὐτῷ 5 *ὑποσχόμενος, εἰ Ἀθηναίοις τε διαλλάξειεν ἑαυτὸν κατ' ἀρχὰς τῷ πολέμῳ πιεζόμενον, καὶ Φίλιππον τὸν ἀδελφὸν αὐτοῦ, πολέμιον ὄντα, μὴ καταγάγοι ἐπὶ βασιλείᾳ, ἃ*

ιε'. 1. *Σιτάλκης ὁ Τήρεω*] *ἐντεῦθεν τὰ Θρᾳκικὰ καὶ Σιτάλκου ἐπιστρατεία.* (*Αὐγ.*) — 4. *Δύο ὑποσχέσεις*] *ἀντὶ γενικῆς ἡ αἰτιατικὴ Ἀττικῶς. σημείωσαι παρόμοιον τῷ δύο μὲν σκόπελοι ὁ μὲν οὐρανόν.* * * *Ἡ ἱστορία τῆς παρούσης ὑποθέσεως ἔχει οὕτως. Ἀλέξανδρος Μακεδόνων βασιλεὺς ἔσχεν υἱοὺς δύο, Περδίκκαν καὶ Φίλιππον. Δραξάμενος δὲ τῆς ἀρχῆς ὁ Περδίκκας, ἀπεξήλασεν τὸν ἀδελφὸν αὐτοῦ Φίλιππον. ὁ δὲ, ἐπὶ Σιτάλκην, τὸν βασιλέα τῶν Θρᾳκῶν, καταφυγών, ἐδεῖτο καταγαγεῖν αὐτὸν, καὶ τὴν τῶν Μακεδόνων βασιλείαν ἀποδοῦναι· ὁ δ' ὑπέσχετο. μαθὼν δὲ τοῦτο ὁ τοῦ Φιλίππου ἀδελφὸς Περδίκκας, ἀπέσπειλε πρὸς Σιτάλκην πρέσβεις, ὑποσχεθεὶς αὐτῷ χρήματα, εἰ μὴ καταγάγοι τὸν Φίλιππον, οὐκ ὀλίγα. ἃ μὲν καὶ ὁ Σιτάλκης πεισθεὶς, οὐ κατήγαγε τὸν Φίλιππον· ὡς δὲ οὐδὲν ἀποδέδωκε πρὸς αὐτὸν ὁ Περδίκκας ἅπερ ὑπέσχετο, ἐστράτευσε κατ' αὐτοῦ, τὸν Φιλίππου υἱὸν ἀντὶ τοῦ πατρὸς ἀνταναγόμενος. ἐπεὶ δὲ αὐτοῦ καὶ οἱ Ἀθηναῖοι ἐδέοντο, ὑπὸ Χαλκιδέων τῶν ὑπὸ Περδίκκαν ὄντων βλαπτόμενοι ἐν τοῖς Θρᾳκικοῖς χωρίοις τε καὶ συμμάχοις αὐτῶν, καταλῦσαι τὸν πόλεμον καὶ τὴν ἀπὸ † τοῦ Γ. † βλάβην, ἐστράτευσε κατὰ Χαλκιδέων τε καὶ Περδίκκα, † τὸν μὲν ἀμυνόμενος οἷς ἐψεύσατο μετελθεῖν † αὐτῷ τὰ ὑπεσχημένα, τοὺς δὲ μετελθεῖν ἐπειγόμενος, τὴν παρὰ τῶν Ἀθηναίων ὑπόσχεσιν ἐκπληρώσων.* (*Βασ.*) — *Ἀναπρᾶξαι*] *εἰςπρᾶξαι, ἀπαιτῆσαι.* — 5. *Ἀποδοῦναι*] *τοῖς Ἀθηναίοις δηλονότι.* — *Αὐτῷ*] *τῷ Σιτάλκῃ.* (*λ. Κασσ. Αὐγ.*) — 6. *Διαλλάξειεν*] *φίλον ποιήσειεν.* (*λ. Κασσ. Αὐγ.*)

Cap. XCV. *Τήρεω.* Pal. Gr. *Τήρεως.* D. I. *Τύρεω.* At vid. supra cap. 29.

Ὀδρύσης. Pal. male *ὁ Ὀδρ.*

Θρᾳκῶν. D. I. *Θράκης.* Nostrum in eadem formula habes II, 29.

Μακεδονίας I. in marg., sed ead. man. habet.

Δύο ὑποσχ. Ante *δύο* vulgo additur *διά*, quod om. Cass. Aug. Cl. C. It. Vat. Gr. D. I. m. (in quo postremo tamen vacuum spatium relictum et erasum esse videtur.) Uncis inclusit Haack., delevit Bekk. Est notissimum schema Homericum, de quo vid. Schol. et Matth. Gr. §. 288. adnot. 2. et alibi.

Ἀποδοῦναι. G. *ἐπιδοῦναι*, sed *ἀπό* s. v. Pal. et marg. Ald. Vin. addunt *τοῖς Ἀθηναίοις*, ex interpr.

2. *Πιεζόμενον.* D. *πιεζόμενος.*

Βασιλείᾳ. Marg. Flor. Vin. male *βασιλεῖα. Ἐπὶ βασιλείᾳ, ad imperium ei conciliandum,*

Digitized by Google

ὑπεδέξατο, οὐκ ἐπετέλει· τοῖς τε Ἀθηναίοις αὐτὸς ὡμολογήκει, ὅτε τὴν ξυμμαχίαν ἐποιεῖτο, τὸν ἐπὶ Θράκης Χαλκιδικὸν πόλεμον καταλύσειν. 3. ἀμφοτέρων οὖν ἕνεκα τὴν ἔφοδον ἐποιεῖτο, καὶ τόν τε Φιλίππου υἱὸν Ἀμύνταν ὡς ἐπὶ βασιλείᾳ τῶν Μακεδόνων ἦγε, καὶ τῶν Ἀθηναίων [πρέσβεις] οἳ ἔτυχον παρόντες τούτων ἕνεκα, καὶ ἡγεμόνα Ἄγνωνα. ἔδει γὰρ καὶ τοὺς Ἀθηναίους ναυσί τε καὶ στρατιᾷ ὡς πλείστῃ ἐπὶ τοὺς Χαλκιδέας παραγενέσθαι.

(*Κατάλογος τῶν ὑπὸ Σιτάλκη στρατευομένων φύλων.*)

ϟς'. Ἀνίστησιν οὖν, ἐκ τῶν Ὀδρυσῶν ὁρμώμενος, πρῶτον μὲν τοὺς ἐντὸς τοῦ Αἵμου τε ὄρους καὶ τῆς Ῥοδόπης Θρᾷκας, ὅσων ἦρχε μέχρι θαλάσσης, ἐς τὸν Εὔ-

1. Τπεδέξατο] ὑπέσχετο. (λ. Κασσ. Ἀνγ.) — 6. Οἳ ἐτύγχανον παρόντες] ἀπὸ κοινοῦ τὸ ἦγε. — 7. Ἄγνωνα] οὗτος ἔκτισε τὴν Ἀμφίπολιν.

ϟς'. 10. Ἀνίστησιν] ** ἐπάγεται (Βασ.), στράτευμα δηλονότι. (λ. Ἀνγ.) — 12. Ἐς τὸν Εὔξ. — —] ἕως τοῦ Εὐξείνου πόντου καὶ τοῦ Ἑλλησπόντου. (λ. Ἀνγ.)

imperii causa, usitatissimum. Vide statim §. 3.

Ὅτε. I. ὁ cum τέ s. v., sed ead. man.

Ἐποιεῖτο. Dan. pergit καὶ τόν Φιλ. Omisit igitur proxima ob pis positum ἐποιεῖτο.

3. Πρέσβεις om. Cass. (in quo man. rec. adscriptum), Aug. Cl. unde suspectum fit. „Sed quum cap. 101. item πρέσβεις missi memorentur, qui iidem haud dubie hic intelligendi sunt, et verba τῶν Ἀθην. οἳ ἔτυχον παρόντες τούτων ἕνεκα, ut non alios quam legatos significarent, nimis nude posita viderentur: πρέσβεις sanum putamus.“ HAACK.

Ἔτυχον. Schol. marg. Steph. ἐτύγχανον.

Ἄγνωνα. Vat. ἀγῶνα. De spiritu vocabuli, qui ante Bekker. lenis erat, vid. ad I, 117.

Cap. XCVI. Ἀνίστησιν — Θρᾷκας om. Mosqu.

Ὀδρυσῶν. F. Ὀδρυσσῶν.

Αἷμον Cl. Vat. Reg. hic et paulo post, Gr. Laur. Ar. passim, edit. Vind. Haack. Bekk. Olim Ἄιμον et mox Ἄιμον. Cf. I. 2. p. 321. Proximum τέ om. cod. Bas. Gr.

Θαλάσσης. Vulgo τῆς θαλ., sed artic. de. Cass. Aug. Cl. C. It. Vat. H. Reg. (G.) cod. Bas. Gr. D. I. Laur. E. Haack. Bekk. „Ortus est ex loco proxime sequenti πρὸς θάλασσαν — τὴν τοῦ Εὐξ. πόντ. Hoc autem loco verbis Εὔξεινόν τε Πόντον καὶ τὸν Ἑλλήσποντον explicantur praecedentia μέχρι θαλ., ut recte monet Benedict.“ HAACK. Caeterum ob Schol., cui olim caput μέχρι θαλάσσης praefigebatur, omnia verba ἐς τὸν,—

Digitized by Google

ξεινόν τε πόντον καὶ τὸν Ἑλλήσποντον· ἔπειτα τοὺς ὑπερβάντι Ἄιμον Γέτας, καὶ ὅσα ἄλλα μέρη ἐντὸς τοῦ Ἴστρου ποταμοῦ πρὸς θάλασσαν μᾶλλον τὴν τοῦ Εὐξείνου πόντου κατώκητο. (εἰσὶ δ' οἱ Γέται καὶ οἱ ταύτῃ ὅμοροί τε τοῖς Σκύθαις καὶ ὁμόσκηνοι, πάντες ἱπποτοξόται.) 2. παρεκάλει δὲ καὶ τῶν ὀρεινῶν Θρᾳκῶν πολλοὺς τῶν αὐτονόμων καὶ μαχαιροφόρων, οἳ Δῖοι καλοῦνται, τὴν Ῥοδόπην οἱ πλεῖστοι οἰκοῦντες, καὶ τοὺς μὲν μισθῷ ἔπεισθεν, οἱ δ' ἐθελονταὶ ξυνηκολούθουν. 3. ἀνίστη δὲ καὶ Ἀγριᾶνας, καὶ Λαιαίους, καὶ ἄλλα ὅσα ἔθνη Παιονικά, ὧν ἦρχε. καὶ ἔσχατοι τῆς ἀρχῆς οὗτοι ἦσαν μέχρι Γραικῶν Παιόνων καὶ τοῦ Στρυμόνος ποταμοῦ,

1. *Μέρη*] γένη, ἐθνῶν δηλονότι. (λ. Λύγ.) — 12. *Τοῦ Στρυμόνος*] Στρυμὼν ποταμὸς Θρᾴκης περὶ τὴν Ἀμφίπολιν. ὅρα πόθεν ἄρχεται ὁ Στρυμὼν ποταμὸς, καὶ ποῦ καταλήγει. καὶ ἔτι ὁ Ὄσκιος ποταμὸς καὶ ὁ Νέσος, ὃν Νέστον οὗτος καλεῖ· ἔτι γε μὴν καὶ ὁ Ἕβρος.

Ἑλλήσπ. suspecta videri poterant, quod nunc secus erit.

Ὑπερβάντι. H. cod. Bas. E. Mosqu. marg. Ald. Vin. ὑπερβάντας, quod in D. I. s. v. al. man. adnotatum. „Vix mentione digna altera lectio; sed cum articulo τούς aliquod participium subaudiamus necesse est.“ STEPH. „Participium, quod deesse putat, potest esse ὄντας aut aliud huiusmodi.“ DUK. De dativo vid. adnot. ad II, 49, 5.

Τοῦ Ἴστρου. Τοῦ om. Gr.

Εἰσὶ — ἱππ. His parenthesis signa addenda putavimus.

2. Ὀρεινῶν. Pal. ὀρινῶν.

Τῶν αὐτονόμων. Τῶν om. Gr.

Δῖοι. Cass. Pal. Gr. Δῖοι.

3. Ἀγριᾶνας. Pal. et edit. Vind. Ἀγριάνας, Gr. Ἀκιάνας, utrumque male, ut ex Arriano, Polybio aliisque et prosodiae regulis constat.

Λαιαίους Cass. Cl. Pal. It. Vat. Reg. (? G. Λεαίους, s. v. γρ. Λᾶι, et similiter, ut videtur, H.) cod. Bas. Gr. Laur. Vind. Ar. Chr. Dan. et, ut videtur, etiam plerique Parr. et m. hic et in proximis. Ante Gottl. Λεαίων. Steph. Byz. Λαῖνοι ex Thucyd. l. II. citat. Cf. I. 2. p. 390.

Ἄλλα ὅσα. Ar. Chr. ὅσα ἄλλα.

Παιονικά. G. Παιωνικά, ō s. ω̄. D. πολεμικά, quod in I. s. v. ead. man. adnotavit. Deinde Bekk. in minn. exempll. cum Cass. ἦρχεν.

Ἔσχατοι τῆς ἀρχῆς. G. ἔσχατο (ἔσχατοι) τῆς γῆς.

Μέχρι Γραικῶν Παιόνων. Vulgo μέχρι Γραικῶν καὶ Λαιαίων Παιόνων. Sed verba καὶ Λαιαίων inepta esse decueramus iam Obss. critt. p. 125., et in hac edit. I. 2. p. 386. sq. nec apte defendit Krüg. l. l. p. 26. Mosqu. μέχρι Γρα. καὶ Λαι. καὶ Παιόν. Dan. μέχρι Γαιῶν καὶ Λαι. Παιόν. C. F. cod. Bas. D. Laur. μέχρι γὰρ Λαιαίων Παιόν., quod etiam in It. adnotatum est. I.

Digitized by Google

162. ὃς ἐκ τοῦ * Σκόμβρου * ὄρους διὰ Γραικίων καὶ Λαιαίων ῥεῖ, οὗ ὡρίζετο ἡ ἀρχὴ τὰ πρὸς Παίονας αὐτονόμους ἤδη. 4. τὰ δὲ πρὸς Τριβαλλοὺς, καὶ τούτους αὐτονόμους, Τρῆρες ὥριζον καὶ Τιλαταῖοι. οἰκοῦσι δ' οὗτοι
5 πρὸς βορέαν τοῦ * Σκόμβρου * ὄρους, καὶ παρήκουσι πρὸς ἡλίου δύσιν μέχρι τοῦ Ὀσκίου ποταμοῦ. ῥεῖ δ' οὗτος ἐκ τοῦ ὄρους ὅθενπερ καὶ ὁ Νέστος καὶ ὁ Ἕβρος. ἔστι δὲ ἔρημον τὸ ὄρος καὶ μέγα, ἐχόμενον τῆς Ῥοδόπης.

(*Μέγεθος καὶ πρόσοδοι τῆς ἀρχῆς τῆς Ὀδρυσῶν.*)

10 ϛ'. Ἐγένετο δὲ ἡ ἀρχὴ ἡ Ὀδρυσῶν μέγεθος, ἐπὶ

2. *Οὗ ὡρίζετο*] τὸ τέλος εἶχε. (λ. *Αὐγ.*) — 5. *Παρήκουσι*] παρατείνονται. (λ. *Αὐγ.*) — 8. *Τὸ ὄρος*] τὸ *Σκόμιον* δηλονότι. (λ. *Αὐγ.*)

μέχρι γὰρ Λαιαίων καὶ Παιόν. Gr. E. *μέχρι γὰρ Γραικίων καὶ Λαι. Παιόν.* Vind. *μέχρι Λαιαίων Παιόν. Γραικίων* igitur quum propter praecedens *Λαιαίους* in *γὰρ Λαιαίων* depravatum esset, in aliis libris utraque scriptura confusa, in aliis *γάρ*, quod ineptum esse intelligebatur, deletum est. Ita orta est vulgata scriptura, praesertim quum hae voces statim sequenti versu, et ibi quidem recte, coniunctae legantur. Quibus verbis igitur olim obelos apponendos censueramus, quos addidit Haack., ea nunc cum Bekk. prorsus abiecimus.

Στρυμόνος. Reg. Ar. (et mox infra) Dan. *Στρυμμόνος*, ut duo horum librorum iam I, 98. 100. et infra c. 99. In m. *Στρύμονος.*

Σκόμβρου hic et infra Cass. Aug. (sed hic a corr., *β*enim et *ρ* a rec. man. hic et paulo post) Chr. (pro quo Marc. male exhibuerunt typothetae Bekk.) quos ob Aristotelis auctoritatem sequi non dubitavimus. Cf. I. 2. p. 311. Ar. Dan. *Σκέβρου.* Vulgo (Haack. Bekk.) *Σκομίου* hic et infra. D. I. E. *Κοσμίου.* (D. E. statim *τοῦ ὄρους* praebere male tradit Bekk.)

Γραικίων. D. I. E. *τῶν Γραικίων.*

Ὡρίζετο. Vat. *ὡρίζεται.* H. G. *ὁρίζεται*, in H. tamen s. v. al. man. *γρ. ὡρίζετο.*

Ἡ ἀρχὴ τά om. H.

Τὰ πρὸς Παίονας om. G. (?).

4. *Καὶ τούτους.* Cod. Bas. *καὶ τούς.*

Τιλαταῖοι. Cl. Mosqu. Ar. Chr. *Τριλαταῖοι.* Populus aliunde non notus. Cf. I. 2. p. 325.

Τοῦ Σκόμβρου ὄρους. De Scombri nomine vide paulo ante. D. E. artic. ante *ὄρους* repetunt.

Καὶ ὁ Ἕβρος. Ὁ om. E. *Ἕβρος* Haack. Bekk. Prius *Ἕβρος*, uti m. In Vat. H. G. *Ἔμβρος*, sed H. *γρ. Ἕβρος.* E. *Ἔυρος.*

Καὶ μέγα. Καί om. Ar.

Ἐχόμενον. Reg. (G.) *ἀρχόμενον.*

Cap. XCVII. *Ἡ ἀρχὴ ἡ Ὀδρυσῶν.* Ar. *ἡ ἀρχὴ Ὀδρ.* Chr. *ἡ ἀρχὴ τῶν Ὀδρ.*

Digitized by Google

μὲν θάλασσαν καθήκουσα, ἀπὸ Ἀβδήρων πόλεως ἐς τὸν Εὔξεινον πόντον τὸν μέχρι Ἴστρου ποταμοῦ· αὕτη περίπλους ἐστὶν ἡ γῆ τὰ ξυντομώτατα, ἢν ἀεὶ κατὰ πρύμναν ἱστῆται τὸ πνεῦμα, νηῒ στρογγύλῃ τεσσάρων ἡμερῶν καὶ ὅσων νυκτῶν· ὁδῷ δὲ τὰ ξυντομώτατα ἐξ Ἀβδήρων ἐς Ἴστρον ἀνὴρ εὔζωνος ἐνδεκαταῖος τελεῖ. 2. τὰ μὲν πρὸς θάλασσαν τοσαύτη ἦν· ἐς ἤπειρον δὲ ἀπὸ Βυζαντίου ἐς Λαιαίους καὶ ἐπὶ τὸν Στρυμόνα (ταύτῃ γὰρ διὰ πλείστου ἀπὸ θαλάσσης ἄνω) ἐγίγνετο ἡμερῶν ἀνδρὶ εὐζώνῳ τριῶν καὶ δέκα ἀνύσαι. 3. φόρος τε ἐκ πάσης τῆς βαρβάρου καὶ τῶν Ἑλληνίδων πόλεων, ὅσον προσῆξαν ἐπὶ Σεύθου, ὃς ὕστερον Σιτάλκου βασιλεύσας

ιζ'. 2. *Περίπλους*] δυνατὴ περιπλευσθῆναι. (λ. *Ἀνγ.*) — 4. *Νηῒ στρογγύλῃ*] ἐμπορικῇ, διὰ τὸ πολεμικὰ, μακρότερα ὄντα. — 5. *Ὁδῷ*] διὰ ξηρᾶς. (λ. *Ἀνγ.*) — 6. *Εὔζωνος*] εὐσταλὴς καὶ κοῦφος καὶ μηδὲν ἔχων τὸ ἐμποδίζον. — 9. *Διὰ πλείστου*] διαστήματος δηλονότι. (λ. *Ἀνγ.*) — 11. *Ὅσον προσῆξαν*] φόρον δηλονότι. (λ. *Ἀνγ.*)

Ἀπό. Gr. *ὑπ'*.

Ἀβδήρων. E. *Ἀυδήρων*, hic et paulo post.

Εὔξεινον. E. *Εὐξεινων*.

Πόντον. D. I. *ποταμόν*.

Τὸν μέχρι. *Τόν* om. C. D. Laur. E. In postremo *μέχρις*. At vid. I. 1. p. 215.

Ἐστίν. C. *ἔστην*, corr. al. man. E. *ἔσται*.

2. *Ὡς ἑώρων*] *ὡς ἔγνωσαν ὅτι ἔμαθον τὸν ἐπίπλουν καὶ προεφυλάξαντο οἱ Μιτυληναῖοι.* — *Ἀπήγγειλαν μὲν*] *τοῖς Μιτυληναίοις.* (*λ. Ἀὺγ.*) — *Τὰ ἐπεσταλμένα*] *τὰ προσταχθέντα.* — 9. *Ὁμολογίᾳ τινὶ ἐπιεικεῖ*] *συνθήκῃ τινὶ φιλανθρώπῳ. ἔνιοι δὲ, ἐπιεικεῖ· εὐπρεπεῖ.*

Cap. IV. *Καὶ οἱ Ἀθηναῖοι — οἱ στρατηγοί.* Gregor. Cor. p. 83., ubi *οἱ δὲ Ἀθηναῖοι* legitur. Gr. *καὶ οἱ Ἀθηναίων οἱ.*

Πολὺ Cass. Aug. C. F. Pal. It. H. Reg. (G.) Gr. Greg. Cor. Haack. Bekk. pro vulg. *πολλῷ*, quod per se non deterius est.

Ἐπεσταλμένα. C. *ἐπισταλ.*

Πόλεμον. Reg. (G.) *τὸν πόλεμον.*

2. *Ἀπαράσκευοι δέ.* E. addit *ὄντες*, at *ἀπαράσκευοι* ad *ἀναγκ. πολεμεῖν* referendum. Nam ut hic *ἀπαράσκευοι καὶ ἐξαίφνης*, ita 13, 2. de eadem re *Θᾶσσον καὶ ἀπαράσκευος.* Add. ad Xen. Anab. IV, 7, 23.

Καὶ ἐξαίφνης. *Καὶ* om. Ar. Chr. Dan.

Ἐποιήσαντο. B. *ἐποίησατο*, *ν* s. *α* al. man.

Ναυμαχίᾳ. Vind. Mosqu. (non, quod Bekk. tradit, Bas.) m. *ναυμαχίαν.* Cf. adnot. ad I, 48. E. *ναυμαχίας*, *ᾱ* s. *ας* al. man.

Καταδιωχθέντες. Cass. *καὶ διωχθ.*

Ὑπὸ τῶν Ἀττ. Dan. *ὑπὸ τῶν ἀπὸ τῶν Ἀττ.*

Ὁμολογίᾳ. Mosqu. *ὁμιλίᾳ.*

Ἐπιεικεῖ. C. *ἐπιεικῇ.*

3. *Μὴ οὐχ — ποιησάμενοι* ob vocabula similiter cadentia *ποιησάμενοι* et *φοβούμενοι* om. Dan.

Ὦσι al. man. additum habet E.

Λέσβῳ πάσῃ. E. *πάσῃ Λέσβῳ.*

Digitized by Google

κρυσιν ἐς τὰς Ἀθήνας οἱ Μυτιληναῖοι τῶν τε διαβαλλόντων ἔργα, ᾧ μετέμελεν ἤδη, καὶ ἄλλους, εἴ πως πεῖσειαν τὰς ναῦς ἀπελθεῖν, ὡς σφῶν οὐδὲν νεωτεριούντων. 5. ἐν τούτῳ δὲ ἀποστέλλουσι καὶ ἐς τὴν Λακεδαίμονα πρέσβεις τριήρει, λαθόντες τὸ τῶν Ἀθηναίων ναυτικὸν, οἳ ὥρμουν ἐν τῇ Μαλέᾳ, πρὸς βορέαν τῆς πόλεως· οὐ γὰρ ἐπίστευον τοῖς ἀπὸ τῶν Ἀθηναίων προχωρήσειν. 6. καὶ οἱ μὲν, ἐς τὴν Λακεδαίμονα ταλαιπώρως διὰ τοῦ πελάγους κομισθέντες, αὐτοῖς ἔπρασσον ὅπως τις βοήθεια ἥξει.

(Ἐς πόλεμον καθίστανται Μυτιληναῖοι καὶ Ἀθηναῖοι. Μάχη. Δευτέρα πρεσβεία Μυτιληναίων ἐς Λακεδαίμονα.)

ε'. Οἱ δ' ἐκ τῶν Ἀθηνῶν πρέσβεις ὡς οὐδὲν ἦλθον πράξαντες, ἐς πόλεμον καθίσταντο οἱ Μυτιληναῖοι καὶ
71. ἡ ἄλλη Λέσβος, πλὴν Μηθύμνης· οὗτοι δὲ τοῖς Ἀθηναίοις ἐβεβοηθήκεσαν, καὶ Ἴμβριοι, καὶ Λήμνιοι, καὶ τῶν ἄλλων ὀλίγοι τινὲς ξυμμάχων. 2. καὶ ἔξοδον μὲν

3. Ἀπελθεῖν] τῆς Μιτυλήνης δηλονότι. (λ. Ἀνγ.) — 6. Ἐν τῇ Μαλέᾳ] Μαλέα ἀκρωτήριον Λέσβου. — 7. ** Τοῖς ἀπὸ τῶν Ἀθηναίων] τοῖς πράγμασι δηλονότι, ἅπερ ἤλπιζον ἀπὸ τῶν Ἀθηναίων λήψεσθαι. (Κασσ.)

ε'. 13. Καὶ ἡ ἄλλη Λέσβος] καθίστατο εἰς μάχην δηλονότι. (λ. Κασσ. Ἀνγ.)

4. *Διαβαλλόντων.* Post hoc verbum σφᾶς addunt I. E. Ar. Chr. Dan. ed. Vind., ex int. In Cass. idem man. rec. in marg. script. Pro ipso διαβαλλ. Reisk. διαβαλόντων conjecit. Quo non opus esse I. 1. p. 152. vidimus.

Μετέμελεν. H. D. I. E. μετέμελλεν. „Huc fortassis respexit auctor Lexici in Montfauc. Bibl. Coisl. p. 483. [Bekk. Anecdd. p. 107.] Μεταμελεῖν [l. μεταμέλειν] ἀντὶ τοῦ μετανοεῖν. Θουκυδ. τρίτῳ. [μεταμέλεια. Quod ipsum habes c. 37.]" DUK.

Ἄλλους Cass. ex emend. rec. pro ἄλλως.

5. *Τὴν Λακ. Τήν* om. C. hic, non, ut Bekk. scribit, inferius.

Λαθόντες — Μαλέᾳ. Affert Lecap. p. 72.

Μαλέᾳ. Vind. Μαλέῳ. B. Μελέᾳ. Ad vid. I. 2. p. 444.

Προχωρήσειν. Gr. E. προσχωρ. Mire Valla: *Non enim fidem habebant iis, quae ab Atheniensibus offerebantur.* Sed videtur ille sententiam Graecorum quum non intelligeret, arbitratu suo locum constituisse. Cf. adnot.

Cap. V. Ἀθηνῶν. E. Ἀθηναίων. Post πρέσβεις autem ante Haack. male comma collocabatur.

Digitized by Google

τινα πανδημεὶ ἐποιήσαντο οἱ Μυτιληναῖοι ἐπὶ τὸ τῶν Ἀθηναίων στρατόπεδον, καὶ μάχη ἐγένετο, ἐν ᾗ οὐκ ἔλασσον ἔχοντες οἱ Μυτιληναῖοι οὔτε ἐπηυλίσαντο, οὔτε ἐπίστευσαν σφίσιν αὐτοῖς, ἀλλ' ἀνεχώρησαν. 3. ἔπειτα οἱ μὲν ἡσύχαζον, ἐκ Πελοποννήσου καὶ μετ' ἄλλης παρασκευῆς βουλόμενοι, εἰ προσγένοιτό τι, κινδυνεύειν. 4. καὶ γὰρ αὐτοῖς Μελέας Λάκων ἀφικνεῖται καὶ Ἑρμαιώνδας Θηβαῖος, οἳ προαπεστάλησαν μὲν τῆς ἀποστάσεως, φθάσαι δὲ οὐ δυνάμενοι τὸν τῶν Ἀθηναίων ἐπίπλουν, κρύφα μετὰ τὴν μάχην ὕστερον ἐξπλέουσι τριήρει, καὶ παρῆνουν πέμπειν τριήρη ἄλλην καὶ πρέσβεις μεθ' ἑαυτῶν· καὶ ἐκπέμπουσιν.

1. Ἐπὶ τὸ τῶν Ἀθηναίων στρατόπεδον] τὸ ὁρμοῦν ἐν τῇ Μαλέᾳ. (λ. Κασσ.) — 3. Ἐπηυλίσαντο] ἐπαυλίσασθαί ἐστι τὸ πλησίον τῶν πολεμίων νυκτὸς αὐλίσασθαι, καθυπερτερούντων αὐτῶν. — 4. Ἀνεχώρησαν] εἰς τὴν πόλιν δηλονότι. (λ. Ἀνγ.) — 5. Ἐκ Πελοπ. — βουλόμενοι, εἰ προσγένοιτό τι, κινδυνεύειν] τὸ ἑξῆς, βουλόμενοι, εἰ προσγένοιτό τι καὶ ἐκ Πελοποννήσου, μετ' ἄλλης παρασκευῆς κινδυνεύειν. — 7. Αὐτοῖς] τοῖς Μιτυληναίοις. (λ. Κασσ. Ἀνγ.)

2. Ἐποιήσαντο οἱ Μυτιλ. Proxima usque ad ἔχοντες οἱ Μυτιλ. ob repetitum Mytil. nomen om. F.

Στρατόπεδον. D. στρατεύματι, sed marg. ead. man. στρατόπεδον.

Ἐπηυλίσαντο. F. Pal. ἐπηυλήσαντο. Gr. ἐπιβλύσαντο, marg. ἐπιβλίσαντο, cum ō super β̄. E. ex corr. ἐπιηυλίσαντο.

Σφίσιν om. E.

3. Ἡσύχαζον. Vind. ἡσυχάζοντες.

Προσγένοιτο. C. F. Gr. I. προσγίγνοιτο, D. προσγίνοιτο.

4. Καὶ γάρ. Haec usque ad finem cap. parenthesis notis circumdedit Bekk., nam οἱ δὲ Ἀθηναῖοι c. 6. utique referuntur ad οἱ μὲν ἡσύχαζον supra §. 3.

Μελέας. F. G. Μαλέας.

Ἑρμαιώνδας. Mosqu. Ἑρμαιῶνδας. E. Ἑρμεωνδας.

Προαπεστάλησαν. B. προπεστάλ.

Καὶ παρῆνουν. Ante haec verba cum Bekk. comma pro puncto posuimus.

Πέμπειν. Cl. ἐκπέμπειν.

Τριήρη ἄλλην. F. ἄλλην τριήρη.

Ἑαυτῶν. Pal. Vat. H. αὐτῶν.

Digitized by Google

(Ἀθηναῖοι ἐπὶ Μυτιλήνῃ στρατοπεδεύονται καὶ ἐφορμοῦσιν.)

ς'. Οἱ δὲ Ἀθηναῖοι, πολὺ ἐπιῤῥωσθέντες διὰ τὴν τῶν Μυτιληναίων ἡσυχίαν, ξυμμάχους τε προσεκάλουν, οἳ πολὺ θᾶσσον παρῆσαν, ὁρῶντες οὐδὲν ἰσχυρὸν ἀπὸ τῶν Λεσβίων, καὶ περιορμισάμενοι τὸ πρὸς νότον τῆς πόλεως, ἐτείχισαν στρατοπέδω δύο ἑκατέρωθεν τῆς πόλεως, καὶ τοὺς ἐφόρμους ἐπ' ἀμφοτέροις τοῖς λιμέσιν ἐποιοῦντο. 2. καὶ τῆς μὲν θαλάσσης εἶργον μὴ χρῆσθαι τοὺς Μυτιληναίους· τῆς δὲ γῆς τῆς μὲν ἄλλης ἐκράτουν οἱ Μυτιληναῖοι καὶ οἱ ἄλλοι Λέσβιοι, προσβεβοηθηκότες ἤδη· τὸ δὲ περὶ τὰ στρατόπεδα οὐ πολὺ κατεῖχον οἱ Ἀθηναῖοι, ναύσταθμον δὲ μᾶλλον ἦν αὐτοῖς πλοίων καὶ ἀγορᾶς ἡ Μαλέα. καὶ τὰ μὲν περὶ Μυτιλήνην οὕτως ἐπολεμεῖτο.

ς'. 1. *Πολύ*] πολὺ ἢ πρότερον. (λ. Κασσ. Αὐγ.) — 3. *Οὐδὲν ἰσχυρόν*] οὐδεμίαν ἰσχυρὰν βοήθειαν. (λ. Κασσ. Αὐγ.) — 6. *Τοὺς ἐφόρμους*] τὰς ναυτικὰς ἐφόδους. (λ. Κασσ. Αὐγ.) — 7. *Καὶ τῆς μὲν θαλάσσης εἶργον μὴ χρῆσθαι*] ἀντὶ τοῦ ὥστε μὴ χρῆσθαι. ἔνιοι δὲ τὴν μὴ ἀπόφασιν περιττὴν φασι. τὸ γὰρ λεγόμενον τοιοῦτόν ἐστι, καὶ τῆς μὲν θαλάσσης εἶργον χρῆσθαι τοὺς Μιτυληναίους. ὥρμουν δὲ οἱ Ἀθηναῖοι ἐπ' ἀμφοτέροις τοῖς λιμέσι τῶν Μιτυληναίων, ὥστε μὴ δύνασθαι αὐτοὺς ἐκπλεῖν· τοῦτο γάρ ἐστι τὸ μὴ χρῆσθαι τῇ θαλάττῃ. — 9. *Προσβεβοηθηκότες*] πρὸς βοήθειαν δραμόντες. (λ. Κασσ. Αὐγ.) — 10. *Οὐ πολύ*] μέρος γῆς δηλονότι. (λ. Κασσ. Αὐγ.) — 11. *Αὐτοῖς*] τοῖς Ἀθηναίοις. (λ. Κασσ. Αὐγ.)

Gap. VI. *Οἱ δέ. Δέ* om. Dan.

Προσεκάλουν. Primam syllabam G. s. v. habet, sed ead. man. Mox C. *θᾶσσαν.*

Περιορμισάμενοι. Cass. C. Pal. It. Vat. H. G. *περιορμησάμενοι*, in G. tamen *ῑ* s. *η̄*. Gr. *περιορισ.*

Τὸ πρός. Articulum reperiantur qui abesse malint. Cf. not.

Τοὺς ἐφόρμους — ἐποιοῦντο. „Suid. h. v. et τὰς ἐφορμήσεις interpretatur.“ WASS.

2. *Καὶ οἱ — Ἀθηναῖοι* ob similiter cadentia nomina *Μυτιληναῖοι* et *Ἀθηναῖοι* om. Dan.

Περί. B. *ἐπεί.*

Ναύσταθμον – Μαλέα. „Thom. Mag., ubi legendum *πλοίων*, non *πλείων*.“ WASS. Ed. Vind. *ναύσταθμος*, fort. errore typogr., nam ita nullus liber. Cf. adnot.

Τὰ μέν. Μέν s. v. D.

Digitized by Google

(3. *Στρατεία Ἀθηναίων ἐς τὴν Λακωνικὴν, ἐπ' Οἰνιάδας καὶ ἐς Λευκάδα. Ἀσωπίου φόνος.*)

ζ'. Κατὰ δὲ τὸν αὐτὸν χρόνον τοῦ θέρους τούτου Ἀθηναῖοι καὶ ἐς Πελοπόννησον ναῦς ἀπέστειλαν τριάκοντα καὶ Ἀσώπιον τὸν Φορμίωνος στρατηγὸν, κελευσάντων Ἀκαρνάνων τῶν Φορμίωνός τινα σφίσι πέμψαι ἢ υἱὸν ἢ ξυγγενῆ ἄρχοντα. 2. καὶ παραπλέουσαι αἱ νῆες τῆς Λακωνικῆς τὰ ἐπιθαλάσσια χωρία ἐπόρθησαν. 3. ἔπειτα τὰς μὲν πλείους ἀποπέμπει τῶν νεῶν πάλιν ἐπ' οἴκου ὁ Ἀσώπιος, αὐτὸς δ' ἔχων δώδεκα ἀφικνεῖται ἐς Ναύπακτον. 4. καὶ ὕστερον Ἀκαρνᾶνας ἀναστήσας πανδημεὶ, στρατεύει ἐπ' Οἰνιάδας· καὶ ταῖς τε ναυσὶ κατὰ τὸν Ἀχελῷον ἔπλευσε, καὶ ὁ κατὰ γῆν στρατὸς ἐδῄου τὴν χώραν. 5. ὡς δ' οὐ προσεχώρουν, τὸν μὲν πεζὸν ἀφίησιν, αὐτὸς δὲ πλεύσας ἐς Λευκάδα, καὶ ἀπόβασιν ἐς Νήρικον ποιησάμενος, ἀναχωρῶν διαφθείρεται

ζ'. 1. *Τοῦ θέρους*] *ἐπὶ τοῦ θέρους.* (*λ. Κασσ. Αὐγ.*) — 2. *Καὶ ἐς Πελοπόννησον*] *ἡ ἐς ἀντὶ τῆς περί.* (*λ. Κασσ. Αὐγ.*) — 6. *Τὰ ἐπιθαλάσσια*] *ἢ ἐπὶ ἀντὶ τῆς παρά.* (*λ. Κασσ. Αὐγ.*) — 8. *Ἐπ' οἴκου*] *ἐπ' Ἀθήνας.* (*λ. Κασσ. Αὐγ.*) — 9. *Ἀναστήσας*] [*μετοικίσας.* (*λ. Κασσ. Αὐγ.*)] §. *ἐγείρας καὶ κινήσας, οὐκ ἐκβαλών.* — 12. *Προσεχώρουν*] *προσήρχοντο οἱ Οἰνιάδαι.* (*λ. Κασσ. Αὐγ.*) — 14. ** *Νήρικον*] *καὶ Ὅμηρος οἶδε ταύτην τὴν πόλιν, καὶ* [*τὸ*] *σημείωσαι, ὅτι τῆς Λευκάδος ἐστὶ μέρος.* (*Αὐγ.*) — *Ἀναχωρῶν*] *ὑποστρέφων.* (*λ. Κασσ. Αὐγ.*)

Cap. VII. *Ἐς Πελοπόννησον.* Cl. C. F. Reg. (G.) Gr. D. E. Vind. m. *περὶ Πελοπ.*, per se non male, sed ex interpr. Vid. Schol.

Τριάκοντα om. G. Antea B. *ἀπέστηλαν.*

Στρατηγὸν — Φορμίωνος ob repetitum Phormionis nomen om. Gr.

Τῶν Φορμ. Mosqu. *τὸν Φορμ.*

2. *Παραπλέουσαι.* Reg. (G.) *περιπλ.*

4. *Ταῖς τε. Τέ* om. Cl.

Ἐδῄουν. m. *ἐδῄουν*, sed corr.

5. *Δ' οὐ* om. Mosqu.

Τὸν μέν. Errore typogr. apud Duk. legitur *τ' μέν*, unde *τὴν μέν* transiit in edd. Lips. Vind. Gail. Ex Parr. B. C. F. G. H. I. *τὸν μέν* memorat Gail., videtur autem in libris omnibus extare, praeterquam quod Cam. *τὸ μέν* affert, et restitutum est ab Haack. et Bekk.

Δὲ πλεύσας. D. *δ' ἐκπλεύσας.*

Ἀπόβασιν — ποιησάμενος. Citat grammat. ap. Osann. ad Philem. p. 240.

Νήρικον. Pal. Reg. et grammat. Osanni *Νηρικόν.* Dan. *Νάρικον.* Gr. marg. *Νήριτον.* Sed „qui cod. Gr. tractavit, potuerat continere manus ab emendatione. Strabo X, 454. ὁ *μέντοι ἀντὶ Νηρίτου* (quod est in Ithaca) *γράφων Νήρικον, ἢ ἀνά-*

Digitized by Google

αὐτός τε καὶ τῆς στρατιᾶς τι μέρος ὑπὸ τῶν αὐτόθεν τε ξυμβοηθησάντων καὶ φρουρῶν τινῶν ὀλίγων. 6. καὶ ὕστερον ὑποσπόνδους τοὺς νεκροὺς ἀποπλεύσαντες οἱ Ἀθηναῖοι παρὰ τῶν Δευκαδίων ἐκομίσαντο.

(4. *Μυτιληναίων πρεσβεία ὡς τοὺς Πελοποννησίους πεμφθεῖσα περὶ βοηθείας. η' — ιε'. Οἱ πρέσβεις Ὀλυμπίαζε παραγίγνονται.*)

5 η'. Οἱ δὲ ἐπὶ τῆς πρώτης νεὼς ἐκπεμφθέντες Μυτιληναίων πρέσβεις, ὡς αὐτοῖς οἱ Λακεδαιμόνιοι εἶπον Ὀλυμπίαζε παρεῖναι, ὅπως καὶ οἱ ἄλλοι ξύμμαχοι ἀκούσαντες βουλεύσωνται, ἀφικνοῦνται ἐς τὴν Ὀλυμπίαν· (ἦν δὲ Ὀλυμπιὰς ᾗ Δωριεὺς Ῥόδιος τὸ δεύτερον ἐνίκα·) 10 καὶ ἐπειδὴ μετὰ τὴν ἑορτὴν κατέστησαν ἐς λόγους, εἶπον τοιάδε. *ἰδ. Κεφ. δ'.* *εἰκοστῇ ἑβδόμου μηνός.*

(*Λόγος τῶν πρέσβεων, ἐν ᾧ περὶ τῆς Μυτιληναίων ἀποστάσεως ἀπολογοῦνται. θ' — ιδ'. Προοίμιον.*)

θ'. „Τὸ μὲν καθεστὼς τοῖς Ἕλλησι νόμιμον, ὦ

η'. 6. *Αὐτοῖς*] τοῖς πρέσβεσι. (*λ. Κασσ. Αὐγ.*) — 9. ** *Δωριεύς*] τὸ *Δωριεύς* ὄνομα πύριον· ὡς ἐπίπαν γὰρ τὸ κύριον προτάττεται τῷ ἐθνικῷ. (*Αὐγ.*) — 10. *Μετὰ τὴν ἑορτήν*] μετὰ τὸ παρελθεῖν τὰ Ὀλύμπια. (*λ. Κασσ. Αὐγ.*)

θ'. 1. *Τὸ μὲν καθεστὼς — νόμιμον —*] διαιρεῖται ἡ δημηγορία αὕτη κεφαλαίοις τοῖσδε· τῷ δικαίῳ, οἷον ὅτι δικαίως ἀπέστημεν· τῷ δυνατῷ, ὅτι δυνατὰ παρακαλοῦμεν· (ἐφθαρμένοι γάρ εἰσι τῇ νόσῳ καὶ ἡ δύναμις αὐτῶν ἐς πολλὰ διῃρῆται·) τῷ συμφέροντι, ὅτι λυσιτελεῖ δύναμιν καταδέξασθαι πόρρωθεν ἰσχύουσαν, καὶ τὰς ἀπὸ τῶν συμμάχων Ἀθηναίοις παραγιγομένας προσόδους δυναμένην κωλῦσαι. ἐπὶ δὲ τελευτῆς ἀπὸ τοῦ ἐναντίου παροξυσμός, καὶ παράκλησις ποικίλως δυσκοπῶσα. [*Καθεστὼς δὲ νόμιμον τὸ ἔθος λέγει.* (*λ. Κασσ.*)] — ** *Καθεστώς*] ἐς τὸ μικρὸν

παλιν, παροπαίει τελέως. Unde tamen intelligi potest non novum esse hunc errorem.“ DUK. Add. I. 2. p. 152.

Αὐτός τε. *Τέ* om. F.

Τι μέρος. *Τι* om. Gr.

Αὐτόθεν. Cl. C. Gr. D. I. E. Vind. m. Ar. Chr. Dan. *αὐτόθι.* (II, 25. *προσβοηθήσαντας — λογάδες — τῶν αὐτόθεν.* Et saepe *οἱ αὐτόθεν ξύμμαχοι.* Vid. Ind.)

Cap. VIII. *Μυτιληναίων πρέσβεις.* F. *πρέσβεις Μιτυλ.*

Ὅπως. E. *ὅπου*, sed *ου* corr.

Τὴν Ὀλυμπ. Τὴν om. H. Reg. (G.) Antea Vind. *ἀφικνοῦντες.*

Δωριεύς. Vat. *Δοριεύς.*

Ῥόδιος. Vat. (?) Gr. *ὁ Ῥόδ.* Cunctis autem verbis *ἦν δὲ — ἐνίκα* sublatis maioribus distinctionibus ante *ἦν* et post *ἐνίκα* parenthesis signa addidimus.

Cap. IX. *Καθεστώς.* Pal. Gr.

Digitized by Google

ἄνδρες Λακεδαιμόνιοι καὶ ξύμμαχοι, ἴσμεν. τοὺς γὰρ ἀφισταμένους ἐν τοῖς πολέμοις, καὶ ξυμμαχίαν τὴν πρὶν ἀπολείποντας, οἱ δεξάμενοι, καθ' ὅσον μὲν ὠφελοῦνται, ἐν ἡδονῇ ἔχουσι· νομίζοντες δὲ εἶναι προδότας τῶν προτοῦ φίλων, χείρους ἡγοῦνται. 2. καὶ οὐκ ἄδικος αὕτη ἡ ἀξίωσίς ἐστιν, εἰ τύχοιεν πρὸς ἀλλήλους οἵ τε ἀφιστάμενοι, καὶ ἀφ' ὧν διακρίνοιντο, ἴσοι μὲν τῇ γνώμῃ ὄντες καὶ εὐνοίᾳ, ἀντίπαλοι δὲ τῇ παρασκευῇ καὶ δυνάμει, πρόφασίς τε ἐπιεικὴς μηδεμία ὑπάρχοι τῆς ἀποστάσεως· ὃ ἡμῖν καὶ Ἀθηναίοις οὐκ ἦν. μηδὲ τῳ χείρους—

γράφουσιν.. καὶ μέγα· Ἰωνικῶς ἐς μικρὸν, Ἀττικῶς ἐς μέγα. (Παλ.) — 1. Τοὺς γὰρ ἀφιστ.] πρὸς τὸ τοὺς γὰρ ἀφισταμένους λείπει τὸ ἐτέρων. (λ. Κασσ.) — 4. Ἐν ἡδονῇ ἔχουσι] ἥγουν ἡδύνονται. (λ. Κασσ. Ἀνγ.) — 5. Χείρους ἡγοῦνται] τὸ χείρους οὐκ ἔστι συγκριτικὸν, ἀλλ' ἀντὶ τοῦ κακούς. θεραπεύουσι δὲ διὰ τούτων οἱ Μιτυληναῖοι τὴν ὑπόνοιαν τῶν Λακεδαιμονίων, ὅπως εὐμενεῖς αὐτοὺς παρασκευάσωσιν ἀκροατάς. — 6. Αὕτη ἡ ἀξίωσις] ἡ δόξα, ἡ κρίσις, ὁ λογισμός. — 7. Διακρίνοιντο] ἀφίσταινο. (λ. Ἀνγ.) — Ἴσοι μὲν τῇ γνώμῃ ὄντες — —] ὁμοιότροποι μὲν ὄντες ταῖς γνώμαις, [ἰσοσθενεῖς δὲ ταῖς δυνάμεσιν. (λ. Κασσ.)] οἷον ἰσοπαλεῖς καὶ ἰσοδύναμοι. §. * τοὺς * τῇ γνώμῃ καὶ φιλίᾳ ἴσους εἶναι καὶ ἀντιπάλους τῇ δυνάμει. — 9. Ἐπιεικὴς] εὔλογος, εὐπρεπής. — 10. Μηδὲ τῳ χείρους—] μηδεὶς ὑμῶν προκαταγνῷ, πρὶν ἀκοῦσαι ὑπὲρ τῆς ζητήσεως ταύτης ἀπολογουμένων ἡμῶν.

καθεστός, quod Bekk. recepit. Qui cur hic et IV, 10. cum tam paucis libris a vulgaribus grammaticae regulis recesserit, non apparet. Vid. tamen Buttm. Gr. max. t. II. p. I. p. 158. sq. et Matth. §. 198. 3. f. In C. ὅ s. ᾧ al. man. scr.

Ἄνδρες om. C. Gr. Ar. Chr. Dan. et s. v. al. man. scriptum habet E. „Eadem varietas est II, 72. et 89., ubi Stephanus putat adiectione illius magis Graecum effici sermonem. Et tamen saepissime abest. Vid. I, 32. 68. 80. et 140." DUK. Sic infra c. 13. init. ὦ Λακεδαιμ. καὶ ξύμμ.

Τοὺς γὰρ—ἡγοῦνται. ,[Greg.] Corinth. [p. 113.]" WASS.

Πολέμοις. Cass. Aug. 1t. H. et libri Gregor. πολεμίοις.

Ἀπολείποντας. Gregorii libri ἀπολιπόντας.

Μὲν ὠφελοῦνται. Gregorii libri nonnulli ὠφελοῦνται (unus ὠφελεῖται) μέν.

Νομίζοντες. F. νομίζοντας, sicut nonnulli Gregorii libri.

2. Καὶ οὐκ — ἐστίν. „Thom. Mag. in ἀξίωσις."

Ἴσοι μὲν — δυνάμει. „Thom. Mag. in ἀντίπαλον, ubi est καὶ τῇ εὐνοίᾳ." WASS.

Πρόφασίς τε. I. πρόφασις δέ.

Μηδεμία. Cass. a pr. man. Pal. Chr. μηδὲ μία.

Ὑπάρχοι. G. ὑπάρχει, cum — — οι s. ει. Ὑπάρχει fuerat etiam in Gr., ubi nostrum restitutum, et exstat in E.

Ἡμῖν καί Cass. Aug. Pal. F. It. Vat. Reg. (G.) Gr. D. Bar.

Digitized by Google

ρους δόξωμεν εἶναι, εἰ, ἐν τῇ εἰρήνῃ τιμώμενοι ὑπ' αὐτῶν, ἐν τοῖς δεινοῖς ἀφιστάμεθα."

(Οτι ά) δικαία ἐστὶν ἡ ἀπόστασις διὰ τὴν Ἀθηναίων πλεονεξίαν καὶ ἐς τοὺς ξυμμάχους ἀπιστίαν.)

ί. „*Περὶ γὰρ τοῦ δικαίου καὶ ἀρετῆς πρῶτον, ἄλλως τε καὶ ξυμμαχίας δεόμενοι, τοὺς λόγους ποιησόμεθα, εἰδότες οὔτε φιλίαν ἰδιώταις βέβαιον γιγνομένην, οὔτε κοινωνίαν πόλεσιν ἐς οὐδέν, εἰ μὴ μετ' ἀρετῆς δοκούσης ἐς ἀλλήλους γίγνοιντο, καὶ τἆλλα ὁμοιότροποι εἶεν· ἐν γὰρ τῷ διαλλάσσοντι τῆς γνώμης καὶ αἱ διαφοραὶ τῶν ἔργων καθίστανται. 2. ἡμῖν δὲ καὶ Ἀθηναίοις ξυμμαχία ἐγένετο πρῶτον, ἀπολιπόντων μὲν ὑμῶν*

173.

Βιβλ. ά. Κεφ. ϛέ.

1. *Τπ' αὐτῶν*] *τῶν Ἀθηναίων δηλονότι.*

ί. 3. *Περὶ γὰρ τοῦ δικαίου — —*] *ἡ διάνοια· περὶ γὰρ τοῦ δικαίως αὐτῶν ἀφίστασθαι, καὶ μὴ διὰ κακίαν τε καὶ πανουργίαν, ἀλλὰ δι' ἀπλότητα, (ἀρετὴν γὰρ τὴν ἁπλότητα λέγει,) πρῶτον ποιησόμεθα τοὺς λόγους, καὶ μάλιστα ἐπειδὴ δεόμεθα τυχεῖν τῆς παρ' ὑμῶν συμμαχίας.* — 5. * * *Φιλίαν — βέβαιον*] *καὶ ἐν τῇ α'· Κεφ. λβ'. ὡς καὶ τὴν χάριν βέβαιον.* (*Ἀνγ.*) — 6. * * *Κοινωνίαν πόλεσιν*] *ἀπὸ κοινοῦ τὸ βέβαιον.* (*Ἀνγ.*) — * * *Ἀρετῆς*] *τῆς φιλίας καὶ ἀγάπης.* (*Ἀνγ.*) — *Μετ' ἀρετῆς δοκούσης*] *ἀντὶ τοῦ τῆς δοκούσης καὶ νομιζομένης ὄντως ἀρετῆς· οὐ γὰρ δὴ τὴν προαιρετὴν λέγει.* [*κἀντεῦθα δὲ ἡ ἀρετὴ ἀντὶ τῆς ἁπλότητος κεῖται.* (*λ. Κασσ. Ἀνγ.*)] — 8. *Ἐν γὰρ τῷ διαλλάσσοντι — —*] *ἐν γὰρ τῷ μὴ ταὐτὰ ἀμφοτέροις δοκεῖν αἱ διαφοραὶ γίνονται.* * * *τὸ τοιοῦτο μετακεποίηκεν ὁ Φιλόστρατος· ἐξ . . . τῶν ἀντιζήλων, ἔφη, φύεται μῖσος αἰτίαν οὐκ ἔχον.* (*Βασ.*) — 9. *Ἡμῖν δὲ καὶ Ἀθηναίοις*] *ἀρχὴ τῶν ἀγώνων· κεφάλαιον τὸ δίκαιον.* — 10. * * *Ἀπολιπόντων*] *λείπει τὴν τῶν Ἑλλήνων ἡγεμονίαν.* (*Ἀνγ.*)

Ald. Flor. Bas. Steph. 1. Haack. Bekk. Vulgo male *ἡμῖν τε καί*. E. Ar. Chr. Dan. (de quibus falsa tradit Bekk.) *καὶ ἡμῖν καί*, aeque male; nam scriptor dicere vult *nobis respectu Atheniensium.*

Δόξωμεν. Gr. *δόξομεν* et cum emend. superscr. *δόξημεν.*

Τιμώμενοι. Mosqu. *τιμωρούμενοι.*

Cap. X. *Περὶ γάρ. Γάρ* de. Ar.

Εἰδότες — καθίστανται. „Citantur in Append. ad Stah. Gaisf. vol. IV. p. 20. cum his varietatibus: *βέβαιον — βεβαίαν* [at vid. Matth. Gr. §. 117. 8.], *ἐς οὐδέν* de., *δοκούσης — διακούσης*, *γίγνοιντο — γίγνοιτο.*" DIND.

Μὴ μετ'. It. Vat. *μήτ'*. Aug. *μητ'*, sed *ē* supra scr. Pro *δοκούσης* Reisk. *διηκούσης*, Lindau *δοκούσης ἴσης* coniecit. Cf. not.

Αἱ διαφοραί. Ar. Chr. Dan. om. *αἱ*. B. *αἱ διαφθοραί*.

2. *Μὲν ὑμῶν.* E. *μὴν* (?) *ὑμῶν*, et ex corr. *ἡμῶν*.

Digitized by Google

ἐκ τοῦ Μηδικοῦ πολέμου, παραμεινάντων δὲ ἐκείνων πρὸς τὰ ὑπόλοιπα τῶν ἔργων. 3. ξύμμαχοι μέντοι ἐγενόμεθα οὐκ ἐπὶ καταδουλώσει τῶν Ἑλλήνων Ἀθηναίοις, ἀλλ' ἐπ' ἐλευθερώσει ἀπὸ τοῦ Μήδου τοῖς Ἕλλησι. 4. καὶ μέχρι μὲν ἀπὸ τοῦ ἴσου ἡγοῦντο, προθύμως εἰπόμεθα· ἐπειδὴ δὲ ἑωρῶμεν αὐτοὺς τὴν μὲν τοῦ Μήδου ἔχθραν ἀνιέντας, τὴν δὲ τῶν ξυμμάχων δουλωσιν ἐπαγομένους, οὐκ ἀδεεῖς ἔτι ἦμεν. 5. ἀδύνατοι δὲ ὄντες καθ' ἓν γενόμενοι, διὰ πολυψηφίαν, ἀμύνεσθαι οἱ ξύμμαχοι, ἐδουλώθησαν, πλὴν ἡμῶν καὶ Χίων. 6. ἡμεῖς δὲ, αὐτόνομοι δὴ ὄντες καὶ ἐλεύθεροι τῷ ὀνόματι, ξυνεστρατεύσαμεν. καὶ πιστοὺς οὐκέτι εἴχομεν ἡγεμόνας Ἀθη-

1. Ἐκ τοῦ Μηδικοῦ πολέμου] μετὰ τὸν Μηδικὸν πόλεμον. (λ. Κασσ. Ἀύγ.) — Παραμεινάντων] τῷ πολέμῳ δηλονότι. (λ. Κασσ. Ἀύγ.) — 2. Πρὸς τὰ ὑπόλοιπα] πρὸς τὰ ἑξῆς. (λ. Κασσ. Ἀύγ.) — 4. * * Ἐπ' ἐλευθερώσει — Ἕλλησι] ἐνήλλακται ἀντὶ τοῦ ἐπ' ἐλευθερώσει τῶν Ἑλλήνων ἀπὸ τοῦ Μήδου. (Ἀύγ.) — 5. Ἀπὸ τοῦ ἴσου] κατ' ἰσονομίαν, ἰσοτίμως. (λ. Κασσ.) — 7. Ἀνιέντας] ἐνδιδόντας, παροῶντας. (λ. Κασσ. Ἀύγ.) — Τὴν δὲ τῶν ξυμμάχων δουλωσιν ἐπαγομένους] τοῖς συμμάχοις δουλείαν ἐπάγοντας. (λ. Κασσ. Ἀύγ.) τὸ ἐπαγομένους ἀντίκειται μὲν τῷ ἀνιέντας, μετενήνεκται δὲ ἀμφότερα ἀπὸ τῶν τοὺς δεσμοὺς ἀνιέντων τε καὶ ἐπαγόντων, ὅπερ ἐστὶ σφιγγόντων. ἄρχονται δὲ διὰ τούτων τῆς δικαιολογίας, παριστάντες ὅτι οὐκ ἀδίκως ἀφίστανται. — 8. Ἀδύνατοι δὲ ὄντες] ὁμογνωμονῆσαι δηλονότι. (λ. Ἀύγ.) — Ἀδύνατοι — διὰ πολυψηφίαν ἀμύνεσθαι] ἐγενόμεθα, φησὶ, διὰ πολυγνωμοσύνην καὶ τὸ μὴ τὰ αὐτὰ πᾶσι δοκεῖν χωρὶς ἕκαστοι· ἰδίᾳ δὲ ἕκαστοι γενόμενοι ἀδύνατοι ἦμεν τοῖς Ἀθηναίοις ἀντέχειν. — 11. Αὐτόνομοι δὴ ὄντες] ἐμφαντικῶς τὸ δὴ εἶπεν, ἀντὶ τοῦ δῆθεν, καὶ μόνον ὀνόματος μέχρι ἐλεύθεροι, καὶ οὐκ αὐταῖς ταῖς ἀληθείαις.

3. Ξύμμαχοι — Ἑλλήνων. [Gregor.] Corinth. [p. 98.]" WASS. „Vid. ad I, 137." DUK.

Καταδουλώσει. H. δουλώσει, κατά s. v. al. man. Illud vocabulum, quod alibi quoque habet Thucydides, durius inepte appellat Pollux IX. 142. Cf. nos I. 1. p. 250.

Ἀθηναίοις. C. Gr. τοῖς Ἀθηναίοις, quo sane concinnitas augetur, sed eam scriptor noster, quamvis paria paribus referendi studiosissimus (vid. I. 1. 260.), in articulis non magnopere curat. Quocirca in simillimo loco c. 13. legimus ἀπό τε τῶν Ἀθηναίων — ἀπό τε Ἑλλήνων et εὔνοια — ὁ φόβος c. 12.

Τοῦ Μήδου. D. I. τοῦ Μηδικοῦ. Deinde I. et Bekk. in minn. exempll. Ἕλλησιν.

4. Ἀδεεῖς. G. ἀδεῶς.

5. Ἀμύνεσθαι Cass. Pal. Vat. H. Reg. (G.) et ē etiam in m. superscr. Vulgo (Haack. Bekk.) ἀμύνασθαι.

Digitized by Google

ναίους, παραδείγμασι τοῖς προγιγνομένοις χρώμενοι. οὐ γὰρ εἰκὸς ἦν αὐτοὺς, οὓς μὲν μεθ' ἡμῶν ἐνσπόνδους ἐποιήσαντο, καταστρέψασθαι, τοὺς δὲ ὑπολοίπους, εἴ ποτε ἄρα ἐδυνήθησαν, μὴ δρᾶσαι τοῦτο."

(*Ὅτι οὐδὲ τὸ αὐτονόμους ἔτι εἶναι τοὺς Μυτιληναίους προτρέπεσθαι δύναται πιστοὺς εἶναι Ἀθηναίοις.*)

ια'. „*Καὶ εἰ μὲν αὐτόνομοι ἔτι ἦμεν ἅπαντες, βεβαιότεροι ἂν ἡμῖν ἦσαν μηδὲν νεωτερισεῖν· ὑποχειρίους δὲ ἔχοντες τοὺς πλείους, ἡμῖν δὲ ἀπὸ τοῦ ἴσου ὁμιλοῦντες, χαλεπώτερον εἰκότως ἔμελλον οἴσειν, καὶ πρὸς τὸ πλεῖον ἤδη εἶκον τοῦ ἡμετέρου ἔτι μόνου ἀντισουμένου,*

2. *Αὐτούς*] *Ἀθηναίους δηλονότι.*

ια'. 5. *Εἰ μὲν αὐτόνομοι ἔτι ἦμεν*] *τοῖς οἰκείοις νόμοις χρώμενοι ἕως τοῦ νῦν.* (*λ. Αὐγ.*) * * *ἀρχὴ τῶν ἀγώνων. ταῦτα πάντα τὰ ῥήματα ἕως τοῦ, ὁ γὰρ παραβαίνειν, πρὸς τὸ παρωχημένον σύντασσε.* (*Βασ.*) — *Βεβαιότερροι — —*] *ἤτοι ἐπισεύομεν ἂν αὐτοῖς βεβαίως μηδὲν καινοτομήσειν εἰς ἡμᾶς.* — 6. *Ὑποχειρίους δ' ἔχοντες — —*] *ἡ διάνοια, τοὺς πλείους τῶν συμμάχων ἔχοντες ὑπηκόους, ἡμῖν δὲ ἰσοτίμως προσφερόμενοι, εἰκότως ἤχθοντο, τῶν μὲν πλειόνων συμμάχων εἰκόντων καὶ ὑποτεταγμένων, ἡμῶν δὲ μόνων ἰσοτίμων ὄντων πρὸς αὐτούς.* — 7. *Τοὺς πλείους*] [*τῶν Ἑλλήνων δηλονότι. ἦγουν* (*λ. Κασσ. Αὐγ.*)] *Βυζαντίους, Ναξίους, Σαμίους καὶ τοὺς λοιποὺς.* — *Ἡμῖν δὲ ἀπὸ τοῦ ἴσου ὁμιλοῦντες*] *τὴν ἴσην ἡμῖν δίαιταν διδόντες.* (*λ. Κασσ. Αὐγ.*) — 8. *Καὶ πρὸς τὸ πλεῖον — —*] *τὸ πλεῖον τοῦ συμμαχικοῦ πλήθους κυριεύθεν, ἡμῶν δὲ μόνων ἔτι ἀδουλώτων ὄντων, χαλεπῶς ἔφερον Ἀθηναῖοι.* (*λ. Κασσ.*)

6. *Παραδείγμασι.* G. *παραδείγματι*, cum $\overline{\sigma}$ *s.* $\overline{\tau}$. Dan. om. *παραδείγμασι τοῖς.*

Προγιγνομένοις. C. *προσγιγν.* Chr. Dan. *προγεν.* Ar. *προγεγενημ.*

Μεθ' ἡμῶν. Gr. *μεθ' ὑμ.* Vind. *καθ' ἡμ.* cum adnotat. Graeco-barbara *οἶμαι δὲ τὸ καθ' ὑμῶν δευτέρου θέλει εἶναι προσώπου.* Statim D. *ἐσπόνδους.*

Ἐδυνήθησαν. Ar. *ἠδυν.* Cf. I. 1. p. 226. Deinde Mosqu. male *δράσαι.*

Cap. XI. *Ὑποχειρίους δέ. Δὲ* om. Mosqu.

Εἰκότως. Mosqu. *εἰκότος*, sed corr. Idem statim *ἔμελον.*

Οἴσειν. Cass. *ἐξοίσειν*, quod in Aug. man. sec. fecit ex *οἴσειν.* Mosqu. *ξξειν.*

Εἶκον. D. *ἦκον.* Valla: *iamque admodum processerunt.* Cf. adnot. Interea comma post *εἶκον* cum Haack. delevimus.

Ἔτι om. D. I.

Digitized by Google

ἄλλως τε καὶ ὅσῳ δυνατώτεροι αὐτοὶ αὑτῶν ἐγίγνοντο, καὶ ἡμεῖς ἐρημότεροι. τὸ δὲ ἀντίπαλον δέος μόνον πιστὸν ἐς ξυμμαχίαν· ὁ γὰρ παραβαίνειν τι βουλόμενος τῷ μὴ προέχων ἂν ἐπελθεῖν ἀποτρέπεται. 2. αὐτόνομοί τε ἐλείφθημεν οὐ δι' ἄλλο τι ἢ ὅσον αὐτοῖς ἐς τὴν ἀρ- 5
χὴν εὐπρεπείᾳ τε λόγου, καὶ γνώμης μᾶλλον ἐφόδῳ ἢ 174.
ἰσχύος, τὰ πράγματα ἐφαίνετο καταληπτά. 3. ἅμα μὲν γὰρ μαρτυρίῳ ἐχρῶντο, μὴ ἂν τούς γε ἰσοψήφους ἄκον-

1. *Καὶ ὅσῳ δυνατώτεροι* —] καὶ μάλιστα κατὰ τοῦτο ἔμελλον ἡμῖν προσφέρεσθαι χαλεπῶς, καθὸ αὐτοὶ μὲν μείζους ἐγίγνοντο διὰ τὸ πολλοὺς καταστρέφεσθαι, ἡμᾶς δὲ ὁρῶντες ἀεὶ ἀσθενεστέρους καταλειπομένους, οἷα δὴ μονουμένους τῶν συμμάχων. (λ. Κασσ.) — *Αὐτοὶ αὑτῶν*] οἱ Ἀθηναῖοι, διὰ τὰ κυριεύειν. (λ. Κασσ.) — 2. *Τὸ δὲ ἀντίπαλον δέος μόνον* — —] τοῦ μένειν τὴν συμμαχίαν μία πίστις ἐχυρά, τὸ ἀλλήλους ἐπίσης δεδιέναι, ἐξ οὗ δηλοῦται τὸ προκείμενον ἀνατέρω τί ποτέ ἐσσι, τὸ ἀντιπάλους εἶναι τῇ παρασκευῇ. — * * *Τὸ δέ*] ὁ δὲ ἀντὶ τοῦ γάρ. (*Αὐγ.*) — 3. *Ὁ γὰρ παραβαίνειν* — —] τῆς συμμαχίας, φησὶν, ὁ τολμῶν τι παραβῆναι ἀποτρέπεται, λογιζόμενος ὅτι ἰσοδύναμος ὢν οὐκ ἂν νικήσειε. (λ. Κασσ.) τὸ ἑξῆς, ὁ γὰρ βουλόμενος λύειν τὴν συμμαχίαν, ἂν ἴδῃ ὅτι οὐ πλέον ἕξει διὰ τὸ ἀντίπαλον εἶναι τὴν δι' ἐναντίας παρασκευὴν, ἀποτρέπεται τοῦ παραβαίνειν τὰς συνθήκας. * * ἔστι δὲ τοῦτο αἰτιῶδες τοῦ τὸ ἀντίπαλον δέος μόνον πιστὸν ἐς ξυμμαχίαν. (*Κασσ. Αὐγ.*) — 4. *Ἀποτρέπεται*] ἀπείργεται. (λ. *Αὐγ.*) — 5. *Ἐς τὴν ἀρχήν*] τὴν δούλωσιν τῶν Ἑλλήνων. καὶ γὰρ αὐτονόμους, φησὶ, κατέλιπον ἡμᾶς οἱ Ἀθηναῖοι οὐ κατ' εὔνοιαν, οὐδὲ δι' ἄλλο τι, ἢ ἵνα τὰ πράγματα αὐτῶν γένωνται δι' ἡμῶν καταληπτὰ, καὶ τοὺς ἄλλους χειρώσωνται Ἕλληνας, χρώμενοι λόγῳ εὐπρεπεῖ * ἡμῖν ὡς παραδείγματι *, καὶ ἵνα ἔχωσιν ἡμᾶς ἐφόδιον τῆς τε γνώμης καὶ τῆς δυνάμεως αὐτῶν, τουτέστι, συνεργούς, ἀλλὰ μᾶλλον τῆς γνώμης, ὡς δέλεαρ καὶ ἀπάτην. — 6. *Ἐφόδῳ*] μεθόδῳ. (λ. *Αὐγ.*) — 8. *Μαρτυρίῳ ἐχρῶντο* —] τεκμηρίῳ ἐχρῶντο οἱ Ἀθηναῖοι, καταστρεφόμενοι τὰς πόλεις, εὐπροσώπῳ, τῇ ἡμετέρᾳ αὐτονομίᾳ, λέγοντες, οὐκ ἂν Μιτυληναῖοι μεθ' ἡμῶν, ἰσοψηφοί γε ὄντες καὶ ἐλεύθεροι, ἐπῆσαν ἑκόντες, εἰ μὴ δικαίως ἐπεστρατεύομεν καὶ ἠδικηκόσι τοῖς συμμάχοις. — *Ἐχρῶντο* — —] οἱ λοιποὶ σύμμαχοι, φησὶ, τεκμηρίῳ σαφεῖ ἔμελλον χρήσεσθαι τῇ ἀκουσίῳ

Αὐτῶν. Cass. Cl. Pal. Gr. *αὑτῶν.* At vid. Matth. Gr. §. 452. sed etiam Elmsl. ad Eur. Heracl. v. 814.

Τὸ δέ. Ita quidem cum ceteris Cass., sed cum emend. rec. man. supersor. *τὸ γάρ.*

Ἀντίπαλον δέος. Hinc habet Marcell. §. 53. Cf. adnot.

Μόνον. Ante *δέος* collocat C.

Τῷ μή Cass. Pal. It. Vat. Reg. Gr. m. Bekk. Vulgo (et Haack.) *τὸ μή.* Cf. adnot.

2. *Αὐτόνομοί τε.* Ar. Dan. *αὐτόνομοι δέ*, quod temere placebat Kistemakero.

Ἐλείφθημεν. Pal. E. *ἐλήφθ.*

Ἐφόδῳ. Scholiastarum unus *ἐφοδίῳ* legisse videtur.

3. *Ἄκοντας.* Huius vocabuli

τας, εἰ μή τι ἠδίκουν οἷς ἐπῆσαν, ξυστρατεύειν· ἐν τῷ αὐτῷ δὲ καὶ τὰ κράτιστα ἐπί τε τοὺς ὑποδεεστέρους πρώτους ξυνεπῆγον, καὶ τὰ τελευταῖα λιπόντες, τοῦ ἄλλου περιῃρημένου, ἀσθενέστερα ἔμελλον ἕξειν. (εἰ δ' ἀφ' ἡμῶν ἤρξαντο, ἐχόντων ἔτι τῶν πάντων αὐτῶν τε ἰσχὺν καὶ πρὸς ὅ τι χρὴ στῆναι, οὐκ ἂν ὁμοίως ἐχειρώσαντο.) 4. τό τε ναυτικὸν ἡμῶν παρεῖχέ τινα φόβον, μή ποτε καθ' ἓν γενόμενον, ἢ ὑμῖν ἢ ἄλλῳ τῳ προσθέμενον, κίνδυνον σφίσι παράσχῃ. 5. τὰ δὲ καὶ ἀπὸ θεραπείας τοῦ τε κοινοῦ αὐτῶν καὶ τῶν ἀεὶ προεστώτων περιεγι-

ἡμῶν μετ' Ἀθηναίων ξυστρατεύσει, ὅτι ἄδικοί εἰσιν οἷς ἐπέρχονται Ἀθηναῖοι. εἰ μὴ γὰρ ἦσαν τοιοῦτοι, οὐκ ἂν ἥκοντας ἦγον συστρατεύειν αὐτοῖς τοὺς ἰσοψήφους Μιτυληναίους. (λ. Κασσ. Ἀνγ.) — 1. Ἐν τῷ αὐτῷ δέ] τῷ λιπεῖν ἐλευθέρους ἡμᾶς. (λ. Κασσ. Ἀνγ.) — * * Ἐν τῷ αὐτῷ δὲ —] πρὸς τὸ καὶ γνώμης μᾶλλον ἐφόδῳ. (Ἀνγ.) — 2. Καὶ τὰ κράτιστα — —] καὶ τοὺς κρατίστους ἡμᾶς ἐπὶ τοὺς ἀσθενεστέρους τῶν Ἑλλήνων πρώτους παρελάμβανον, ἵνα, τῶν ἄλλων Ἑλλήνων περιῃρημένων, (ὅ ἐστι δεδουλωμένων,) μόνους ἡμᾶς τελευταίους καταλιπόντες, ἀσθενεστέρους ἕξωσι πρὸς τὸ ἀντικολεμεῖν αὐτοῖς δύνασθαι. — 4. Περιῃρημένου] κεκρατημένου. ἡ δὲ σύνταξις, καὶ ἀσθενέστερα ἔμελλον ἕξειν τὰ, τελευταῖα τοῦ ἄλλου περιῃρημένου. (λ. Ἀνγ.) — 6. Καὶ πρὸς ὅ τι χρὴ στῆναι] καὶ ἡμᾶς τοὺς δυναμένους ἡγήσασθαι αὐτῶν. — 8. Προσθέμενον εἰς ταὐτὸ συνελθόν. (λ. Ἀνγ.) — 9. Καὶ ἀπὸ θεραπείας — —] τέτταρα τεκμήρια τίθεται, δι' ὧν συνίστησιν ὅτι οὐχὶ διὰ δικαιοσύνην μέχρι δεῦρο ἀπέσχοντο [ἡμῶν] οἱ Ἀθηναῖοι, ἀλλὰ διὰ πανουργίαν· ἓν μὲν τὸ κατὰ τὴν εὐπρέπειαν τοῦ λόγου, δεύτερον δὲ τὸ γνώμης μᾶλλον ἐφόδῳ ἢ ἰσχύϊ τὰ πράγματα φαίνεσθαι καταληπτά, τρίτον τὸ φοβεῖσθαι τὸ ναυτικὸν τῶν Μιτυληναίων, τέταρτον τὸ θεραπεύεσθαι πρὸς τῶν Μιτυληναίων κολακείᾳ μὲν κοινῇ τοὺς Ἀθηναίους, δώροις δὲ τῶν προεστώτων ἕκαστον.

primam literam D. in marg. habet, sed ead. man. scriptam. Valla interpretatione sua non expressit. Reliqui libri nihil turbant. Ἑκόντας ex Schol. uno coniecerunt Steph. Aem. Port. aliique. At vid. adnot. Interpunctione mutata enunciationi difficiliori succurrere frustra conatur Reisig. Coniectt. ad Aristoph. p. 216.

Ἐν τῷ αὐτῷ. Male vulgo ante haec verba punctum legitur. Nobiscum correxerunt Haack. et Bekk.

Πάντων. E. ἁπάντων.

Ἐχειρώσαντο. B. ἐχείσαντο. Verbis ab εἰ δέ usque ad ἐχειρώσαντο parenthesis notas circumdedimus, quo clarius nexus argumentationis appareat.

4. Προσθέμενον. Mosqu. προθέμ.

Παράσχῃ. F. Mosqu. παράσχοι. At vid. I. 1. p. 142.

5. Θεραπείας. Vat. H. Reg. (G.) τῆς θεραπείας. (II, 51. ἕτερος ἀφ' ἑτέρου θεραπείας.)

Ἀεί. Pal. *αἰεί*, ut solet. Cf. I. 1. p. 211.

Digitized by Google

γνόμεθα. 6. οὐ μέντοι ἐπιπολύ γ' ἂν ἐδοκοῦμεν δυνηθῆναι, εἰ μὴ ὁ πόλεμος ὧδε κατέστη, παραδείγμασι χρώμενοι τοῖς ἐς τοὺς ἄλλους."

(Ὅτι β') ἀναγκαία ἡ ἀπίστασις διὰ τὴν τῆς ἑκατέρων δυνάμεως ἀνομοιότητα.)

ιβ'. „Τίς οὖν αὕτη ἢ φιλία ἐγίγνετο ἢ ἐλευθερία πιστὴ, ἐν ᾗ παρὰ γνώμην ἀλλήλους ὑπεδεχόμεθα, καὶ οἱ μὲν ἡμᾶς ἐν τῷ πολέμῳ δεδιότες ἐθεράπευον, ἡμεῖς δὲ ἐκείνους ἐν τῇ ἡσυχίᾳ τὸ αὐτὸ ἐποιοῦμεν· ὅ τε τοῖς ἄλλοις μάλιστα εὔνοια πίστιν βεβαιοῖ, ἡμῖν τοῦτο ὁ φόβος ἐχυρὸν παρεῖχε· δέει τε τὸ πλέον ἢ φιλίᾳ κατεχόμενοι, ξύμμαχοι ἦμεν· καὶ ὁποτέροις θᾶσσον παράσχοι

1. Ἐπιπολύ γ' ἂν ἐδοκοῦμεν δυνηθῆναι — —] ἐδυνήθημεν διαφυγεῖν τὴν δουλείαν, εἰ μὴ ἔφθασεν ὁ πόλεμος τῶν Πελοποννησίων. τεκμήρια γὰρ ἦν ἡμῖν τὰ πρὸς τοὺς ἄλλους ὑπ' Ἀθηναίων γενόμενα.

ιβ'. 7. Ὅ τε τοῖς ἄλλοις — —] ὅπερ δὲ τοῖς ἄλλοις [καὶ ἐν πολέμῳ καὶ ἡσυχίᾳ (Βασ.)] ἐξ εὐνοίας, φησὶ, τὸ πιστεύειν ἀλλήλοις βεβαίως, τοῦτο ἡμῖν ὁ φόβος παρεῖχε βέβαιον, φυλάττειν ἡμᾶς τὰς πρὸς ἀλλήλους πίστεις διὰ τὸν φόβον. [Οἱ μὲν Ἀθηναῖοι ἐφοβοῦντο τοὺς Μιτυληναίους ἐν πολέμῳ, μὴ ἀποστῶσι, καὶ ἐθεράπευον αὐτούς· οἱ δὲ Μιτυληναῖοι ἐφοβοῦντο τοὺς Ἀθηναίους ἐν ἡσυχίᾳ, μὴ δουλώσωσιν αὐτούς, καὶ διὰ τοῦτο ὑπεῖκον αὐτοῖς· ὥστε ἑκάτεροι διὰ φόβον προσεῖχον ἀλλήλοις, καὶ διὰ τοῦτο ἄπιστος ἦν ἡ φιλία ἀμφοτέρων. (Βασ.)] — 10. Καὶ ὁποτέροις θᾶσσον — —] ὁπότεροι δ' ἂν ἡμῶν ἔφθασαν ἀπαλλαγῆναι τοῦ φόβου καὶ θαρσῆσαι, ὡς ἐν ἀκινδύνῳ ὄντες, οὗτοι καὶ λύσειν ἔμελλον τὰς σπονδάς.

6. *Μέντοι.* Gr. *μέντι.*

Ὧδε. Ar. in marg. *ὥδε.*

Κατέστη. Typothetarum incuria in exempll. Gottl. et Gail. irrepsit *καθέστη.*

Cap. XII. *Ἡ φιλία.* Vulgo *ἡ φιλία.* „Nisi valde decipior, scribendum potius *ἢ φιλία.*" DIND. Recte, ut verba significent: *Was war diess also für eine Freundschaft!* quod ob seqq. longe aptius quam: *Wie war also diese Freundschaft beschaffen!*

Ἐλευθερία πιστή. F. *πιστὴ ἡ ἐλευθ.*

Ὑπεδεχόμεθα. Gr. *ὑποδεχόμεθα.* Mire Valla *utrique alteris sumus suspecti.*

Ἡμᾶς. E. *ὑμᾶς.*

Ὅ τε. Gr. Ar. Chr. *ὅτε.* C. *ὁ δέ τε.* Unde *ὅτε τε* facile aliquis coniiciat. At vid. not.

Πίστιν. D. *πιστόν*, quod Dukero quoque in mentem veniebat. At vid. not.

Δέει τε. G. *δέει δέ, τέ.s. δέ* al. man.

Πλέον. Gr. *πλεῖον.* Cf. I. 1. p. 469.

Ἦμεν. E. m. Ar. Dan. *εἶναι.*

Digitized by Google

ἀσφάλεια θάρσος, οὗτοι πρότεροί τι καὶ παραβήσεσθαι ἔμελλον. 2. ὥστε, εἴ τῳ δοκοῦμεν ἀδικεῖν προαποστάντες διὰ τὴν ἐκείνων μέλλησιν τῶν ἐς ἡμᾶς δεινῶν, αὐτοὶ οὐκ ἀνταναμείναντες σαφῶς εἰδέναι εἴ τι αὐτῶν ἔσται, οὐκ ὀρθῶς σκοπεῖ. 3. εἰ γὰρ δυνατοὶ ἦμεν ἐκ τοῦ ἴσου καὶ ἀντεπιβουλεῦσαι, καὶ † ἀντιμελλῆσαί τι ἔδει ἡμᾶς

2. Ὥστε εἴ τῳ δοκοῦμεν ἀδικεῖν — —] εἴ τινι δοκοῦμεν ἄτοποι τινες εἶναι, ἀποστάντες ἀπ' αὐτῶν καὶ μὴ ἀναμείναντες μαθεῖν, εἰ ἄρα τι γενήσεται παρ' αὐτῶν πρῶτον, διὰ τὸ ἐμβραδῦναι τοῦτο ποιήσαι, οὐκ ὀρθῶς ὁ τοιοῦτος λογίζεται. εἶτα καὶ τὴν αἰτίαν ἐπάγει. εἰ γὰρ ἴσοι, φησὶν, αὐτοῖς ὑπῆρχομεν κατὰ δύναμιν, ὥστε καὶ ἐπιβουλεύουσιν αὐτοῖς ἀντεπιβουλεῦσαι, καὶ βραδυνόντων αὐτῶν καὶ μελλόντων ἀντιμελλῆσαι καὶ ἀντιβραδῦναι, τί ἔδει ἡμᾶς ὑπ' ἐκείνοις ταχθῆναι ἢ ὑπακούειν αὐτοῖς; ὁπότε δὲ οὐκ ἦμεν ἴσοι, ἀλλ' ἐπ' ἐκείνοις ἦν τὸ ἐπιχειρεῖν καθ' ἡμῶν ὅτε θέλουσιν, ἔδει καὶ ἡμῖν εἶναι τὸ ἀποστῆναι αὐτῶν, πρίν τι παρ' αὐτῶν παθεῖν. — 3. ** Μέλλησιν] ἀναβολήν. (Βασ.) — Ἐκείνων] τῶν Ἀθηναίων. — Αὐτοί] ἡμεῖς οἱ Μιτυληναῖοι. (λ. Κασσ.) — 6. Ἀντεπιμελῆσαι] τὴν αὐτὴν ἐπιμέλειαν δέξασθαι. (λ. Κασσ. Αὐγ.)

Θάρσος Cass. Aug. It. Vat. H. Reg. (G.) Mosqu. Bekk. Vulgo (et Haack.) θράσος, cui nostrum etiam in m. superscr. Cf. Wass. adnot.

Πρότεροί τι. Cl. om. τί, I. καί ante πρότ. addit.

Ἔμελλον. Interrogationis signo post hoc verb. utuntur Gottl. Bekk. aliique; sed tota comprehensio verborum exclamatio magis est quam interrogatio.

2. Ὥστε. Apud Duk. Gottl. et in ed. Vind. perperam disiunctim scribitur.

Προαποστάντες. Ante hoc vocab. pessime olim virgula collocabatur, quae, si uspiam, cum Kistem. et Haack. post προαποστάντες ponenda, neque vero cum Bredov. post δεινῶν delenda est.

Μέλλησιν. Mosqu. μέλησιν.

Δεινῶν. E. Vind. m. Ar. Dan. marg. Steph. κινδύνων, quo vocabulo saepe illud explicatur.

Ἀνταναμείναντες. Cass. Aug. ἂν ἀναμείν. Gr. οὐ καταναμείναντες pro οὐκ ἀνταν. Ar. Chr. Dan. et Schol. in interpret. οὐκ ἀναμείναντες. „Benedictus aliquot libros secutus commendat ἂν ἀναμείναντες. Nemo videt, quid h. l. ἄν sibi velit. Neque enim ad particip. neque ad infinit. commode referri potest. Praeterea ἀνταναμείναντες defenditur tum verbis διὰ τὴν ἐκείνων μέλλησιν, quibus respondet hoc participium, tum sequentibus ἀντεπιβουλ. καὶ ἀντεπιμελλ." HAACK.

3. Ἦμεν ἐκ. C. ἦμεν καὶ ἐκ.

Ἀντιμελλῆσαι. Vulgo male ἀντεπιμελῆσαι. Cass. Pal. Vat. H. Reg. D. I. E. Vind., Vall. Haack. Bekk. ἀντεπιμελλῆσαι, quod iam Dukero placebat, sed in ἀντιμελλῆσαι cum Schol. altero mutandum esse viderunt Herm. et Dind. Proxima vulgo sic distinguuntur ἀντεπιμελῆσαι, τί ἔδει ἡμᾶς etc. omissa virgula post ἀντεπιβουλεῦσαι. Sed τί in indefinitum mutandum esse iam Kistem. et Bredov. intellexerunt. Verierem autem totius enuntiationis distinctionem ali-

Digitized by Google

ἐκ τοῦ ὁμοίου ἐπ' + ἐκείνοις εἶναι· ἐπ' ἐκείνοις δὲ ὄντος ἀεὶ τοῦ ἐπιχειρεῖν, καὶ ἐφ' ἡμῖν εἶναι δεῖ τὸ προα- 175
μύνασθαι."

(Ὅτι ἡ διὰ ταῦτα πάλαι ἐπινοηθεῖσα ἀπόστασις, καίπερ ἀπαράσκευος γεγενημένη, γ') καιρία γε μέντοι καὶ ξύμφορός ἐστι.)

ιγ'. „Τοιαύτας ἔχοντες προφάσεις καὶ αἰτίας, ὦ Λακεδαιμόνιοι καὶ ξύμμαχοι, ἀπέστημεν, σαφεῖς μὲν τοῖς 5
ἀκούουσι γνῶναι ὡς εἰκότως ἐδράσαμεν, ἱκανὰς δὲ ἡμᾶς ἐκφοβῆσαι, καὶ πρὸς ἀσφάλειάν τινα τρέψαι, βουλομέ-
ιδ. νους μὲν καὶ πάλαι, ὅτε ἔτι ἐν τῇ εἰρήνῃ ἐπέμψαμεν ὡς
Κεφ. β' ὑμᾶς περὶ ἀποστάσεως, ὑμῶν δὲ οὐ προσδεξαμένων, κω-
λυθέντας· νῦν δὲ, ἐπειδὴ Βοιωτοὶ προὐκαλέσαντο, εὐ- 10
θὺς ὑπηκούσαμεν, καὶ ἐνομίζομεν ἀποστήσεσθαι δικλῆν ἀπόστασιν, ἀπό τε τῶν Ἑλλήνων, μὴ ξὺν κακῶς ποιεῖν

1. Ἐκ τοῦ ὁμοίου ἐπ' ἐκείνοις εἶναι] ἤγουν κινουμένων ἐκείνων κινηθῆναι καὶ ἡμᾶς. (λ. Κασσ. Αὐγ.)

ιγ'. 5. Σαφεῖς μέν] σαφῶς τοὺς ἀκούοντας διδάξαι δυναμένας. (λ. Κασσ.) — 6. Εἰκότως] ἐνδεχομένως. (λ. Κασσ. Αὐγ.) — Ἱκανάς] τὰς αἰτίας δηλονότι. (λ. Κασσ. Αὐγ.) — 11. Ἀποστήσεσθαι — —] κατὰ δύο τρόπους, φησὶν, ἀφιστάμεθα τῶν Ἀθηναίων· τοῦτο μὲν, ὑπὲρ τοῦ μὴ παθεῖν αὐτοὶ κακῶς ὑπ' αὐτῶν ὕστερον· τοῦτο δὲ, ὑπὲρ τοῦ μὴ κακῶς μετ' Ἀθηναίων ποιῆσαι τοὺς Ἕλληνας, ἀλλὰ μεθ' ὑμῶν ἐλευθερῶσαι αὐτούς. τὸ δὲ προποιῆσαι οὐκ ἐκεῖ τῷ διαφθεῖραι τοὺς Ἀθηναίους, ἀλλ' ἐπὶ τῷ πρότερόν τι ποιῆσαι, τουτέστιν ἀποστῆναι.

quando nobis monstravit Hermannus, in qua ἐπ' ἐκείνοις εἶναι cum Herm. pro τὸ ἐπ' ἐκείνοις εἶναι (*quantum quidem per illos liceret*) accipias. Nisi ἐπ' deleto scribere mavis ἀντεκιβουλεῦσαι καὶ ἀντιμελλῆσαί τι, ἔδει ἡμ. ἐκ τοῦ ὁμ. ἐκ. εἶναι. Add. not.

Προαμύνασθαι. Gr. προαμύεσθαι. Ar. et Dan. παραμύνασθαι, sed ille in marg. προαμύνασθαι. Chr. παραμύνεσθαι.

Cap. XIII. Ἔχοντες. Dan. ἔχοντα.

Καὶ αἰτίας. Post ξύμμαχοι collocat F., quod potuit placere Gailio, quocum nostri lectores etiamsi locorum I. 1. p. 304. adscriptorum memores sint, non consentient.

Καὶ ξύμμαχοι. F. καὶ οἱ ξύμμ. Τινά om. Gr.

Ὡς. F. πρός, ex interpr. Unde in C. coaluit scriptura ὡς πρός.

Κωλυθέντας. F. Pal. Reg. (G.) Gr. E. Vind. Ar. Chr. Dan. Ald. Flor. Bas. κωλυθέντες. C. κωλοθέντες.

Ξὺν κακῶς. D. Ar. Chr. ξυνακῶς, nisi quod in D. ον s. ως ead. man. Ξυγκακῶς, quod praebet m., placet Buttmanno Gr. §. 24. not. 4. At vid. praeter eos, quos I. 1. p. 256. memoravimus, Blomf. Gloss. ad Aesch.

Digitized by Google

αὐτοὺς μετ' Ἀθηναίων, ἀλλὰ ξυνελευθεροῦν, ἀπό τε Ἀθηναίων, μὴ αὐτοὶ διαφθαρῆναι ὑπ' ἐκείνων ἐν ὑστέρῳ, ἀλλὰ προποιῆσαι. 2. ἡ μέντοι ἀπόστασις ἡμῶν θᾶσσον γεγένηται καὶ ἀπαράσκευος· ἦ καὶ μᾶλλον χρὴ ξυμμάχους δεξαμένους ἡμᾶς, διὰ ταχέων βοήθειαν ἀποστέλλειν, ἵνα φαίνησθε ἀμύνοντές τε οἷς δεῖ, καὶ ἐν τῷ αὐτῷ τοὺς πολεμίους βλάπτοντες. 3. καιρὸς δὲ ὡς οὔπω πρότερον. νόσῳ τε γὰρ ἐφθάραται Ἀθηναῖοι, καὶ χρημάτων δαπάνῃ· νῆές τε αὐτοῖς αἱ μὲν περὶ τὴν ὑμετέραν εἰσίν, αἱ δ' ἐφ' ἡμῖν τετάχαται. 4. ὥστε οὐκ εἰκὸς αὐτοὺς περιουσίαν νεῶν ἔχειν, ἣν ὑμεῖς ἐν τῷ θέρει τῷδε ναυσί τε καὶ πεζῷ ἅμα ἐπεσβάλητε τὸ δεύτερον· ἀλλ' ἢ ὑμᾶς οὐκ ἀμυνοῦνται ἐπιπλέοντας, ἢ ἀπ' ἀμφο-

2. Ἐν ὑστέρῳ] χρόνῳ δηλονότι. (λ. Κασσ.) — 3. Ἡ μέντοι ἀπόστ. —] σφόδρα τεχνικῶς ἐπὶ τὴν συμμαχίαν προτρέπουσι τοὺς Λακεδαιμονίους· ὅτι ἀπαράσκευοί ἐσμεν, ὡς ταχέως ἀποστάντες. (λ. Κασσ. Ἀνγ.) — Ἀπόστασις] ἀπὸ τῶν Ἀθηναίων δηλονότι. — 4. Ἧι καὶ μᾶλλον χρὴ —] τὸ ἐξῆς, ξυμμάχους ἡμᾶς δεξαμένους ὑμᾶς τοὺς Λακεδαιμονίους. τὸ γὰρ δεξαμένους ἀντὶ τοῦ δέξασθαι. (λ. Κασσ.) — 8. Ἐφθάραται] ἐφθάρησαν. (λ. Κασσ. Ἀνγ.) — 10. Ἐφ' ἡμῖν] καθ' ἡμῶν. (λ. Κασσ. Ἀνγ.) — Τετάχαται] τεταγμέναι εἰσίν. (λ. Κασσ. Ἀνγ.) — 13. Ἀπ' ἀμφοτέρων] ἀπό τε ὑμῶν τῶν Λακεδαιμονίων καὶ τῶν Μιτυληναίων. (λ. Κασσ. Ἀνγ.)

Agam. v. 569. et Lob. ad Phryn. p. 620.

Μετ' Ἀθηναίων. Ar. ex emend. *μετὰ Θηβαίων*, qui error redibit VI, 95.

Προποιῆσαι. Ad προ in E. s. v. al. man. additum σ.

2. *Μέντοι.* D. I. *μέντει.* Mox Pal. *ἢ καί* pro *ἦ καί.*

Φαίνησθε. C. E. *φαίνοισθε*, male.

3. *Ὡς.* Mosqu. Ar. Chr. Dan. *οἷος*, ex interpr. Vind. *καί*, quod alibi quoque cum *ὡς* confunditur.

Νόσῳ τε γάρ. Τέ om. Ar. Dan., *γάρ* Chr.

Ἐφθάραται. C. F. G. *ἐφθάρατε*, in postremo tamen *αι* s. *α*. Gr. *ἐφθάρηνται.* Ar. Chr. *ἐφθάρηται.* Sed bene Phot. *Ἐφθάραται φησι Θουκιδίδης καὶ τετάχαται· πάντα τὰ τοιαῦτα ἀρχαϊκά.* Cf. Buttm. §. 98. 6. Matth. §. 204. adnot. 1.

Αἱ μέν. Αἱ de. Ar.

Ἐφ' ἡμῖν. E. *ἐφ' ὑμῖν.* Idem D. I. in marg. al. man. F. *ὑφ' ἡμ.*

4. *Ἅμα* om. D. I.

Ἐπεσβάλητε. Ar. Chr. Dan. *ἐσβάλ.*

Τμᾶς Cass. Cl. C. F. Pal. It. Vat. Reg. (G.) Gr. B. D. E. m. Ar. Chr. Dan. Bar. Vasc. Bas. Steph. 1. Vall. Haack. Bekk. „Nec intelligo cur lectio mss. retineri non possit." DUK. Imo sola vera est. Vulgo male *ἡμᾶς.*

Ἀπ'. G. *ἐπ'*, sed nostrum s. v.

Digitized by Google

τέρων ἀποχωρήσονται. 5. νομίσῃ τε μηδεὶς ἀλλοτρίας γῆς πέρι οἰκεῖον κίνδυνον ἔξειν. ᾧ γὰρ δοκεῖ μακρὰν ἀπεῖναι ἡ Λέσβος, τὴν ὠφέλειαν αὐτῷ ἐγγύθεν παρέξει. οὐ γὰρ ἐν τῇ Ἀττικῇ ἔσται ὁ πόλεμος, ὥς τις οἴεται, ἀλλὰ δι' ἣν ἡ Ἀττικὴ ὠφελεῖται. 6. ἔστι δὲ τῶν χρη- 5
μάτων ἀπὸ τῶν ξυμμάχων ἡ πρόσοδος, καὶ ἔτι μείζων ἔσται, εἰ ἡμᾶς καταστρέψονται. οὔτε γὰρ ἀποστήσεται ἄλλος, τά τε ἡμέτερα προσγενήσεται, πάθοιμέν τ' ἂν δεινότερα ἢ οἱ πρὶν δουλεύοντες. 7. βοηθησάντων δὲ ὑμῶν προθύμως, πόλιν τε προσλήψεσθε ναυτικὸν ἔχου- 10
σαν μέγα, οὗπερ ὑμῖν μάλιστα προσδεῖ, καὶ Ἀθηναίους 176
ῥᾷον καθαιρήσετε, ὑφαιροῦντες αὐτῶν τοὺς ξυμμάχους·

4. *Οὐ γὰρ ἐν τῇ Ἀττικῇ ἔσται — —] οὐ γὰρ ἐν τῇ Ἀττικῇ ἔσται ὁ πόλεμος, ἐν δὲ ἡμετέρᾳ χώρᾳ, δι' ἣν ὠφελοῦνται οἱ Ἀθηναῖοι, χρήματα λαμβάνοντες ἀπὸ τῶν ξυμμάχων, καὶ πλείονά γε ἔσται αὐτοῖς, ἂν ἡμᾶς καταστρέψωνται. τά τε γὰρ ἡμέτερα προσλήψονται, πρότερον οὐ φορολογοῦντες ἡμᾶς, καὶ τὰ ἀπὸ τῶν ἄλλων βεβαίως ἕξουσιν. καὶ γὰρ οὐδεὶς ἀποστήσεται, γνοὺς Μιτυληναίους δεδουλωμένους.* — 6. *Ἡ πρόσοδος] τῶν χρημάτων τοῖς Ἀθηναίοις. ὅρα τὴν σύνταξιν.* (λ. Κασσ. Αὐγ.) — 7. *Καταστρέψονται] δουλώσουσιν.* (λ. Κασσ. Αὐγ.) — 9. *Ἢ οἱ πρὶν δουλεύοντες] τὸ ἢ οἱ πρὶν δουλεύοντες οὐκ ἐπὶ τοῦ πρότεροι ἡμῶν δουλεύοντες νοητέον, ἀλλ' ἐπὶ τοῦ πρὶν ἀποστῆναι δηλονότι δουλεύοντες, καὶ οὐ μετὰ τὸ ἀποστῆναι.* — 10. *Τμῶν] τῶν Λακεδαιμονίων.* (λ. Κασσ. Αὐγ.) — *Προσλήψεσθε] κτήσεσθε.* (λ. Κασσ. Αὐγ.) — 12. *Καθαιρήσετε] καταβαλεῖτε.* (λ. Κασσ. Αὐγ.) — *Ὑφαιροῦντες] κατ' ὀλίγον ἀποσπῶντες.* (λ. Κασσ. Αὐγ.)

5. *Νομίσῃ.* E. *νομίσει.* Pro proximo *τέ* autem Pal. *δέ.* Deinde G. *μηδής.*

Ὠφέλειαν. Pal. Bekk. *ὠφελίαν.* Cf. de Art. crit. ap. Thuc. p. 153.

Ὥς τις. Pal. *ὅστις.*

Ἡ Ἀττ. Ἡ om. E. m.

6. *Ἔστι δέ.* Gr. *ἔτι δέ.* F. om. *δέ.*

Μείζων. m. Ar. Chr. *μεῖζον.*

Τά τε ἡμέτερα. Ar. *καὶ τὰ ἡμέτ.*

Προσγενήσεται. Dan. *προσγενήσονται.*

Τ' ἄν. „*Τἄν* Elmsleius ad Aristophan. Acharn. v. 823.“ DIND. Sed *τὲ ἄν* hic longe aptius quam *τοὶ ἄν.*

7. *Τμῶν.* D. *ἡμῶν.*

Ῥᾷον. E. *μᾶλλον.*

Καθαιρήσετε. „Suidas *καθαιρήσεται* interpretatur *καθελεῖται.* Apud Hesych. *καθαιρεθήσονται, καταστραφήσονται.*“ WASS. *Καθαιρήσετε, οὐ καθελεῖτε, Θουκυδίδης.* Phot. Herm. p. 92. Add. Zon. p. 1164. ibique Tittm. et Phav.

Digitized by Google

(θρασύτερον γὰρ πᾶς τις προσχωρήσεται·) τήν τε αἰτίαν ἀποφεύξεσθε, ἣν εἴχετε μὴ βοηθεῖν τοῖς ἀφισταμένοις· ἢν δὲ ἐλευθεροῦντες φαίνησθε, τὸ κράτος τοῦ πολέμου βεβαιότερον ἕξετε.

(Ἐπίλογος.)

ιδ'. „Αἰσχυνθέντες οὖν τάς τε τῶν Ἑλλήνων ἐς ὑμᾶς ἐλπίδας καὶ Δία τὸν Ὀλύμπιον, ἐν οὗ τῷ ἱερῷ ἴσα καὶ ἱκέται ἐσμέν, ἐπαμύνατε, Μυτιληναίοις ξύμμαχοι γενόμενοι· καὶ μὴ πρόησθε ἡμᾶς, ἴδιον μὲν τὸν κίνδυνον τῶν σωμάτων παραβαλλομένους, κοινὴν δὲ τὴν ἐκ τοῦ κατορθῶσαι ὠφέλειαν ἅπασι * δώσοντας *, ἔτι

1. Θρασύτερον] θαῤῥαλεώτερον. (λ. Κασσ.) — Προσχωρήσεται] προσχωρήσει, ὑμῖν δηλονότι. — 3. Τὸ κράτος τοῦ πολέμου] τὸ δύνασθαι δηλονότι περιγενέσθαι ἐν τῷ πολέμῳ.

ιδ'. 7. Ἴσα καὶ ἱκέται ἐσμέν] ὅμοιοι καὶ ἴσοι ἱκέταις ἐσμέν. (λ. Κασσ. Ἀνγ.) τὸ ἴσα καὶ ἱκέται ἐσμὲν εἶπεν, ἐπειδὴ καὶ συμμαχίαν αὐτοῖς προσάγουσιν, ὥστε καθ' ὃ μὲν κινδυνεύουσιν, ἱκέται εἰσί, καθ' ὃ δὲ συμμαχίαν διδόασιν, οὐ παντάπασιν ἱκέται, ἀλλ' ὥσπερ ἱκέται. — 8. Πρόησθε] ἀπολύσητε. (λ. Κασσ. Ἀνγ.) — Τὸν κίνδυνον] τοῦτο ἐπὶ τῆς δαπάνης ἀκουστέον καὶ τῶν ἀναλωμάτων. [ἡμέτερος, φησίν, ὁ κίνδυνός ἐστιν· ἡμεῖς γὰρ δαπανῶμεν. (Κασσ. Ἀνγ.)] — 10. Διδόντας] δώσοντας. (λ. Κασσ. Ἀνγ.)

Θρασύτερον γὰρ — προσχωρήσεται. Haec cum Valla in parenthesim redegit Bekk. Plenam interpunctionem ante θασύτ. et post προσχωρ. iam Haack. sustulerat. Pro γάρ Ar. δέ.

Πᾶς τις. Τίς s. v. G.

Προσχωρήσεται. C. προχωρ.

Ἦν εἴχετε — φαίνησθε ob similiter cadentia verba ἀποφεύξεσθε et φαίνησθε om. I., sed in marg. al. man. suppl.

Εἴχετε. Vat. Gr. (hic a pr. man.) Ar. Chr. marg. Steph. ἔχετε.

Δέ plene Cass. C. F. Pal. Reg. (G.) Gr. m. Vulgo (Haack. Bekk.) δ'. Cf. Farr. discr. script.

Cap. XIV. Τῶν Ἑλλήνων s. v. al. man. E.

Ἴσα. D. ἴσοι. At vid. I. 1. p. 104.

Ἐπαμύνατε. C. ἀμύν. De accentu v. πρόησθε vid. Ephemm. Hall. a. 1826. p. 519 sq.

Παραβαλλομένους. Reg. (G.) περιβαλλ., sed in marg. rec. man. γρ. παραβαλλ. Add. not.

Ὠφέλειαν. Pal. m. Bekk. ὠφελίαν, sicut 13, 5. In Dan. de.

Δώσοντας Cass. Aug. Cl. C. F. Pal. It. Vat. H. Reg. (G.) Gr. I. E. Vind. B. m. Ar. Chr. Dan. Bar. Ald. Flor. Bas. Vulgo διδόντας, quod in Ar. ad marg. script. „Mallem legere δώσοντας ex codd. plerisque; verum quum Schol. διδόντας exponat per δώσοντας, videri potest hoc esse illius interpretatio[nem]; adeoque nolim vulgatam muta-

Digitized by Google

δὲ κοινοτέραν τὴν βλάβην, εἰ, μὴ πεισθέντων ὑμῶν σφαλησόμεθα. 2. γίγνεσθε δὲ ἄνδρες, οἵουςπερ ὑμᾶς οἵ τε Ἕλληνες ἀξιοῦσι, καὶ τὸ ἡμέτερον δίος βούλεται."

(Λακεδαιμόνιοι Λεσβίους ξυμμάχους ποιοῦνται καὶ παρασκευάζονται ὡς ἐς τὴν Ἀττικὴν πάλιν ἐμβαλοῦντες.)

ιε'. Τοιαῦτα μὲν οἱ Μυτιληναῖοι εἶπον. οἱ δὲ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι ἐπειδὴ ἤκουσαν, προσδεξάμενοι τοὺς λόγους, ξυμμάχους τε τοὺς Λεσβίους ἐποιήσαντο, καὶ τὴν ἐς τὴν Ἀττικὴν ἐσβολὴν τοῖς τε ξυμμάχοις παροῦσι κατὰ τάχος ἔφραζον ἰέναι ἐς τὸν Ἰσθμὸν τοῖς δύο μέρεσιν ὡς ποιησόμενοι, καὶ αὐτοὶ πρῶτοι ἀφίκοντο, καὶ ὁλκοὺς παρεσκεύαζον τῶν νεῶν ἐν τῷ Ἰσθμῷ, ὑπερολίσθοντες ἐκ τῆς Κορίνθου ἐς τὴν πρὸς Ἀθήνας θάλασσαν, καὶ ναυσὶ καὶ πεζῷ ἅμα ἐπιόντες. 2. καὶ οἱ μὲν προθύμως ταῦτα ἔπρασσον· οἱ δὲ ἄλλοι ξύμμαχοι

2. Ἄνδρες] ἀνδρεῖοι, πρόθυμοι. (λ. Κασσ. Ἀὐγ.)

ιε'. 7. Τοὺς λόγους] τῶν Μιτυληναίων. (λ. Κασσ. Ἀὐγ.) — 10. Τοῖς δύο μέρεσιν] ἵνα τὸ μὲν τριτημόριον μείνῃ, φυλάττον τὴν πόλιν ἑκάστην, τὸ δὲ δίμοιρον ἐπὶ τὸν πόλεμον ἔλθῃ. — Ποιησόμενοι] τὴν ἐσβολὴν δηλονότι. (λ. Ἀὐγ.) — 11. Ὁλκούς] οἱ ὁλκοὶ ὄργανά εἰσιν, οἷς αἱ νῆες ἕλκονται. (λ. Ἀὐγ.) — 13. Ἐπιόντες] κατὰ τῶν Ἀθηναίων δηλονότι. (λ. Κασσ. Ἀὐγ.)

ri." KISTEM. Sed licet haec probabiliter sint disputata, qua de causa iis morem gessit Haack., nos tamen cum Bekk. tot libris concedendum putavimus, praesertim quum illud ipsum Scholion in Cass. et Aug. desit.

Σφαλησόμεθα. Gr. ἀσφαλησ.

2. Γίγνεσθε δέ. Cl. γίγν. ὦν.

Οἵουςπερ. E. οἵους περί.

Cap. XV. Καὶ τήν. Τήν invitis omnibus libris ante Haack. uncis includebatur. Respicitur ad irruptionem, quam Mytilenaei 13, 4. suaserant.

Ἐσβολήν. Punctum, quod post hoc vocab. vulgo inepte collocatur, cum Heilm. et Bekk. sustulimus. Haack. eius loco lineolam habet. Add. not.

Παροῦσι om. Ar. Chr. Dan.

Ἐς τόν. Ἐς de. H. Reg. (G.)

Ποιησόμενοι. F. addit τὴν ἐσβολήν, ex Schol. Post hoc verbum autem rursus vulgo perperam punctum ponitur, cui cum Heilm. et recentt. editt. minorem interpunctionem substituimus.

Παρεσκεύαζον. I. παρεσκέβαζον. Ar. Chr. Dan. παρεσκευάζοντο.

Ἀθήνας. Mosqu. Ἀθηναίους.

2. Ταῦτα. Cl. τοιαῦτα.

Digitized by Google

βραδέως τε ξυνελέγοντο, καὶ ἐν καρποῦ ξυγκομιδῇ ἦσαν ὀγδόου μηνός. καὶ ἀῤῥωστίᾳ τοῦ στρατεύειν.

(5. Ἀθηναῖοι μὲν ἑκατὸν ναυσὶ παρὰ τὸν Ἰσθμὸν πλέουσι, Λακεδαιμόνιοι δὲ στόλον ἐς Λέσβον παρασκευάζουσιν.)

ις'. Αἰσθόμενοι δὲ αὐτοὺς οἱ Ἀθηναῖοι διὰ κατάγνωσιν ἀσθενείας σφῶν παρασκευαζομένους, δηλῶσαι βουλόμενοι ὅτι οὐκ ὀρθῶς ἐγνώκασιν, ἀλλ' οἷοί τέ εἰσι, μὴ κινοῦντες τὸ ἐπὶ Λέσβῳ ναυτικόν, καὶ τὸ ἀπὸ Πελοποννήσου ἐπιὸν ῥᾳδίως ἀμύνεσθαι, ἐπλήρωσαν ναῦς ἑκατόν, ἐσβάντες αὐτοί τε, πλὴν ἱππέων καὶ πεντακοσιομεδίμνων, καὶ οἱ μέτοικοι· καὶ παρὰ τὸν Ἰσθμὸν ἀναγαγόντες, ἐπίδειξίν τε ἐποιοῦντο, καὶ ἀποβάσεις τῆς Πελοποννήσου ᾗ δοκοῖ αὐτοῖς. 2. οἱ δὲ Λακεδαιμόνιοι,

1. Ξυγκομιδῇ] συλλογῇ. (λ. Κασσ. Ἀνγ.) — 2. Ἀῤῥωστία τοῦ στρατεύειν] μεταφορικῶς εἶπεν, ἀντὶ τοῦ, οὐ προθύμως ἐστράτευον.

ις'. 5. Ἐγνώκασιν] οἱ Πελοποννήσιοι. (λ. Ἀνγ.) — Εἰσί] οἱ Ἀθηναῖοι. (λ. Κασσ. Ἀνγ.) — 8. Πλὴν ἱππέων καὶ πεντακοσιομεδίμνων] ἔστιν Ἀθήνησι πολιτικὰ συντάγματα δ', ἂν τὸ εὐπορώτατον πεντακοσιομέδιμνοι, τὸ δὲ δεύτερον ἱππεῖς, τὸ δὲ τρίτον ζυγῖται, τὸ δὲ τέταρτον θῆτες. οἱ μὲν οὖν πεντακοσιομέδιμνοι οὐκ ἠναγκάσθησαν εἰςελθεῖν εἰς τὰς ναῦς, ὡς μεγίστην τιμὴν ἔχοντες ἐν τῇ πόλει διὰ τὸ πολλὰ τελεῖν· οἱ δὲ ἱππεῖς, ὅτι οὐκ ἦν τούτων χρεία. — 10. Ἐπίδειξιν] δεῖξιν φανερὰν. (λ. Κασσ. Ἀνγ.) — 11. Δοκοῖ] ἔδοξε. (λ. Κασσ. Ἀνγ.)

Καὶ ἐν — ἦσαν. „Etymol. [p. 733.] καὶ ἐν συγκ. καρποῦ ἦσ." WASS. Nec aliter Suid. et Phav. in συγκομιδή, et Phot. p. 403. (Herm.) καὶ ἐγ συγκ. καρπῶν ἦσ. Sed „Thomas [in ἀῤῥωστία, qui proxima quoque usque ad στρατεύειν habet] legit ἐν καρπῶν ξυγκομ." WASS. Verum καρποῦ etiam apud Thom. nunc e mss. receptum. Caeterum Gr. pro ἐν praebet ἐγ, in E. syllaba ξυν nominis ξυγκομ. s. v. al. man.

Ἀῤῥωστίᾳ. „Suidas h. v. ἀῤῥωστία τοῦ στρατεύειν ἀντὶ τοῦ ἀπροθυμία. Θουκυδ." DUK. Add. Bekk. Anecdd. p. 446. cf ibid. p. 8. et Wass. adnot.

Cap. XVI. Ἐγνώκασιν. C. ἔγνωσαν. At vid. Born. ad Xenoph. Anab. III, 1. 43.

Τὸ ἐπὶ. Pal. τῷ ἐπὶ.

Λέσβῳ. Reg. (G.) D. Mosqu. Λέσβον. Chr. τῇ Λέσβῳ.

Ἀμύνεσθαι. Gr. ἀμύνασθαί.

Αὐτοί τε. Τέ de. Gr. E.

Καὶ παρά Cass. Aug. Cl. F. Pal. It. Vat. Reg. (G.) Gr. I. Mosqu. m. Ar. Chr. Dan. Haack. Bekk. Valla: *et praetervecti Isthmum.* Καὶ οἱ παρά C. D. E. Vulgo καὶ περί.

Ἧι. Ar. Dan. εἰ, in illius tamen marg. ᾗ.

Δοκοῖ. Cass. Gr. D. I. Dan. δοκεῖ, in Gr. tamen emendatum

Digitized by Google

ιβ. ὁρῶντες πολὺν τὸν παράλογον, τά τε ὑπὸ τῶν Λεσβίων
Κεφ. ιγ. §. γ. δ. ῥηθέντα ἡγοῦντο οὐκ ἀληθῆ, καὶ ἄποροι νομίζοντες, ὡς
αὐτοῖς καὶ οἱ ξύμμαχοι ἅμα οὐ παρῆσαν, καὶ ἠγγέλοντο
ιβ. καὶ αἱ περὶ τὴν Πελοπόννησον τριάκοντα νῆες τῶν Ἀθη-
Κεφ. ιδ. ναίων τὴν περιοικίδα αὐτῶν ποριοῦσαι, ἀνεχώρησαν ἐπ'
οἶκον. 3. ὕστερον δὲ ναυτικὸν παρεσκεύαζον ὅ τι πέμ-
ψουσιν ἐς τὴν Λέσβον· καὶ κατὰ πόλεις ἐπήγγελλον τεσ-
σαράκοντα νεῶν πλῆθος, καὶ ναύαρχον προσέταξαν Ἀλ-
κίδαν, ὃς ἔμελλεν ἐπιπλεύσεσθαι. 4. ἀνεχώρησαν δὲ καὶ
οἱ Ἀθηναῖοι ταῖς ἑκατὸν ναυσὶν, ἐπειδὴ καὶ ἐκείνους
εἶδον.

(6. *Μέγεθος τοῦ ναυτικοῦ τῶν Ἀθηναίων καὶ ἀναλώματα αὐτῶν.*)

ιζ' Καὶ κατὰ τὸν χρόνον τοῦτον, ὃν αἱ νῆες ἔπλεον,
ἦν οἷς πλεῖσται δὴ νῆες ἅμ' αὐτοῖς ἐνεργοὶ κάλλει ἐγέ-
νοντο, παραπλήσιαι δὲ καὶ ἔτι πλείους ἀρχομένου τοῦ
πολέμου. 2. τήν τε γὰρ Ἀττικὴν καὶ Εὔβοιαν καὶ Σα-
λαμῖνα ἑκατὸν ἐφύλασσον, καὶ περὶ Πελοπόννησον ἔτε-

2. Ἄπορα νομίζοντες] ἀντὶ τοῦ τί δεῖ ποιεῖν ἀπέγνωσαν. — 7. Ἐπήγγελλον] ἐζήτουν. (λ. Κασσ. Ἀὺγ.) — 10. Ἐκείνους εἶδον] ἀναχωρήσαντας δηλονότι. (λ. Κασσ. Ἀὺγ.)

ιζ. 13. Ἐν τοῖς] ἐν τούτοις τοῖς χρόνοις, ἢ [ἐν τούτοις (Ἀὺγ.)] τοῖς Ἀθηναίοις. — Ἐνεργοί] αἱ τὸ ἔργον ποιοῦσαι τῶν νεῶν, τουτέστι πλώϊμοι καὶ χρησταί.

δοκοῖ. Incertus Par. ἐδόκει, et s. v. al. man. γρ. δοκοῖ. Statim post αὐτοῖς pro colo recte punctum posuerunt Haack. et Bekk. Antea vero post μέτοικοι minus plene interpunximus. Bekk. ibi adeo virgulam solum collocavit.

2. Παράλογον. C. κατάλ.

Τῶν Λεσβίων. H. Reg. (G.) om. τῶν. Gr. habet τοῦ Λεσβίου.

Νομίζοντες. Gr. νομίσαντες.

Ὡς αὐτοῖς. Gr. καὶ αὐτοί.

Τὴν Πελοπόννησον. Τήν om. m. Ar. Chr. Dan.

3. Ὅ τι. Ar. Chr. Dan. ὅπως, ex interpr. Cf. I. 1. p. 160.

Ἐπιπλεύσεσθαι. G. ἐπιπλέσεσθαι.

4. Καὶ ἐκείνους. Καί om. D.

Cap. XVII. Κατὰ τόν. Τόν om E. et mox pro ὅν vacuum spatium habet.

Ἐν τοῖς. Chr. αὐτοῖς. Gr. E. ἐν αὐτοῖς. C. ἐν αὐταῖς. At vid. Buttm. Gr. med. §. 137. Matth. §. 289. Haack. ad h. l. et adnot. ad I, 6. Pal. post τοῖς lacunam habet quatuor literarum.

Ἅμ'. D. plene ἅμα. At vid. script. discr. ad II, 94, 2.

Ἐγένοντο. E. ἐγίγνοντο, ε s. ι al. man.

Ἀρχομένου τοῦ. E. ἀρχομ. ἅμα τοῦ.

2. Καὶ Εὔβ. Gr. καὶ ἐς Εὔβ.

Digitized by Google

φας ἑκατὸν ἦσαν, χωρὶς δὲ αἱ περὶ Ποτίδαιαν καὶ ἐν τοῖς ἄλλοις χωρίοις· ὥστε αἱ πᾶσαι ἅμα ἐγίγνοντο ἐν ἑνὶ θέρει διακόσιαι καὶ πεντήκοντα. 3. καὶ τὰ χρήματα τοῦτο μάλιστα ὑπανάλωσε μετὰ Ποτιδαίας. τήν τε γὰρ Ποτίδαιαν δίδραχμοι ὁπλῖται ἐφρούρουν, (αὐτῷ γὰρ καὶ ὑπηρέτῃ δραχμὴν ἐλάμβανε τῆς ἡμέρας,) τριχίλιοι μὲν οἱ πρῶτοι, ὧν οὐκ ἐλάσσους διεπολιόρκησαν, ἑξακόσιοι δὲ καὶ χίλιοι μετὰ Φορμίωνος, οἳ προαπῆλθον· νῆές τε αἱ πᾶσαι τὸν αὐτὸν μισθὸν ἔφερον. 4. τὰ μὲν οὖν χρήματα οὕτως ὑπαναλώθη τὸ πρῶτον, καὶ νῆες τοσαῦται δὴ πλεῖσται ἐπληρώθησαν. Βιβλ. β'. κεφ. κδ'. κε'. ἰδ'. Βιβλ. ά. κεφ. κ'. ξά. καὶ Βιβλ. ά. κεφ. ξδ'.

(7. Στρατεία Μυτιληναίων ἐπὶ Μήθυμναν καὶ Μηθυμναίων ἐπ' Ἄντισσαν. Ὕστερον Μυτιλήνη κύκλῳ περιτειχίζεται.)

ιή. Μυτιληναῖοι δὲ κατὰ τὸν αὐτὸν χρόνον, ὃν οἱ Λακεδαιμόνιοι περὶ τὸν Ἰσθμὸν ἦσαν, ἐπὶ Μήθυμναν ὡς προδιδομένην ἐστράτευσαν κατὰ γῆν, αὐτοί τε καὶ οἱ ἐπίκουροι. καὶ προσβαλόντες τῇ πόλει, ἐπειδὴ οὐ

7. Οἱ πρῶτοι] ἐπέμφθησαν γὰρ ἐκεῖ πρῶτοι καὶ δεύτεροι. οἱ μὲν οὖν πρῶτοι ἔμειναν ἕως ἁλώσεως τῆς πόλεως πολιορκοῦντες· οἱ δὲ δεύτεροι, οἱ μετὰ Φορμίωνος, πρὸ τῆς ἁλώσεως ἀνεχώρησαν. — Διεπολιόρκησαν] διόλου, φησὶ, μέχρι τῆς πολιορκίας ὑπέμειναν ὁ ἀριθμὸς τῶν ὁπλιτῶν. — 9. Ἔφερον] ἐλάμβανον. (λ. Ἀνών.) — 11. Ἐπληρώθησαν] ἀνθρώπων δηλονότι. (λ. Ἀνών.)

Ἅμα ἐγίγνοντο. Reg. (G.) ἐγίγνοντο ἅμα.

Ἐν de. Gr. Dan.

Καὶ πεντήκοντα. Καὶ om. Pal.

3. Ὑπανάλωσε. E. ἐπανάλ., ᾧ s. ἐπ al. man.

Αὐτῷ. m. Ar. αὐτῷ.

Ὑπηρέτῃ δραχμήν. „Hic verbum unum fugitivum restituendum censet Meursius, et legendum ὑπηρ. μισθὸν δραχμ., quo modo etiam legit Ulpianus, qui huius loci meminit in Orat. contr. Lept. p. 175. ed. Franc. [p. 33. Wolf.] Vid. Meurs. Attic. Lect. p. 70." HUDS. „Μισθόν non opus, quum sequatur illico sub fin. cap. cf. Abresch. p. 289." GOTTL.

Νῆές τε. Quod vulgo praecedit punctum, cum Bekk. in colon mutavimus, ut nostrum τέ referatur ad id, quod in τήν τε γάρ legitur.

Αἱ πᾶσαι. Aug. ἁπᾶσαι, sed a man. rec. correct. αἱ πᾶσ.

4. Ὑπαναλώθη. E. ἐπαναλώθη.

Cap. XVIII. Οἱ Λακεδ. Οἱ de. Chr. Dan.

Προδιδομένην. Gr. προδεδομ.

Προσβαλόντες. E. προσβαβόντες, sed β corr. al. man. Ar. Chr. Dan. προλαβόντες, in Ar. tamen emend. προσλαβ.

Digitized by Google

Εἴ τε vel *εἴτε* Cass. Cl. C. Vat. Gr. D. E. Mosqu. Ar. Chr., atque prius recepit Bekk. In Dan. *εἴ τι.* Vulgo *εἰ δέ.* Cf. Krüg. ad Dion. p. 268.

Αὐτόν. G. *αὐτῶν.* In E. *αὐτόν s.* v. al. man.

Προσάξεσθαι. Vind. *προσάξασθαι.*

Τῶν φίλων πολεμίους om. Cass. Cl. et correctione al. m. facta E. Ex quibus Cl. contra post *ἕξειν* inserit *ἐχθρούς.*

3. *Ἐπείσθη.* D. *ἐπίσθη.*

Γάρ. Mosqu. Ar. Chr. Dan. *δέ.*

Ἔφευγον. D. I. Dan. *ἔφυγον.* Deinde post *Ἀττικαῖς* apud Gottl. male plene interpungitur.

Digitized by Google

φον, ἀλλὰ προσεχώρουν μᾶλλον ὡς Ἀττικαῖς, καὶ ἐλπίδας οὐδὲ τὴν ἐλαχίστην εἶχον, μή ποτε, Ἀθηναίων τῆς θαλάσσης κρατούντων, ναῦς Πελοποννησίων ἐς Ἰωνίαν παραβαλεῖν.

λγ'. Ἀπὸ δὲ τῆς Ἐφέσου ὁ Ἀλκίδας ἔπλει κατὰ τάχος, καὶ φυγὴν ἐποιεῖτο· (ὤφθη γὰρ ὑπὸ τῆς Σαλαμινίας καὶ Πάραλου, ἔτι περὶ Ἴκαρον ὁρμῶν· αἱ δ' ἀπ' Ἀθηνῶν ἔτυχον πλέουσαι·) καὶ δεδιὼς τὴν δίωξιν, ἔπλει διὰ τοῦ πελάγους, ὡς γῇ ἑκούσιος οὐ σχήσων ἄλλῃ ἢ Πελοποννήσῳ.

(4. Πάχης Ἀλκίδαν διώξας Νότιον αἱρεῖ καὶ τὰ περὶ Λέσβον καθίσταται. λγ' — λε'. Μέχρι Πάτμου ἐπιδιώκει.)

2. Τῷ δὲ Πάχητι καὶ τοῖς Ἀθηναίοις ἦλθε μὲν καὶ ἀπὸ τῆς Ἐρυθραίας ἀγγελία, ἀφικνεῖτο δὲ καὶ πανταχόθεν. ἀτειχίστου γὰρ οὔσης τῆς Ἰωνίας, μέγα τὸ δέος ἐγένετο, μὴ παραπλέοντες οἱ Πελοποννήσιοι, εἰ καὶ ὡς μὴ διενοοῦντο μένειν, ῥᾳθῶσιν ἅμα προσπίπτοντες τὰς

λγ'. 9. *Οὐ σχήσων*] *οὐ προσορμιούμενος.*

Ἐς Ἰωνίαν. Ἐς F. Pal. Reg. (G.) D. Mosqu. Chr. Haack. Bekk. pro vulg. εἰς. Cf. I. 1. p. 212. cum Farr. discr. script.

Παραβαλεῖν. C. παραλαβεῖν.

Cap. XXXIII. Ὁ Ἀλκίδας. Ὁ de. Chr.

Ὤφθη γάρ. Haec usque ad πλέουσαι in parenthesim redegimus, ut cohaereant φυγὴν ἐποιεῖτο καὶ δεδιώς —. Apud Bekk. verba αἱ δ' — πλέουσαι solum parenthesi continentur, ut καὶ δεδιὼς cum ὤφθη γάρ nectantur. Vulgo (atque apud Haack.) et parenthesis notae desunt, et plene post ἐποιεῖτο ac πλέουσαι interpungitur.

Τῆς Σαλαμιν. Τῆς om. Gr. Antea pro ὑπό I., si recte Gail. intelligimus, ἐπί.

Ἴκαρον iam in Obss. critt. p. 229. legendum esse coniecimus et recepit Bekk. Vulgo (et Haack.) Κλάρον. Dan. Κλάρου. Cf. adnot.

Ἑκούσιος. Cass. ἑκουσίως. Cf. Lob. ad Phryn. p. 6., ubi pro Thuc. III, 43. leg. III, 33. Mox post Πελοποννήσῳ apud Duk. Gottl. Gail. male colo interpungitur. Ad οὐ σχήσων autem E. in marg. γρ. οὐχ ἥσσων.

2. Παραπλέοντες. E. παραπλεύσοντες.

Ὡς μή. Pro his D. solum οὐ.

Τὰς πόλεις. Τάς om. Mosqu.

Digitized by Google

πόλεις. αὐτάγγελοι δ' αὐτὸν ἰδοῦσαι ἐν τῇ Ἰκάρῳ ἥ τε Πάραλος καὶ ἡ Σαλαμινία ἔφρασαν. 3. ὁ δὲ ὑπὸ σπουδῆς ἐποιεῖτο τὴν δίωξιν· καὶ μέχρι μὲν Πάτμου τῆς νήσου ἐπεδίωξεν, ὡς δ' οὐκέτι ἐν καταλήψει ἐφαίνετο, ἐπανεχώρει. κέρδος δὲ ἐνόμισεν, ἐπειδὴ οὐ μετεώροις περιέτυχεν, ὅτι οὐδαμοῦ ἐγκαταληφθεῖσαι ἠναγκάσθησαν στρατόπεδόν [τε] ποιεῖσθαι, καὶ φυλακὴν σφίσι καὶ ἐφόρμησιν παρασχεῖν.

(*Παραπλέων Νότιον αἱρεῖ. Τὰ ἐνταῦθα καὶ ἐν Κολοφῶνι πρότερον ξυμβάντα. Νότιον Ἀθηναῖοι κατοικίζουσι.*)

λδ'. Παραπλέων δὲ πάλιν ἔσχε καὶ ἐς Νότιον τὸ Κολοφωνίων, οὗ κατῴκηντο Κολοφώνιοι, τῆς ἄνω πόλεως ἐαλωκυίας ὑπὸ Ἰταμάνους καὶ τῶν βαρβάρων, κατὰ στάσιν ἰδίαν ἐπαχθέντων. ἑάλω δὲ μάλιστα αὕτη, ὅτε ἡ δευτέρα Πελοποννησίων ἐσβολὴ ἐς τὴν Ἀττικὴν ἐγίγνετο. λδ.

Βιβλ. β'. κεφ. μζ'.

1. *Αὐτάγγελοι*] οὐκ ἐπ' ἀγγελίαν πεμφθεῖσαι, ἀλλ' ἐπ' ἄλλην χρείαν. — 2. *Ἔφρασαν*] τοῖς Ἀθηναίοις. — *Ὁ δέ*] ἦγουν ὁ Πάχης. — 3. *Πάτμου*] μή ποτε Πάτμον λέγει; (Βασ.) — 4. *Ἐφαίνετο*] ὁ Ἀλκίδας. — *Ἐπανεχώρει*] ὁ Πάχης. — 5. *Κέρδος δὲ ἐνόμισε — —*] κέρδος, φησὶν, ἐνόμισεν ὁ Πάχης, ὅτι οὐ κατέλαβε τὰς Ἀλκίδου ναῦς, ἵνα μὴ ἀναγκάσωσιν αὐτὸν στρατόπεδον κατ' αὐτῶν ποιήσασθαι, ἢ φυλακὰς καὶ ἐφόρμησιν, μὴ ἄρα τι τυχηρὸν γένηται ἐν τῇ ναυμαχίᾳ καὶ ἡττηθῇ.

λδ'. 11. *Καὶ τῶν βαρβάρων — —*] καὶ τῶν βαρβάρων ἐπαχθέντων ὑπὸ μιᾶς τῶν στάσεων. — 12. *Ἐπαχθέντων*] ἐπελθόντων.

Αὐτάγγελλοι. E. αὐταγγελτι, οι s. ει al. man.

Αὐτόν. Pal. αὐτούς. D. *αὐτοί.* Ar. Chr. Dan. *αὐτά.*

Ἰκάρῳ sicut §. 1. scripsimus pro *Κλάρῳ.* E. *ἐν τῷ Κλάρῳ.*

3. *Πάτμου* Vind. Ar. Bekk. Vulgo (et Haack.) *Λάτμου.* Gr. *Λάγμου.* Cf. not.

Ἐπεδίωξεν. Dan. *ἀπεδ.*

Καταλήψει. Gr. *ἐγκαταλήψει.* At vid. not.

Ἐγκαταληφθεῖσαι. Vind. *ἐγκαταληφθῆναι.* (De Gr. falsa docet Bekk.)

Στρατόπεδόν τε. Τέ om. It. Vat. H. Reg. (G.) Bekk. Nec sane magnopere placet, quum utrjusque membri non par sit ratio, sed alterum alterius effectum contineat.

Ποιεῖσθαι. Cam *ποιῆσαι.*

Ἐφόρμησιν. E. *ἐφόρμισιν.*

CAP. XXXIV. *Παραπλέων.* Reg. (G.) *περιπλέων.*

Ἰταμάνους. H. *Ἰταβάνους*, μα s. βα al. man. D. I. *Ἰταμάγους.* Vind. *Ἰταμένους.* Comma Haackius melius post *βαρβάρων* quam post *Ἰταμ.* posuit, Bekk. utroque loco omisit.

Μάλιστα αὕτη. Gr. *αὕτη μά-*

Digitized by Google

2. ἐν οὖν τῷ Νοτίῳ οἱ καταφυγόντες καὶ κατοικήσαντες αὐτόθι αὖθις στασιάσαντες, οἱ μὲν, παρὰ Πισσούθνου ἐπικούρους Ἀρκάδων τε καὶ τῶν βαρβάρων ἐπαγόμενοι, ἐν διατειχίσματι εἶχον, καὶ τῶν ἐκ τῆς ἄνω πόλεως Κολοφωνίων οἱ μηδίσαντες ξυνεσελθόντες ἐπολίτευον· οἱ δὲ, ὑπεξελθόντες τούτους, καὶ ὄντες φυγάδες, τὸν Πάχητα ἐπάγονται. 3. ὁ δὲ, προκαλεσάμενος ἐς λόγους Ἱππίαν τὸν ἐν τῷ διατειχίσματι Ἀρκάδων ἄρχοντα, ὥστε, ἢν μηδὲν ἀρέσκον λέγῃ, πάλιν αὐτὸν καταστήσειν ἐς τὸ τεῖχος σῶν καὶ ὑγιᾶ, — ὁ μὲν ἐξῆλθε παρ' αὐτὸν, ὁ δ' ἐκεῖνον μὲν ἐν φυλακῇ ἀδέσμῳ εἶχεν, αὐτὸς δὲ προσβαλὼν τῷ τειχίσματι ἐξαπιναίως, καὶ οὐ προσδε-

3. Ἀρκάδων] λείπει ἡ ἀπό, ἢν ᾖ, ἀπὸ τῶν Ἀρκάδων. (λ. Κασσ. Λύγ.) — 5. Ἐπολίτευον] τὴν πολιτείαν εἶχον. (λ. Λύγ.) — 6. Ὑπεξελθόντες] λαθραίως φυγόντες. (λ. Λύγ.) — 10. Σῶν καὶ ὑγιᾶ] ἀναμφοτηρίαστον. (λ. Λύγ.) — 12. Καὶ οὐ προσδεχομένων] τῶν ἐντός. (λ. Λύγ.)

λιστα, quod sine causa probabat Wass.

2. Ἐν οὖν. Hic desinit script. rec. Aug.

Καταφυγόντες. Cod. Bas. καταφεύγοντες.

Κατοικήσαντες. Cl. κατοικίσαντες.

Αὖθις. m. αὖθι.

Παρά. B. περί.

Πισσούθνου. It. Πισσούθνην. Mosqu. Πισούθνου.

Τῶν βαρβάρων Cass. Aug. Cl. F. Pal. It. Vat. G. cod. Bas. Gr. m. Ar. Chr. Dan. Haack. Bekk. Vulgo artic. de.

Ξυνεσελθόντες. Cass. primum ξυνελθόντες, mox ead. man. ξυνεσελθόντες. Illud praebent etiam Aug. (ubi ἐς superscr. a man. 2.) Cl. D. I. Chr. (ed. Bas.? In cod. Bas. ξυνεσελθ.) Sed nostrum aptius esse apparet. E. ξυνεπελθόντες.

Ἐπολίτευον. Post hoc verbum ante Haack. inepte plene interpungebatur. Mox fortasse etiam post οἱ δέ comma omittendum.

Ὑπεξελθόντες. D. ἐκπεξελθ.

3. Προκαλεσάμενος Cass. C. F. Pal. Vat. H. G. cod. Bas. (Cam., qui ὡς λόγους habere traditur,) I. Haack. Bekk. Vulgo προσκαλ.

Ἐν τῷ. Τῷ om. G. Placet τῶν ἐν τῷ, quum antea ἐπικούρους Ἀρκάδων ἐπαγόμενοι ἐν διατειχίσματι εἶχον dictum sit.

Ἀρέσκον. Gr. I. E. Vind. m. ἀρέσκων, in I. tamen ον s. ων al. man.

Ὁ μέν. Ante haec verba (et post αὐτόν) vulgo colon collocatur, nos cum Bekk. comma posuimus, simul autem lineolam, signum interruptae structurae, addidimus. Cf. I. 1. p. 108. Pro μέν F. et cod. Bas. male δέ, Pal. It. Vat. Reg. (G.) Gr. δ'.

Φυλακῇ ἀδέσμῳ. „Ἀδέσμῳ φρουρᾷ perperam Pollux VIII, 72." WASS. Cf. adnot.

Digitized by Google

χομένων, αἰσεῖ, τούς τε Ἀρκάδας καὶ τῶν βαρβάρων ὅσοι ἐνῆσαν διαφθείρει· καὶ τὸν Ἵππιαν ὕστερον ἐσαγαγὼν ὥςπερ ἐσπείσατο, ἐπειδὴ ἔνδον ἦν, ξυλλαμβάνει, καὶ κατατοξεύει. 4. Κολοφωνίοις δὲ Νότιον παραδίδωσι, πλὴν τῶν μηδισάντων. καὶ ὕστερον Ἀθηναῖοι οἰκιστὰς πέμψαντες, κατὰ τοὺς ἑαυτῶν νόμους κατῴκισαν τὸ Νότιον, ξυναγαγόντες πάντας ἐκ τῶν πόλεων, εἴ πού τις ἦν Κολοφωνίων.

(*Πάχης τὰ περὶ Λέσβον καθίσταται, καὶ Σάλαιθον καὶ τοὺς αἰτίους τῆς ἀποστάσεως ἐς Ἀθήνας ἀποπέμπει.*)

λε'. Ὁ δὲ Πάχης, ἀφικόμενος ἐς τὴν Μυτιλήνην, τήν τε Πύῤῥαν καὶ Ἔρεσον παρεστήσατο, καὶ Σάλαιθον λαβὼν ἐν τῇ πόλει τὸν Λακεδαιμόνιον κεκρυμμένον, ἀποπέμπει ἐς τὰς Ἀθήνας, καὶ τοὺς ἐκ τῆς Τενέδου Μυτιληναίων ἄνδρας ἅμα, οὓς κατέθετο, καὶ εἴ τις ἄλλος αὐτῷ αἴτιος ἐδόκει εἶναι τῆς ἀποστάσεως. 2. ἀποπέμπει δὲ καὶ τῆς στρατιᾶς τὸ πλέον· τοῖς δὲ λοιποῖς ὑπομένων καθίστατο τὰ περὶ τὴν Μυτιλήνην καὶ τὴν ἄλλην Λέσβον, ᾗ αὐτῷ ἐδόκει. ἰδ. Κεφ. κή.

1. *Αἰρεῖ*] πορθεῖ, χειροῦται· ὅθεν καὶ περισπᾶται. ἐπὶ γὰρ τοῦ ὑψῶσαι βαρύνεται. (λ. Κασσ.) — 2. *Ὅσοι ἐνῆσαν*] τοῦ Πισσούθνου. (λ. Ἀνγ.)

λε'. 13. *Οὓς κατέθετο*] ἀποκτεῖναι. (λ. Ἀνγ.) — 16. *Καθίστατο*] εὐτάκτει. (λ. Κασσ. Ἀνγ.)

4. *Κατῴκισαν*. Aug. (in quo ι supra scr.) Pal. Vat. H. G. *κατῴκησαν*. Verum Athenienses non ipsi oppidum inhabitaverunt.

Πού τις. Gr. *τίς που*.

Cap. XXXV. *Ἔρεσον*. It. Vat. Ar. Chr. Bekk. *Ἔρεσσον*. Reg. Mosqu. *Ἐρεσσόν*. Alterutrum etiam H., in quo *σον* s. *σσον* al. man. Cf. ad c. 18.

Τὸν Λακεδαιμόνιον κεκρυμμένον. Gr. *τῶν Λακεδαιμονίων κεκρυμμένων*.

Μυτιληναίων. Genitivum suppeditarunt Cass. Aug. Cl. F. It. Vat. Reg. (G.) cod. Bas. Gr. D. E. m. Ar. Chr. Dan. (nisi quod plerique *Μιτυληναίων* exarant,) Haack. Bekk. Vulgo *Μιτυληναίους*.

2. *Ἀποπέμπει δέ*. *Δέ* s. v. al. man. E.

Περὶ τήν. *Τήν* om. E. Dan. Idem in G. s. v., sed ead. man.

Digitized by Google

(5. *Μυτιληναίων ἐν Ἀθήναις γραφὴ καὶ τιμωρία. λϛ΄ — ϟ΄. α΄) Πρῶτον βούλευμα Ἀθηναίων καὶ μετάνοια αὐτῶν.*)

*λϛ΄. Ἀφικομένων δὲ τῶν ἀνδρῶν καὶ τοῦ Σαλαίθου, οἱ Ἀθηναῖοι τὸν μὲν Σάλαιθον εὐθὺς ἀπέκτειναν, ἔστιν ἃ παρεχόμενον, τά τ' ἄλλα, καὶ ἀπὸ Πλαταιῶν (ἔτι γὰρ ἐπολιορκοῦντο) ἀπάξειν Πελοποννησίους. 2. περὶ δὲ τῶν ἀνδρῶν γνώμας ἐποιοῦντο· καὶ ὑπὸ ὀργῆς ἔδοξεν αὐτοῖς οὐ τοὺς παρόντας μόνον ἀποκτεῖναι, ἀλλὰ καὶ τοὺς ἅπαντας Μυτιληναίους ὅσοι ἡβῶσι, παῖδας δὲ καὶ γυναῖκας ἀνδραποδίσαι, ἐπικαλοῦντες τήν τε ἄλλην ἀπόστασιν, ὅτι οὐκ ἀρχόμενοι, ὥσπερ οἱ ἄλλοι, ἐποιήσαντο, καὶ *προξυνεβάλετο * οὐκ ἐλάχιστον τῆς ὁρμῆς αἱ Πελοποννησίων νῆες ἐς Ἰωνίαν ἐκείνοις βοηθοὶ τολμήσασαι παρακινδυνεῦσαι· οὐ γὰρ ἀπὸ βραχείας διανοίας* 187

λϛ΄. 1. *Ἀφικομένων*] *εἰς τὰς Ἀθήνας.* (*λ. Αὐγ.*) — 3. *Ἔστιν ἃ παρεχόμενον*] [*ἔστιν ἃ πρᾶξαι* (*λ. Κασσ.*)] *ὑπισχνούμενον.* — 5. *Περὶ δὲ τῶν ἀνδρῶν*] *τῶν πρωταιτίων.* (*λ. Αὐγ.*) — 6. *Αὐτοῖς*] *τοῖς Ἀθηναίοις.* (*λ. Κασσ. Αὐγ.*) — *Παρόντας*] *ἐν Ἀθήναις.* (*λ. Αὐγ.*) — 8. *Ἐπικαλοῦντες τήν τε ἄλλην ἀπόστ.*] *ἀντὶ τοῦ ἐγκαλοῦντες ὅτι ὅλως ἀπέστησαν.* — 9. ***Ὅτι οὐκ ἀρχόμενοι* — —] *ὅτι οὐχ ὑπακούοντες τοῖς Ἀθηναίοις οὕτως, ὡς οἱ ἄλλοι, ὥστε φόρον φέρειν, τὴν ἀπόστασιν ἐποιήσαντο.* (*Αὐγ.*) — *Οἱ ἄλλοι*] *σύμμαχοι.* (*λ. Αὐγ.*) — 11. *Ἐκείνοις*] *τοῖς Μιτυληναίοις.* (*λ. Αὐγ.*) — *Βοηθοί*] *οὖσαι δηλονότι.* (*λ. Αὐγ.*) — 12. *Παρακινδυνεῦσαι*] *μετὰ κινδύνου ἐλθεῖν εἰς Ἰωνίαν.* (*λ. Αὐγ.*) — ** *Οὐ γὰρ ἀπὸ βραχ. διαν.*] *οὐ γὰρ ὡς ἄφρονες ὄντες, ἀλλ' ὡς πονηρότατοι.* (*Αὐγ.*) —

Cap. XXXVI. *Ἔστιν ἃ.* Pal. *ἐστια.* Gr. om. Dan. *ἔστιν ἅπερ σχόμενον* pro *ἔστιν ἃ παρεχόμ.* *Τά τ' ἄλλα.* Cod. Bas. *τὰ ἄλλα τε.* Exspectaveris fortasse *ἄλλα τε.* Sed *τά τ' ἄλλα* valet *quum ceteris in rebus.*

Πλαταιῶν. Cass. I. Mosqu. m. Ar. Dan. *τῶν Πλατ.*

2. *Παρόντας.* G. *παρόντους.* *Προξυνεβάλετο* Cass. Aug. Pal. It. Vat. H. cod. Bas. Gr. m. Bekk. In C. *προξυνεβάλλετο.* Reg. teste Duk. *προσενεβάλετο.* (Sed G. teste Gail. *προσενελάβετο.*) In Aug. man. ant. adscr. *γρ. προξυνεβάλοντο*, quo praeter vulg. (et Haack.) *προξυνελάβοντο* (cuius veram interpretationem ab Heilm. petas,) et *ον* in C. s. *ετ* al. man. positum ducit F. scriptura *προξυνεβάλοντο*, et *προξυνεβάλοντο* clare exhibet Mosqu., quod ad orationem utique esset aptissimum. At ne nostrum quidem a Thucydidis sermone abhorrere videtur. Cf. not. I. *προξυνελάβετο.*

Ἐς Ἰωνίαν. *Ἐς* om. Mosqu.

Ἐκείνοις om. I. Chr.

Βοηθοί. I. *βοηθοιτο*, sed *το* eras.

Τολμήσασαι. Reg. (G.) *τολμήσασθαι*, sed *σ* s. *σθ.* al. man.

Digitized by Google

ἐδόκουν τὴν ἀπόστασιν ποιήσασθαι. 3. πέμπουσιν οὖν τριήρη ὡς Πάχητα ἄγγελον τῶν δεδογμένων, κατὰ τάχος κελεύοντες διαχρήσασθαι Μυτιληναίους. 4. καὶ τῇ ὑστεραίᾳ μετάνοιά τις εὐθὺς ἦν αὐτοῖς καὶ ἀναλογισμὸς ὠμὸν τὸ βούλευμα καὶ μέγα ἐγνῶσθαι, πόλιν ὅλην διαφθεῖραι μᾶλλον, ἢ οὐ τοὺς αἰτίους. 5. ὡς δ' ἤσθοντο τοῦτο τῶν Μυτιληναίων οἱ παρόντες πρέσβεις καὶ οἱ αὐτοῖς τῶν Ἀθηναίων ξυμπράσσοντες, παρεσκεύασαν τοὺς ἐν τέλει ὥστε αὖθις γνώμας προθεῖναι· καὶ ἔπεισαν ῥᾷον, διότι καὶ ἐκείνοις ἔνδηλον ἦν βουλόμενον τὸ πλέον τῶν πολιτῶν αὖθίς τινας σφίσιν ἀποδοῦναι βουλεύσασθαι.

1. Ἐδόκουν] ἐνομίζοντο. (λ. Ἀνγ.) — 6. Ἢ οὐ τοὺς αἰτίους] ἢ οὖ ἀπόφασις περιττή. ὁ γὰρ ἢ σύνδεσμος ἀντὶ τοῦ ἤπερ κεῖται. κἂν τῇ συνηθείᾳ δὲ πολλάκις παρελκούσαις ἀποφάσεσι χρώμεθα· οὐ μὰ τὸν Δία, οὐ μὰ γὰρ Ἀπόλλωνα· ὡς καὶ τὸ ἀπαγορεύω σοι μὴ ποιεῖν. — 7. Τοῦτο] ὅτι μετενόησαν. (λ. Κασσ. Ἀνγ.) — 8. Τοὺς ἐν τέλει] τοὺς στρατηγοὺς λέγει τοὺς ἐν τέλει· οὗτοι γὰρ συνῆγον τὴν ἐκκλησίαν. — 9. Γνώμας] διασκέψεις. — Προθεῖναι] τοὺς ἐν τέλει. — 10. Καὶ ἐκείνοις — —] καὶ γὰρ τοῖς ἐν τέλει γνώριμον ἦν, ὅτι βούλονται οἱ πλείους τῶν πολιτῶν αὖθις ἀποδοθῆναι αὐτοῖς ἐκκλησίαν. — 11. Σφίσιν] τοῖς πολίταις. (λ. Ἀνγ.)

3. *Πέμπουσιν οὖν.* Gr. om. *οὖν*, et *πέμπουσι* exarat.

Τριήρη. F. *τριήρει.*

Κελεύοντες. D. *κελεύοντα.*

Διαχρήσασθαι. Cass. *διαχρῆσθαι.* G. vulg. habet, sed cum interpr. s. v. *ἀνελεῖν.*

4. *Εὐθύς* post *αὐτοῖς* ponit Reg. (G.), om. I., nec expressit Valla, unde suspectum Krügero l. l. p. 132.

Αὐτοῖς s. v. al. man. habet H., om. Vat. Chr.

Ἀναλογισμός. „Pollux II, 120." WASS. „*Μετάνοια, μετάμελος. Θουκυδ.* Lexic. Bibl. Coisl. Montfauc. p. 483." DUK. („Lex. Seg. p. 107." BEKK.)

Ὠμὸν — αἰτίους. Greg. Cor. p. 102., qui *ἐγνῶσθαι* et *μᾶλλον* om.

Πόλιν. It. *πλήν.*

Ἢ οὐ. Οὐ om. Vind., sed agnoscunt reliqui libri omnes cum Greg. Cor. Cf. not.

5. *Οἱ αὐτοῖς. Οἱ* om. Mosqu.

Ξυμπράσσοντες. Chr. *ξυμπράξοντες.*

Παρεσκεύασαν. Reg. (G.) *παρεσκευάσαντο.* At vid. ad Xen. Cyr. V, 4, 51.

Προθεῖναι. Cass. Cl. C. F. Pal. It. Vat. Reg. (G.) Gr. D. B. E. Ar. Chr. Dan. Ald. Flor. Bas. Steph. 1. *προσθεῖναι*, quod a Bened. in errorem inductus male recepit Haack. „Vid. Hemsterhus. ad Lucian. Necyom. [t. III. p. 411. Lehm.]" BEKK. Add. Ephemm. Hall. a. 1820. Oct. No. 259. et not.

Ῥᾷον. Ald. Flor. ed. Bas. (non cod. Bas.) *ῥᾴδιον.* Mox Reisk. *τινά* malebat.

Digitized by Google

6. καταστάσης δ' εὐθὺς ἐκκλησίας, ἄλλαι τε γνῶμαι ἀφ' ἑκάστων ἐλέγοντο, καὶ Κλέων ὁ Κλεαινέτου, ὅσπερ καὶ τὴν προτέραν ἐνενικήκει ὥστε ἀποκτεῖναι, ὢν καὶ ἐς τὰ ἄλλα βιαιότατος τῶν πολιτῶν τῷ τε δήμῳ παραπολὺ ἐν τῷ τότε πιθανώτατος, παρελθὼν αὖθις, ἔλεγε τοιάδε.

(β'. Δημηγορία Κλέωνος κατὰ τῶν Μυτιληναίων, συμβουλεύουσα ἀποκτεῖναι αὐτούς. λζ' — μ'. Πρῶτον τὸ τῆς γνώμης ἀγχίστροφον τῶν Ἀθηναίων μέμφεται, καὶ ἀμαθίαν σώφρονα ξυνέσεως ἀμείνω φησί.)

λζ'. „Πολλάκις μὲν ἤδη ἔγωγε καὶ ἄλλοτε ἔγνων δημοκρατίαν ὅτι ἀδύνατόν ἐστιν ἑτέρων ἄρχειν, μάλιστα δ' ἐν τῇ νῦν ὑμετέρᾳ περὶ Μυτιληναίων μεταμελείᾳ.

2. Καὶ τὴν προτέραν] βουλὴν δηλονότι. (λ. Ἀὺγ.) — 4. Βιαιότατος] ἰσχυρός. (λ. Λὺγ.)

λζ'. 6. Πολλακις μὲν ἤδη —] ἡ στάσις πραγματικὴ ἐστι τῆς δημηγορίας. διαιρεῖται δὲ τῷ δικαίῳ καὶ τῷ συμφέροντι. τὸ γὰρ εὐπρεπὲς οὐδέτερος ἐξήτασεν. ἦν γὰρ τὸ μὲν παρὰ τὸ ἦθος τῆς πόλεως, τὸ δὲ παρὰ τὴν ἐνέργειαν τῶν ἀδικησάντων. [** θαυμάσειε δ' ἄν τις τὸν συγγραφέα, πῶς ἐν ὠμότητι διαβεβλημένῃ καὶ παραδόξοις ἐννοίαις κατὰ φύσιν καὶ ἀπολουθίαν τινὰ τὴν τάξιν τῆς δημηγορίας τετήρηκε. (Κασσ. Λὺγ.)] ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅτι πολλάκις ἔγνων ὅτι δημοκρατίαν ἀδύνατόν ἐστιν ἑτέρων ἄρχειν.

6. *Καταστάσης δ' εὐθύς.* D. δ' om. In E. m. Ar. Chr. Dan. *καὶ κατασ. εὐθ.*

Ἀφ' ἑκάστων. Ar. Chr. Dan. *ἐφ' ἑκ.* At vid. adnot. ad I, 17.

Κλέων. Gr. *ὁ Κλέων.* Quod grammaticam minus violat quam vulgo putatur. Vid. Krüg. de Authent. Anab. p. 61. adnot.

Ὅσπερ. E. Ar. Chr. Dan. *ὅς τε.*

Ἐς τὰ ἄλλα. Mosqu. *ἐς τἄλλα.* At vid. I. 1. p. 215.

Πολιτῶν. It. Vat. *πολλῶν.*

Παρελθών. Mosqu. *καὶ παρελθών.*

Αὖθις. Gr. *αὐτοῖς.* In E. de. Cap. XXXVII. *Ἄλλοτε* Cass. Reg. Gr. Vasc. Steph. 1. all. Haack. Bekk. Vulgo divisim *ἄλλο τε.* „Sic quidem Bas. et e Dan. nulla varietas adnotata erat. Sed puto esse errorem typographorum.“ DUK. Mosqu. *ἄλλοι τε.*

Ἀδύνατον Cass. Cl. Pal. It. Vat. Gr. Vind. Ar. Chr. Dan. Ald. Flor. Bas. Schol. Haack. Bekk. Ex B. C. E. F. G. H. Gailii typothetae *ἀδύνατα* dederunt, sed haud dubie hi quoque *ἀδύνατον* habent. Vulgo *ἀδύνατος.* Comma autem, quod post *δημοκρατίαν* collocari solet, delevimus, ut hoc vocabulum et obiectum sit verbi *ἔγνων* et subiectum verbi *ἄρχειν.*

Ὑμετέρᾳ. Cass. Pal. Ar. Chr. *ἡμετ.* At vid. seqq. Vat. *ἡμέρᾳ.*

Περὶ om. C.

Μεταμελείᾳ. It. Vat. H. male

Digitized by Google

2. διὰ γὰρ τὸ καθ' ἡμέραν ἀδεὲς καὶ ἀνεπιβούλευτον πρὸς ἀλλήλους, καὶ ἐς τοὺς ξυμμάχους τὸ αὐτὸ ἔχετε· καὶ ὅ τι ἂν ἢ λόγῳ πεισθέντες ὑπ' αὐτῶν ἁμάρτητε, ἢ οἴκτῳ ἐνδῶτε, οὐκ ἐπικινδύνως ἡγεῖσθε ἐς ὑμᾶς καὶ οὐκ ἐς τὴν τῶν ξυμμάχων χάριν μαλακίζεσθαι, οὐ σκοποῦν-
138. **τες ὅτι τυραννίδα ἔχετε τὴν ἀρχὴν, καὶ πρὸς ἐπιβουλεύοντας αὐτοὺς, καὶ ἄκοντας ἀρχομένους· [οἳ] οὐκ, ἐξ**

*ἐπεὶ γὰρ ἀλλήλους οἱ πολῖται οὔτε φοβοῦνται οὔτε ἐπιβουλεύουσιν, οἴονται μηδὲ ὑπὸ τῶν ὑπηκόων ἐπιβουλεύεσθαι. — 1. ** Διὰ γὰρ —] ἡ αἰτία τοῦ πολλάκις μὲν ἔγωγε καὶ τῶν ἐξῆς. (Αὐγ. Βασ.) — ** Τὸ καθ' ἡμέραν ἀδεές] ὅπερ ἡ τυραννὶς οὐκ ἔχει. ἦς τέλος τὸ φυλάσσειν ἑαυτόν τινα καὶ διὰ τοῦτο μὴ ἀδεῶς βιοῦν. (Κασσ. Αὐγ. Βασ.) — 2. Τὸ αὐτὸ ἔχετε] ἀδεὲς δηλονότι. — 3. Καὶ ὅ τι ἂν ἢ λόγῳ — —] τουτέστι, καὶ οὐχ ἡγεῖσθε τοῦτο, ὅτι, ἄν τε λόγῳ παραχθέντες ὑπ' αὐτῶν, ἄν τε οἰκτείραντες αὐτοὺς, μαλακώτερον καὶ πραότερον προσενεχθῆτε, οὐκ ἐκείνοις τι χαρίζεσθε, ἀλλ' αὐτοὶ κινδυνεύετε καταφρονούμενοι· ἐκεῖνοι δὲ οὐκ ἴσασι χάριν ὑμῖν. — ***Ἢ οἴκτῳ ἐνδῶτε] Ὅμηρος· ἦ κεν γηθήσαι Πρίαμος, καὶ τὰ ἑξῆς. (Αὐγ.) — 4. Οὐκ ἐπικινδύνως ἡγεῖσθε — —] οὐ σκοπεῖτε, [φησὶν] ὅτι οὐκ εἰς χάριν ἐκείνων τοῦτο ποιεῖτε, ἀλλ' εἰς ἴδιον κίνδυνον. — 5. Μαλακίζεσθαι] χαυνοῦσθαι. (λ. Αὐγ.) — ** Σκοποῦντες] περίοδος τετράκωλος, ἔχουσα ἐν ἑκάστῳ κώλῳ νοούμενον τὸ σκοποῦντες· ὅτι τυραννίδα ἔχετε τὴν ἀρχήν· οὐ διότι ἀκόντων ἄρχετε· οὐδὲ ὅτι ἀκροῶνται ὑμῶν οὐ δι' ἅπερ χαρίζεσθε αὐτοῖς οὐδὲ δι' εὔνοιαν· ἀλλὰ διὰ φόβον. (Βασ.) — 7. Αὐτούς] τοὺς συμμάχους δηλονότι. — Οὐκ ἐξ ὧν ἂν χαρίζησθε — —] τὸ ἐξῆς, οὐκ ἐξ ὧν σφαλλόμενοι ταῖς ἐλπίσιν οἱ ἀφιστάμενοι ὑμῶν πάλιν δουλοῦνται· τὸ δὲ ἐὰν χαρίζησθε, μεταξύ. ὁ δὲ νοῦς, οὐχ ὑπακούουσιν ὑμῶν, ἐὰν σφαλλόμενοι ἐν τῇ ἀποστάσει συγχωρῶνται. οὐ κατὰ τοῦτο, ἀλλὰ καθὸ βιαίως καὶ ἀκριβῶς εἰσπράττονται δίκας.*

ἀμελείᾳ, H. tamen μετ s. v. al. man. Huc fortasse respiciunt Anecdd. Bekk. p. 107.

2. Ἔχετε. Sequitur vulgo punctum, pro quo Bekk. comma posuit, nobis colon ferri posse videbatur.

Ἐς ὑμᾶς. E. ὡς ὑμ.

Μαλακίζεσθαι. It. Vat. μαλακίζεσθε.

Οὐ σκοποῦντες. Chr. Dan. καὶ σκοπ., et Chr. ex alicuius emendat. καὶ οὐ σκοπ.

Πρὸς ἐπιβουλεύοντας Cass. Pal. Bekk. Vulgo coniunctim προσεπιβουλ. „Πρὸς ἐπιβούλ. legendum censet Steph. atque ita vertendum: *Non consider.* etc. *tyrannidem esse, et quidem in eos, qui vobis insidiantur.* Vid. Steph. Append. ad scripta de Dial. Att. p. 129." HUDS. „Non improbo coniecturam Stephani, quam confirmat Cass. Πρός sine casu pro προσέτι ubivis obvium est, προσεπιβουλεύω autem adeo rarum, ut ne optima quidem Lexica id habeant." DUK. Exstat apud Schneid. et Pass. sed sine dubio ex h. l. desumptum. Quocirca I. 1. p. 244. de eo disputandum erat.

Οἳ de. Aug. Cl. C. (in quo s. v. al. man. scr.) F. Pal. It. Vat.

ὧν ἂν χαρίζησθε βλαπτόμενοι αὐτοὶ, ἀκροῶνται ὑμῶν, ἀλλ' ἐξ ὧν ἂν ἰσχύϊ μᾶλλον ἢ τῇ ἐκείνων εὐνοίᾳ περιγένησθε. 3. πάντων δὲ δεινότατον, εἰ βέβαιον ἡμῖν μηδὲν καθεστήξει ὧν ἂν δόξῃ πέρι, μηδὲ γνωσόμεθα ὅτι χείροσι νόμοις ἀκινήτοις χρωμένη πόλις πρείσσων ἐστὶν

1. *Βλαπτόμενοι αὐτοί* —] *δεσφρὲς τὸ χωρίον, ὅτι ἀπὸ αἰτιακῆς εἰς εὐθεῖαν μετέβη ἡ ἀπόδοσις τῆς ἐννοίας· ὅπερ ἐστὶ παρὰ τὴν κοινὴν συνήθειαν. ὤφειλε γὰρ βλαπτομένους καὶ ἀκροωμένους εἰπεῖν ὁ γράφων, ἀλλ' ὡς καινῶν συντάξεων εὑρετὴς καὶ τῆς παλαιᾶς Ἀτθίδος ἐπιστήμων τοῦτο οὐ πεποίηκε. τοιαύτας δὲ εὑρήσεις καὶ παρὰ τῷ θεολόγῳ συντάξεις πολλὰς, ἃς οἱ μὴ εἰδότες διαβάλλουσί τε, καὶ σολοικίζειν τὸν μέγαν οἱ ἀμαθεῖς οἴονται. τὸ δὲ βλαπτόμενοι εἰ ἀντὶ τοῦ ἀφιστάμενοι, καὶ μὴ κατορθοῦντες ἃ προέθεντο ποιῆσαι, δεχθείη, ἔχοι ἂν τὴν προκειμένην διάνοιαν· εἰ δὲ κατὰ τὸ ὀρθὸν δεχθείη, ἔχοι ἂν οὕτως, ὅτι βλαπτόμενοι αὐτοὶ ἐν τῷ ὑπήκοοι εἶναι, οὐκ ἐξ ὧν ἄρτι χαρίσησθε αὐτοῖς ἀκροάσονται ὑμῶν, ἀλλ' ἐξ ὧν τῇ ἰσχύϊ περιγένησθε αὐτῶν. οὐδὲ γὰρ εὐνοίᾳ βούλονται ὑποτάσσεσθαι.* (λ. Κασσ. Αὐγ.) — 3. *Πάντων δὲ δεινότατον* —] *τὸ ῥῆμα τοιοῦτον· πάντων, φησὶ, δεινότατόν ἐστιν, εἰ μὴ γνωσόμεθα ὅτι φαύλοις νόμοις, ἀκινήτοις δὲ, χρωμένη πόλις καλλίων ἐστὶν, ἢ καλοῖς μὲν, ἀβεβαίοις δὲ καὶ ἀκύροις· ἀμαθίαν δὲ καλεῖ οὐχ ἁπλῶς τὴν ἄνοιαν, ἀλλὰ τὸ μὴ θέλειν καὶ τῶν νόμων καὶ τῶν ῥητόρων καὶ πάντων εἶναι δοκεῖν φρονιμώτατον, ἀλλ' εἴκειν τοῖς καλῶς δεδογμένοις, καὶ μὴ ζητεῖν ἀνατρέπειν αὐτά· ὅπερ αἰνίττεται ποιεῖν τὸν Διόδοτον. σωφροσύνην δὲ λέγει τὸ ἀεὶ ἐμμένειν τοῖς κειμένοις νόμοις, καὶ μὴ ζητεῖν μεταβάλλειν αὐτούς.* — *Εἰ βέβαιον ἡμῖν μηδὲν καθεστ.* —] *ἤγουν ἐὰν ὦμεν παλίμβουλοι.* — 4. *Καθεστήξει*] *ἔσται.* (λ. Αὐγ.) — 5. *Ἀκινήτοις*] *ἀμεταθέτοις.* (λ. Αὐγ.)

cod. Bas. (in quo corrector *καὶ* ὡς ante *οὐκ* inseruit,) Gr. D. E. m. Ar. Chr. Dan. Bar. Ald. ed. Bas. Schol. Cum nostris Obss. critt. damnat Reisig. ad Aristoph. I. p. 316. et uncis inclusit Haack., intactum reliquit Bekk. Cf. adnot. In Cass. desiderantur omnia inter *ἀρχομ.* et *ἀλλ' ἐξ*, sed man. rec. in marg. scripta sunt. In eodem etiam *ἀλλ'* ab emendatore erat abrasa priore scriptura. Caeterum apud Duk. et Gottl. male punctum ante *οἵ* est. Comma posuit Bekk.

Χαρίζησθε. Mosqu. *χαρίζασθε.*

Ἀκροῶνται. Vat. *ἀκροῶντο.*

3. *Πάντων* — *ἀκολασίας.* „Stobaeus p. 244., ubi male *καθίστησιν* hodie legitur.“ WASS.

Δεινότατον. I. *δυνατότατον*, marg. *δεινότατον.*

Ἡμῖν. m. *ὑμῖν.*

Καθεστήξει. E. et Stobaei liber B. *καθεστήκει.*

Ὧν. Pal. It. male *ὦ.* Deinde post *πέρι* et *ἀκύροις* Haack. pro punctis dimidiis recte virgulas posuit, qualem etiam post *ἀκολασίας* cum Bekk. admisimus, ubi vulgo punctum, apud Haack. colon est.

Πόλις. Ar. Chr. Dan. *ἡ πόλις.*

Digitized by Google

ἢ καλῶς ἔχουσιν ἀνύρους, ἀμαθία τε μετὰ σωφροσύνης ὠφελιμώτερόν ἢ δεξιότης μετὰ ἀκολασίας, οἵ τε φαυλότεροι τῶν ἀνθρώπων πρὸς τοὺς ξυνετωτέρους ὡς ἐπὶ τὸ πλεῖον ἄμεινον οἰκοῦσι τὰς πόλεις. 4. οἱ μὲν γὰρ τῶν τε νόμων σοφώτεροι βούλονται φαίνεσθαι, τῶν τε ἀεὶ λεγομένων ἐς τὸ κοινὸν περιγίγνεσθαι, ὡς ἐν ἄλλοις μείζοσιν οὐκ ἂν δηλώσαντες τὴν γνώμην· καὶ ἐκ τοῦ τοιούτου τὰ πολλὰ σφάλλουσι τὰς πόλεις. οἱ δ' ἀπιστοῦντες τῇ ' ἑαυτῶν ' ξυνέσει ἀμαθέστεροι μὲν τῶν νόμων

1. *Ἀμαθία τε μετὰ σωφροσύνης — —] τὴν μὲν ἀμαθίαν ἐπὶ τῆς ἀσυνεσίας τέθεικε, τὴν δὲ δεξιότητα ἐπὶ τῆς συνέσεώς τε καὶ ἐντρεχείας. τὴν δὲ ἀκολασίαν ἀντιτέθεικε τῇ σωφροσύνῃ· δεῖ δὲ τὴν μὲν σωφροσύνην ἐνταῦθα ἐπὶ τῆς εὐηθείας δέξασθαι, τὴν δὲ ἀκολασίαν ἐπὶ τῆς εὐμεταβλησίας. ὁ δὲ νοῦς τοιοῦτος· βέλτιόν ἐστι, φησὶν, ἀμαθεστέρους μετὰ σωφροσύνης εἶναι, ἢ συνετωτέρους τυγχάνοντας εὐμεταβλήτους ἔχειν. [** Κρείσσων ἀμαθὴς καὶ σώφρων ἢ ἀκόλαστος εὐμαθής· κρείσσων ἰδιώτης δίκαιος ἢ ἄρχων ἄδικος. (Βασ.)] — 2. Φαυλότεροι] ἀμαθέστεροι. — 3. Πρὸς τοὺς ξυνετωτέρους] συγκρινόμενοι δηλονότι. (λ. Λύγ.) — ** Ὡς ἐπὶ τὸ πλεῖον] ὡς ἐπὶ τὸ πλεῖον ἀκριβῶς κεῖται. (Λύγ.) — 4. Οἱ μὲν γάρ] οἱ φρόνιμοι. (λ. Λύγ.) [οἱ συνετώτεροι. (Κασσ. Βασ.)] — 6. Ὡς ἐν ἄλλοις — —] ὡς ἐν ἄλλοις μείζοσιν οὐ δυνάμενοι δηλῶσαι, καὶ γνώριμον ποιῆσαι πᾶσι, τὴν ἰδίαν σύνεσιν, εἰ μὴ ἐν οἷς βούλονται δεῖξαι ὅτι σοφώτεροί εἰσι τῶν νόμων. — 7. Τὴν γνώμην] νῦν τὴν πολυμαθίαν. — 8. Οἱ δ' ἀπιστοῦντες — —] οἱ ἀμαθεῖς δηλονότι. — 9. Ἀμαθέστεροι] ἥγουν ἐλάττονες τῆς γνώσεως τῶν νόμων. (λ. Λύγ.)

Ἀκολασίας. Bekk. Anecdd. p. 367. *Ἀκολασία Θουκυδίδης ἔφη, ἀκολαστία δὲ Ἀλεξις.* Quae etiam I. 1. p. 432. afferre poteramus.

Οἵ τε — πλείω. „Stobaeus [l. l.]" WASS.

Φαυλότεροι. Stob. ed. Ven. *φαυλότατοι.*

Τοὺς ξυνετωτέρους. D. *τῶν ξυνετωτέρων.*

Ἐπὶ τὸ πλεῖον Cass. Aug. (cf. Schol.) Cl. Pal. Is. Gr. Vind. Ar. Chr. Dan. et Stobaei cod. Vind. Recepit Bekk. *Ἐπὶ πλεῖον* C. F. Vulgo hic et in Stob. edd. *ἐπιτοπλεῖστον.*

Οἰκοῦσι. I. *οἰκοῦσι.* D. *ἰοῦσι.*

4. *Τῶν τε.* Gr. *τότε* pro *τέ.*

Ἀεί. Pal., ut solet, *αἰεί.* Cf. I. 1. p. 211.

Ἄλλοις. Stobaei cod. A. et Trinc. *πολλοῖς.*

Δηλώσαντες. Stob. *δηλώσοντες.* Ar. Chr. *δουλώσαντες*, Ar. tamen in marg. *δηλώσ.* „Verba *ἐν ἄλλοις μείζ.* opposita sunt illis *τῶν ἀεὶ λεγομ. ἐς τὸ κοιν.* Monui, ne quis cum Lindav. *ἐν ἄλλοις μείζ.* masculino genere intelligat et legat *δουλώσ.*" HAACK.

Τῇ ἑαυτῶν C. F. D. Mosqu. Stob. Bekk. Vulgo (et Haack.) *τῇ ἐξ αὐτῶν.* Cf. I. 1. p. 201. Pro *αὐτῶν* Cass. Cl. Pal. Reg. Gr. Ar. Chr. Dan. (et, ut videtur, E.) *αὐτῶν.*

Digitized by Google

ἀξιοῦσιν εἶναι, ἀδυνατώτεροι δὲ τοῦ καλῶς εἰπόντος μέμψασθαι λόγον· κριταὶ δὲ ὄντες ἀπὸ τοῦ ἴσου μᾶλλον ἢ ἀγωνισταί, ὀρθοῦνται τὰ πλείω. 5. † ὡς † οὖν χρὴ καὶ ἡμᾶς ποιοῦντας, μὴ δεινότητι καὶ ξυνέσεως ἀγῶνι ἐπαιρομένους παρὰ δόξαν τῷ ὑμετέρῳ πλήθει παραινεῖν." 5

(*Τούς τε ἀντιλέγοντας ἂν ῥήτορας διαβάλλει, καὶ αὐτοὺς τοὺς Ἀθηναίους, ῥᾳδίως ἀπατωμένους καὶ λόγον ἡδονῇ ἡσαμένους, τῆς ἐκείνων θρασύτητος αἰτίους εἶναι λέγει.*)

λή. „Ἐγὼ μὲν οὖν ὁ αὐτός εἰμι τῇ γνώμῃ, καὶ θαυμάζω μὲν τῶν προθέντων αὖθις περὶ Μυτιληναίων λέγειν, καὶ χρόνου διατριβὴν ἐμποιησάντων, ὅ ἐστι πρὸς

1. ** *Ἀδυνατώτεροι*] *ἀπὸ κοινοῦ τὸ ἀξιοῦσι.* (*Λύγ.*) — 2. *Κριταὶ δ' ὄντες* —] *τουτέστι, κρείσσους καὶ δικαιότεροι ὄντες κριταί, ἤπερ ἀγωνισταί, ὀρθοῦνται τὰ πλείω.* — 4. ** *Δεινότητι*] *τουτέστι τῇ ῥητορικῇ δυνάμει.* (*Κασσ. Λύγ.*) — 5. *Παρὰ δόξαν*] *παρὰ τὸ δοκοῦν καὶ φαινόμενον. ἐξ οὗ παρὰ τὴν ἀλήθειαν.*

λή. 6. *Ὁ αὐτός εἰμι τῇ γνώμῃ*] *ἤγουν τοῖς δεδογμένοις ἐμμένω.* (*λ. Κασσ. Λύγ.*) — 7. *Θαυμάζω*] *σημείωσαι τὸ θαυμάζω μετὰ γενικῆς ἐπὶ καταφορᾶς λαμβανόμενον.* (*Κασσ.*) — 8. *Χρόνου διατριβὴν*] *ἀργίαν τῆς τιμωρίας τῶν Μιτυληναίων.* (*λ. Κασσ. Λύγ.*) — *Ὅ ἐστι πρὸς τῶν ἠδικηκότων*] *ὅπερ συμφέρει τοῖς ἠδικηκόσιν, ὃ πέρδος ἐστί. τὸ χρονοτριβῆσαι δηλονότι καὶ σκέψασθαι. εἶτα καὶ τὴν αἰτίαν λέγει, ὅτι ἀμβλύτερος γίνεται ὁ ἐκδιδῶν διὰ τὸ ὑπὸ τοῦ χρόνου πραῦνεσθαι. καὶ ὁ Εὐριπίδης· Χρόνος μαλάξει σε.* (*λ. Κασσ.*)

Τοῦ καλῶς. Stob. *τὸν τοῦ καλ.*

Μέμψασθαι. Stob. *μέμψεσθαι.* Statim post *λόγον* vulgo male punctum legitur, cui colon substituit Haack., comma Bekk.

Ἀπὸ τοῦ. Ar. Chr. Dan. *ἐπὶ τοῦ.* At vid. Ind. in *ἴσος.*

Ὀρθοῦνται. Stob. *διορθοῦνται.*

5. *Ὡς.* Olim perperam sine accentu scribebatur, sed vel sic contra vulgaria grammaticae praecepta (Buttm. Gr. med. §. 136. 1. p. 431. Matth. Gr. min. §. 628. fin.) dictum est. Et Cass. in marg. *γρ. ἔν τισιν ὃ χρή.* Ita etiam Aug. et m. In Chr. *ὧδ' οὖν χρή.* Vid. tamen Heind. ad Protag. §. 44., quanquam exempla, quae ibi leguntur, non plane similia sunt, quum aliud ὡς praecedat (sicut vicissim *τοῖος* ante *οἷος* servamus, *τόν* ante *ὅν* et similia). Itaque in *ὧδ'* propensiores sumus.

Ἡμᾶς. *Ὑμᾶς* suspicari aliquem posse male scripsit Haack., qui veriorem interpretationem ipse adiecit.

Καὶ ξυνέσεως. Καί om. Mosqu.

Ἐπαιρομένους. C. *ἀπαιρ.*, ε s. α al. man.

Cap. XXXVIII. *Προθέντων.* Ft. *προαχθέντων.* Ar. ex emend. *προσθ.* At vid. ad c. 36, 5. Antea *θαυμάζων* legi in Steph. ed. 2. male affirmat Huds.

Digitized by Google

τῶν ἠδικηκότων μᾶλλον· (ὁ γὰρ παθὼν τῷ δράσαντι ἀμβλυτέρᾳ τῇ ὀργῇ ἐπεξέρχεται· ἀμύνασθαι δὲ τῷ παθεῖν ὅτι ἐγγυτάτω κείμενον, ἀντίπαλον ὄν, μάλιστα τὴν
189. τιμωρίαν ἀναλαμβάνει·) θαυμάζω δὲ καὶ ὅρτις ἔσται ὁ
5 ἀντερῶν, καὶ ἀξιώσων ἀποφαίνειν τὰς μὲν Μυτιληναίων ἀδικίας ἡμῖν ὠφελίμους οὔσας, τὰς δ' ἡμετέρας ξυμφορὰς [οὐ] τοῖς ξυμμάχοις βλάβας καθισταμένας. 2. καὶ

1. Ὁ γὰρ παθών] κακῶς δηλονότι. (λ. Αὐγ.) — Ὁ γὰρ παθὼν — —] εἰπὼν ὅτι ἡ τοῦ χρόνου διατριβὴ συμφέρει τοῖς προηδικηκόσιν, αἰτίαν ἀποδίδωσι, δι' ἣν συμφέρει. ἐν γὰρ τῷ χρόνῳ, φησὶν, ἀμβλύνεται ἡ τοῦ παθόντος ὀργή· (καὶ Εὐριπίδης· χρόνος μαλάξει σε·) εἰ δὲ τὸ ἀμύνεσθαι τῷ παθεῖν ἐγγὺς τεθείη, τουτέστιν εἰ μὴ γένοιτο ἐν μέσῳ χρόνος πολὺς, ἰσόπαλόν τι καὶ ἴσον τυγχάνει τὸ ἀμύνεσθαι, διὰ τὸ τὴν μνήμην ἀκραιφνῆ παρεῖναι τοῦ πεπονθέναι. — ** Ὁ γὰρ παθὼν — —] †φησὶν ὡς τις παρευθὺ ἀμυνόμενος ἰσχυρὰν †τὴν τιμωρίαν [ἂν] ποιεῖται· τὸ γὰρ ἀμύνασθαι κείμενον ἐγγύτατα, ὡς ἰσόπαλον ὄν, τοῦτο ποιεῖ. ὁ δὲ †παθὼν διὰ τὸ ἠδυπαθεῖν ὥστε τοῦ χρόνου περιιδὼν †ἀπομαρανθῆναι τὴν ὀργὴν, ἀμβλύτερον αὐτῇ χρῆται. (Παλ.) — 2. Ἀμύνεσθαι δέ —] ᾗ γὰρ ἀμυνόμενος δηλονότι παθών τι ἀμύνεται, ᾧ ἔπεται δηλονότι ἡ τιμωρία. (λ. Κασσ.) — 3. Ἀντίπαλον] ἤγουν ἴσον. ὁ δὲ νοῦς οὕτω, τὸ ἀμύνεσθαι ἴσον ἐστὶ τῷ τιμωρεῖν. — 4. Θαυμάζω δὲ — —] ὁ πρὸς τὴν κόλασιν, φησὶ, τῶν Μιτυληναίων ἀντιλέγων δυνάμει τοῦτο κατασκευάζει, κἂν ἐξ εὐηθείας τοῦτο μὴ λέγῃ, ὅτι τὰ ὑπὸ Μιτυληναίων εἰς Ἀθηναίους ἀδικήματα ὠφέλιμά εἰσι τοῖς Ἀθηναίοις. ἐπεὶ τί καὶ λέγων οὐκ ἀξιώσει κολασθῆναι αὐτούς; — 5. Ἀποφαίνειν — καθιστ.] ταῦτα γὰρ πάντα παρὰ τὸ ἐναργὲς καὶ τὴν τῶν πραγμάτων φύσιν ἐστὶ, τὸ λέγειν ὡς εἶπε. — **-Τὰς μὲν Μιτ. — —] ὡς ἂν εἰ ἔλεγεν· ὁ συμβουλεύων ἡμῖν μὴ τιμωρήσασθαι Μυτιληναίους ἀδικήσαντας οὐδὲν ἄλλο βούλεται δεῖξαι, ἢ ὅτι τὰ ἀδικήματα αὐτῶν τὰ εἰς ἡμᾶς ὠφελοῦσι, καὶ χρὴ μᾶλλον ὡς εὐεργέτας αὐτοὺς ἀποδέχεσθαι καὶ σώζειν. ἔστι δὲ ὁ λόγος τῇ εἰς ἄτοπον ἀπαγωγῇ. (Αὐγ.) — 6. Ἀδικίας ἡμῖν] ἃς ἠδίκησαν ἡμᾶς. (λ. Αὐγ.) — 7. ** Καὶ δῆλον ὅτι — —] τουτέστιν, καὶ δῆλον ὅτι τῷ λέγειν πιστεύσας ἀγωνίσαιτο ἂν τὸ δοκοῦν, τουτέστι τὸ λίαν δόξαν πᾶσιν, ὡς οὐκ ἔγνωσαι Μιτυληναίοις, ἐναντίως ἀποφῆναι καὶ τὸ κοινῇ δόξαν .... (Αὐγ.)

Ὁ γάρ. Haec usque ad ἀναλαμβάνει cum Bekk. in parenthesim redegimus plenis distinctionibus post μᾶλλον ἐπεξέρχ. et ἀναλαμβ. sublatis. Scripturam temere sollicitat Bened.

Ἀμύνασθαι Cass. Aug. Cl. C. F. Pal. It. Vat. G. cod. Bas. Gr. D. Haack. Bekk. Cf. Plut. De sera num. vind. p. 548. D. Vulgo ἀμύνεσθαι, sicut in Schol. vulg. (non Schol. Pal.)

Ἔγγυτάτω. Male in plerisque libris cum ῑ subscr. exaratur, quod inepte probat Bened. hic plane caecutiens.

Ἀποφαίνειν. Reg. (G.) ἀποφαίνει.

Οὐ τοῖς. Οὐ cum H. Reg. (G.) marg. Steph. Vall. Reisk. Bened.

Digitized by Google

δῆλον ὅτι ἢ τῷ λέγειν πιστεύσας τὸ πάνυ δοκοῦν ἀνταποφῆναι ὡς οὐκ ἔγνωσται ἀγωνίσαιτ' ἂν, ἢ κέρδει ἐπαιρόμενος, τὸ εὐπρεπὲς τοῦ λόγου ἐπωνήσας, παφάγειν πειράσεται. 3. ἡ δὲ πόλις ἐκ τῶν τοιῶνδε ἀγώνων τὰ μὲν ἆθλα ἑτέροις δίδωσιν, αὐτὴ δὲ τοὺς κινδύνους ἀναφέρει.

4. Ἄτιοι δ' ὑμεῖς, κακῶς ἀγωνοθετοῦντες, οἵτινες εἰώθατε θεαταὶ μὲν τῶν λόγων γίγνεσθαι, ἀκροαταὶ δὲ τῶν ἔργων, τὰ μὲν μέλλοντα ἔργα ἀπὸ τῶν εὖ εἰπόντων σκοποῦντες ὡς δυνατὰ γίγνεσθαι, τὰ δὲ πεπραγμένα

1. *Τῷ λέγειν πιστεύσας*] τῷ πιθανολογεῖν θαῤῥήσας, θαῤῥήσας τῇ δυνάμει τοῦ ἐαυτοῦ λόγου. — *Τὸ πάνυ δοκοῦν ἀνταποφῆναι*] ἀποφῆναι ἔστι τὸ ἀρίδηλον καὶ φανερώτατον· τὸ δὲ οὐκ ἔγνωσται, ἔστι τὸ ἀφανές. — *Τῷ λέγ. πιστ.* — *ἢ κέρδει*] ἢ τὴν τοῦ λόγου δύναμιν ἐνδείξασθαι βουλόμενος, ἢ κέρδους χάριν, φησὶ, λαλήσει. — 3. *Τὸ εὐπρεπὲς τοῦ λόγου*] τὸν πιθανὸν λόγον. (λ. *Λύγ.*) — *Παφάγειν*] ἀπατᾷν. — 5. *Τὰ μὲν ἆθλα*] τὰ κέρδη. [*τὰ ἀπὸ τοῦ εἰπεῖν.* (*Βασ.*)] (λ. *Λύγ.*) — *Ἑτέροις*] [*τοῖς δημηγοροῦσι* (*Βασ.*)], *τοῖς ῥήτορσιν.* — *Ἀναφέρει*] ἀναλαμβάνει, ἀναδέχεται. — 7. *Κακῶς ἀγωνοθετοῦντες*] ἀνοήτως τοὺς ἀγῶνας διατιθέμενοι. (λ. *Λύγ.*) §. ** *κακῶς ἑτέροις ἆθλα διδόντες· ἢ τὸ ἀγωνοθετοῦντες ἀντὶ τοῦ κακῶς κρίναντες.* (*Λύγ.*) — 8. ** *Θεαταὶ μὲν — —*] *ὡς ἂν εἰ ἔλεγεν· μετεσκευάσται τῶν ὄντων ἐφ' ὑμῖν ἡ φύσις. οὕτως γὰρ ἀκούετε τῶν λόγων καὶ πιστεύετε τοῖς ῥήτορσιν, ὡς ὀφθαλμοῖς τὴν πίστιν λαμβάνοντες· οὕτως δὲ ἀπιστεῖτε τοῖς ἔργοις τοῖς ὀφθεῖσιν, ὥσπερ ἀκροασάμενοι.* (*Λύγ.*) — 9. *Εὖ*] *πιθανῶς.* (λ. *Λύγ.*) — 10. *Τὰ δὲ πεπραγμένα ἤδη*] *οὐ σκοποῦντες.* [*ἀνακόδοτον.* (*Βασ.*)] (λ. *Λύγ.*)

inseruimus. Nullius pretii est Kistemakeri coniectura ξυμφόρως. Cf. adnot.

2. *Τῷ λέγειν.* Cass. *τὸ λέγειν.*

Πιστεύσας. C. pergit. *ἀγωνίσαιτ' ἂν ἀνταποφῆναι τὸ πάνυ δοκοῦν ὡς οὐκ ἔγν.*, quem ordinem ab interpret. excogitatum etiam F. literis indicat. Virgulas autem post *πιστ.* et *δοκ.* cum Bekk. abiecimus. Pro *ἀνταποφ.* Dan. *ἀνταφ.* In Ar. Chr. Dan. *οὐκ* ante *ἔγν.* de.

3. *Αὐτὴ.* Cass. Aug. *αὕτη.*

4. *Θεαταὶ μὲν — ἔργων.* Scholiasta Platonis p. 409. Bekk. a Goell. ad h. l. citatus: *Καὶ γὰρ ὁ Θουκυδίδης ἐπιπλήττων τοὺς Ἀθηναίους λέγει ὅτι „ὑμεῖς θεαταὶ μέν ἐστε τῶν λόγων, ἀκροαταὶ δὲ τῶν ἔργων.“*

Ἀπὸ τῶν εὖ εἰπόντων σκοποῦντες. Cass. Aug. *σκοποῦντες ἀπὸ τῶν εὖ εἰπ.* Post *σκοπ.* autem cum Bekk. comma delevimus.

Τὰ δὲ πεπραγμένα. Mosqu. *τῶν δὲ πεπραγμένων*, quae correctio alicuius grammatici est. Thucydides enim totum et partes eodem casu designavit (sicut II, 95. factum esse I, 1. p. 228. vidimus,) quo factum, ut *τὰ πεπραγμένα* absolute dictum vi-

Digitized by Google

ἤδη, οὐ τὸ θρασὺν πιστότερον ὄψει λαβόντες ἢ τὸ ἀκουσθὲν ἀπὸ τῶν λόγῳ καλῶς ἐπιτιμησάντων· 5. καὶ μετὰ καινότητος μὲν λόγου ἁπατᾶσθαι ἄριστοι, μετὰ δεδοκιμασμένου δὲ μὴ ξυνέπεσθαι ἐθέλειν, δοῦλοι ὄντες τῶν ἀεὶ ἀτόπων, ὑπερόπται δὲ τῶν εἰωθότων· 6. καὶ μάλιστα μὲν αὐτὸς εἰπεῖν ἕκαστος βουλόμενος δύνασθαι, εἰ

2. ** Ἀπὸ τῶν — ἐπιτιμησάντων] ὡς ἂν εἰ ἔλεγεν, ἀπὸ τῶν πιθανῶς ἐπιτιμησάντων· ὥστε τὸ τραχὺ τῆς ἐπιτιμήσεως κλέψαι τῇ τέχνῃ τοῦ λόγου, διὰ τοῦ κολακεύειν καὶ λέγειν ὅτι οὐ πρέπει Ἀθηναίους ὄντας ὑμᾶς κατασκάπτειν τὰς πόλεις. δοκεῖ γὰρ ἡ ἐπιτίμησις ἐπαίνῳ κεκραμένη λανθάνειν, καὶ μᾶλλον ἐγκώμιον ἢ μέμψις ἐστὶ τὸ λέγειν, καὶ δελεάζει λόγῳ τοὺς ἀκούοντας. ὥστε τὸ καλῶς ἐνταῦθα ἐπιτιμησάντων οὐ τὸ δικαίως † αὐτὸ σημαίνει †, ἀλλὰ τὸ εὐφυῶς καὶ πιθανῶς μετὰ τέχνης. (Αὐγ.) — Μετὰ καινότητος μὲν λόγου] ποικιλίας καὶ εὑρεπείας. ταῦτα πρὸς τοὺς Ἀθηναίους αἰνίττεται, οὐδέν τι μελετῶντας πλὴν λέγειν τε καὶ ἀκούειν καινόν. τῆς αὐτῆς δὲ διανοίας ἐστὶ καὶ ἡ τοῦ Ἀρχιδάμου δημηγορία, ἐν οἷς φησὶ „καὶ μὴ τὰ ἀχρεῖα ξυνετοὶ ἄγαν ὄντες“ καὶ τὰ ἑξῆς. — 3. Ἀπατᾶσθαι ἄριστοι] ἀντὶ τοῦ ἐπιτήδειοι καὶ ἕτοιμοι. — Δεδοκιμασμένου] ἀληθοῦς· ὁ γὰρ ψευδὴς ἀδόκιμος. — 4. Δοῦλοι ὄντες — —] δοῦλοι ὄντες ἀεὶ τῶν ἀτόπων [λόγων (Βάσ.)] καὶ παραδόξων, ὑπερόπται δὲ τῶν πρεπόντων καὶ εἰωθότων, τουτέστι καταφρονοῦντες τῶν συνήθων. Ἄλλως. τοῖς πράγμασι, φησὶ, καὶ τοῖς λόγοις τοῖς παραδόξοις καὶ μὴ εἰθισμένοις ἀεὶ χαίροντες καὶ πιστεύοντες, καταφρονοῦντες δὲ δεδοκιμασμένων καὶ εἰωθότων. — 5. Τῶν εἰωθότων] τῶν πρεπόντων. — Καὶ μάλιστα μὲν — —] μάλιστα μὲν βούλεταί τι εἰπεῖν, εἰ δὲ μή, πάντως ἀντειπεῖν τῷ λέγοντι, ὅπως μὴ βραδύτερον ἐκείνου δόξῃ νενοηκέναι τὸ συμφέρον. τὸ ἑξῆς, μὴ δοκεῖν ὕστεροι ἀκολουθῆσαι τῇ γνώμῃ. Βιβλ.ά. Κεφ. κδ'.

deatur pro *quod attinet ad facta*. Cf. Matth. Gr. §. 426. 2.

Δρασθέν Cass. Aug. Cl. C. F. Pal. It. Vat. Reg. Cam. Gr. marg. Steph. Abresch. Haack. Bekk. Vulgo *θεαθέν*, quod E. servat, sed s. v. γρ. *δρασθέν*. „*Θεαθέν*, quod sequenti *ἀκουσθέν* magis congruere videtur, a correctore ortum est, qui et illam concinnitatem quaerebat, et τὸ *δρασθέν* propter verba praecedentia τὰ *πεπραγμένα* concoquere non poterat.“ HAACK. De sententia verborum adi not. hic et de forma aoristi *δρασθῆναι* ad III, 54.

Λόγῳ Cass. Aug. Cl. C. F. Pal. Vat. H. Reg. (G.) Gr. I. Mosqu. Ar. (nisi quod in Parr. Gailii typothetae ι subscr. omiserunt) pro vulg. *λόγων*, quod iam Abresch. corrigi iussit, cui multi assenserunt, secuti demum sunt Haack. et Bekk., qui iidem virgulam post *ἀκουσθέν* deleverunt.

Καλῶς. C. *καλοῖς*.

5. *Δεδοκιμασμένου*. H. *δεδοκισμένου*.

Δοῦλοι — ἀτόπων. „Thom. Mag.“ [in *ἄτοπον*] WASS. Pal. rursus *αἰεί* pro *ἀεί*. Cf. 37, 4. Ar. in marg. *τῷ ἀεὶ ἀτόπῳ*. Mox G. *εἰωθότων*.

6. *Μάλιστα μέν*. *Μέν* om. Reg.

Digitized by Google

δὲ μὴ, ἀνταγωνιζόμενοι τοῖς τοιαῦτα λέγουσι, μὴ ὕστεροι ἀκολουθῆσαι δοκεῖν τῇ γνώμῃ, ὀξέως δέ τι λέγοντος προεπαινέσαι· καὶ προαισθέσθαι τε πρόθυμοι [εἶναι] τὰ λεγόμενα, καὶ προνοῆσαι βραδεῖς τὰ ἐξ αὐτῶν ἀποβησόμενα· 7. ζητοῦντές τε ἄλλο τι, ὡς εἰπεῖν, ἢ ἐν 5
οἷς ζῶμεν, φρονοῦντες δὲ οὐδὲ περὶ τῶν παρόντων ἱκανῶς· ἁπλῶς τε, ἀκοῆς ἡδονῇ ἡσσώμενοι, καὶ σοφιστῶν 190.
θεαταῖς ἐοικότες καθημένοις μᾶλλον, ἢ περὶ πόλεως βουλευομένοις.

2. *Τῇ γνώμῃ*] κατὰ τὴν γνώμην. (λ. *Λύγ.*) — 5. *Ζητοῦντές τε ἄλλο τι — —*] καινότερα, φησὶ, ζητοῦντες παρὰ τὰ εἰωθότα καὶ ἐν οἷς πολιτευόμεθα. — 7. *Ἀκοῆς ἡδονῇ*] ἀκοῆς χάριτι, γλυκύτητι, κολακείᾳ. (*Κασσ.*) Καὶ ἄλλως. ῥητορικῶν λόγων καινότερα καὶ παράδοξα ὑμῖν εἰσηγουμένων. σοφιστὰς δὲ λέγει οὐ τοὺς σοφιζομένους τὴν ἀλήθειαν, ἀλλὰ τοὺς ἐν τῇ συνηθείᾳ λεγομένους, τοὺς διδασκάλους τῶν ῥητορικῶν προβλημάτων· θεατὰς δὲ αὐτοὺς τοὺς μαθητὰς καὶ ἀκροατάς. ὥσπερ γὰρ ἀκροαταὶ, φησὶ, τῶν σοφιστικῶν λόγων ἡδονῆς γίγνονται κριταὶ, οὐ πραγμάτων, τὸν αὐτὸν τρόπον καὶ ὑμεῖς τοὺς λόγους σκοπεῖτε, οὐ τὰ πράγματα.

Ar. Chr., quanquam sexcenties ita *μάλιστα μὲν — εἰ δὲ μή* legitur.

Ἀνταγωνιζόμενοι. F. *ἀνταγωνιζόμενος* ob praeced. *βουλόμενος* temere. Ex ambabus scripturis in C. ortum *ἀνταγωνιζομένους.*

Τοιαῦτα sine artic. Cass. Aug. Cl. Pal. It. Vat. Reg. cod. Bas. Gr. Mosqu. et unus Par. (quem A. male appellant Gailii typothetae) Bekk. Vulgo *τὰ τοιαῦτα.* Articulum uncis inclusit Haack. Vid. de eius usu (de quo negligenter et male adeo exposuit Matth. Gr. §. 264. 7.) adnot. ad II, 41. Cf. Ind.

Ὀξέως δέ τι λέγ. προεπ. „Haec cum superioribus iungunt codd. Steph., cum sequentibus vero cod. Ald., quam scripturam ipse quoque probo [ut colon ponatur post *γνώμῃ*]“. HUDS. ex Fr. Port. „Sic etiam Cass. Gr. Vasc. et Bas. Sequor sententiam Porti.“ DUK. At vid. adnot. Pro *προεπαινέσαι* Reisk. coniicit *προεπαῖσαι.* Vid. ibid.

Πρόθυμοι εἶναι. Si *εἶναι* germanum est, infinitivus aut, sicut *ἀκολουθ.* et *προεπαιν.*, ex *δοκεῖν* pendet et post *προεπαινέσαι* cum Bekk. comma ponendum, aut, sicut *δοκεῖν*, ex *βουλόμενος* vel *ἀνταγωνιζόμενοι.* Verum ita *βραδεῖς (εἶναι)* eodem referendum esset, quo parum idonea oritur sententia. Aptiorem orationem fieri, si *εἶναι*, pro quo *ἔστε* coniecit Reisk., plane desit, nemo negaverit. Gf. adnot. Mox cod. Bas. ex emend. *προνοῆσαι δέ.*

7. *Ζητοῦντές τε.* Marg. Steph. *ζητ. δέ*, ex cap. Schol., ut videtur. Gr. *ζητοῦντες τι* videtur praebere. Idem mox om. *ὡς.* Post *ἱκανῶς* autem ante Haack. vulgo male punctum collocabatur.

Digitized by Google

(Τὴν Μυτιληναίων ἀδικίαν μεγαλύνει, οὓς τιμωμένους ὑπὸ Ἀθηναίων θρασύτητι καὶ ὕβρει πάντας, καὶ οὐ τοὺς ὀλίγους μόνον, ἐπαναστῆναι καὶ δεινῶς κολαστέους εἶναι διϊσχυρίζεται, ὅπως μὴ Ἀθηναῖοι κινδυνεύσωσιν.)

λθ'. „Ὧν ἐγὼ πειρώμενος ἀποτρέπειν ὑμᾶς, ἀποφαίνω Μυτιληναίους μάλιστα δὴ μίαν πόλιν ἠδικηκότας ὑμᾶς. 2. ἐγὼ γὰρ, οἵτινες μὲν μὴ δυνατοὶ φέρειν τὴν ὑμετέραν ἀρχὴν, ἢ οἵτινες ὑπὸ τῶν πολεμίων ἀναγκασθέντες ἀπέστησάν, ξυγγνώμην ἔχω· νῆσον δὲ οἵτινες ἔχοντες μετὰ τειχῶν, καὶ κατὰ θάλασσαν μόνον φοβούμενοι τοὺς ἡμετέρους πολεμίους, (ἐν ᾧ καὶ αὐτοὶ τριήρων παρασκευῇ οὐκ ἄφρακτοι ἦσαν πρὸς αὐτούς,) αὐτόνομοί τε οἰκοῦντες, καὶ τιμώμενοι ἐς τὰ πρῶτα ὑπὸ ἡμῶν, τοιαῦτα εἰργάσαντο, τί ἄλλο οὗτοι ἢ ἐπεβούλευσάν τε, καὶ ἐπανέστησαν μᾶλλον ἢ ἀπέστησαν, (ἀπό-

*λθ'. 1. Ὧν ἐγὼ πειρώμενος] ὧν ἐπιτηδευμάτων, ὧν εἶπεν ἄρτι, ὅτι οὐδὲν ἄλλο ἢ ἀδολέσχαι εἰσίν. — Ἀποτρέπειν] ἀπείργειν. (λ. Λύγ.) — Ἀποφαίνω — —] λέγω, φησὶν, ὅτι ἡ μία πόλις, οἱ Μυτιληναῖοι, σφόδρα ἠδίκησαν ὑμᾶς, τοὺς Ἀθηναίους. καὶ τὴν αἰτίαν ἐπάγει εὐθύς. — 7. Τοὺς ἡμετέρους πολεμίους] ἤγουν τοὺς Λακεδαιμονίους. (λ. Λύγ.) — 11. Ἀπόστασις μέν γε —] ἀπόστασίς ἐστιν, ὅταν τινὲς κακῶς πάσχοντες ἀποστῶσιν· ἐπανάστασις δὲ, ὅταν τινὲς τιμώμενοι καὶ μηδὲν ἀδικούμενοi στασιάσωσι καὶ ἐχθρεύσωσι τοῖς μηδὲν ἀδικήσασιν. §. [** ἐπανάστασις ἡ φανερὰ ἐναντίωσις, ἀπόστασις δὲ ἡ τῶν σπονδῶν ἄνευ πολέμου διάλυσις, αἰτίαν ἔχουσα εὔλογον. (Βασ.)]*

Cap. XXXIX. Ἀποφαίνω — ὑμᾶς ob repetitum ὑμᾶς om. D., sed al. man. suppl., quae ἡμᾶς dedit eum Vind. Ar. Chr.

2. Οἵτινες. Gr. D. εἴ τινες, quod si paulo post quoque exhiberent, non malum esset; sed ibi solus D. in marg. al. man. εἰ habet.

Ὑπό. Gr. νῦν ὑπό.

Τειχῶν. Vat. H. Reg. (G.) τῶν τειχῶν.

Τριήρων It. Vat. Bekk., contra receptarum quidem grammaticarum τριηρῶν, quod hic vulgo (et apud Haack.) legitur, requirentium praecepta. At vid. adnot. ad IV, 26. et interea Goettl. ad Theodos. p. 224.

Ὑπό. C. F. ὑφ'. D. I. ἀφ'. E. Vind. Ar. Chr. Dan. ἀπό, E. cum ῡ s. v. al. man. Mosqu. ὑπέρ.

Ἡμῶν. D. I. m. ὑμῶν.

Τί ἄλλο — ἀπέστησαν om. Dan.

Οὗτοι. E. οἱ (hoc s. v. al. man.) τοιοῦτοι.

Ἐπανέστησαν — ἀνέστησαν. Scriptores huc respicientes vid. in adnot.

Digitized by Google

στασις μέν γε τῶν βιαιόν τι πασχόντων ἐστίν,) ἐξήτησάν τε μετὰ τῶν πολεμιωτάτων ἡμᾶς στάντες διαφθεῖραι; καίτοι δεινότερόν ἐστιν ἢ εἰ καθ' αὑτοὺς δύναμιν κτώμενοι ἀντεπολέμησαν. 3. παράδειγμα δὲ αὐτοῖς οὔτε αἱ τῶν πέλας ξυμφοραὶ ἐγένοντο, ὅσοι ἀποστάντες ἤδη ἡμῶν ἐχειρώθησαν, οὔτε ἡ παροῦσα εὐδαιμονία παρέσχεν ὄκνον μὴ ἐλθεῖν ἐς τὰ δεινά· γενόμενοι δὲ πρὸς τὸ μέλλον θρασεῖς, καὶ ἐλπίσαντες μακρότερα μὲν τῆς δυνάμεως, ἐλάσσω δὲ τῆς βουλήσεως, πόλεμον ἤραντο, ἰσχὺν ἀξιώσαντες τοῦ δικαίου προθεῖναι· ἐν ᾧ γὰρ ᾠήθησαν περιέσεσθαι, ἐπέθεντο ἡμῖν οὐκ ἀδικούμενοι. 4.

1. Ἐξήτησάν τε μετὰ τῶν πολεμιωτάτων ἡμᾶς στάντες διαφθεῖραι] ἤτοι συνεμάχησαν τοῖς πολεμίοις ἡμῶν. (λ. Κασσ. Ἀύγ.) — 3. Καίτοι δεινότερόν ἐστιν — —] εἰ εἵνεκα, φησὶν, ἰδίας δυνάμεως καὶ κέρδους ἀντεπολέμησαν ἡμῖν, οὐκ ἦν δεινὸν τοσοῦτον· νῦν δὲ ἄνευ ἐλπίδων τινῶν, ἐξ οἰκείας κακονοίας ὁρμώμενοι· ὅπερ δεινότερον. — 5. Ἀποστάντες ἤδη ἡμῶν] Αἰγινήτας λέγει, καὶ Ποτιδαιάτας, καὶ Ναξίους, καὶ τοὺς ἄλλους δεδουλωμένους. — 6. Ἡ παροῦσα] αὐτοῖς δηλονότι. (λ. Κασσ. Ἀύγ.) — 7. Ἐς τὰ δεινά] εἰς τὴν ἀπόστασιν. — 8. Καὶ ἐλπίσαντες — —] ἤλπισαν, φησὶν, ἀποστῆναι ἡμῶν, ὅπερ μεῖζον μέν ἐστι τῆς δυνάμεως αὐτῶν, ἔλαττον δὲ τῆς βουλήσεως αὐτῶν. ἐβούλοντο γὰρ οὐ μόνον ἀποστῆναι ἡμῶν, ἀλλὰ δὴ καὶ καθελεῖν τὴν δύναμιν τῆς πόλεως, διὰ τὸ λοιπὸν ἀδεῶς ζῆν. — 10. Ἰσχὺν ἀξιώσαντες — προθ.] προτιμῆσαι, φησὶν, ἀξιώσαντες τὴν δύναμιν τοῦ δικαίου. δίκαιον δὲ λέγει τὸ ἐμμεῖναι τῇ ἀρχῇ καὶ μὴ ἀποστῆναι. — Ἐν ᾧ γὰρ ᾠήθησαν —] ἀντὶ τοῦ, πρὸς καιρόν τινα δυνηθέντες, κατεφρόνησαν καὶ τῆς ἀρχῆς τῆς ἡμετέρας καὶ τῆς παρ' ἡμῶν τιμῆς. [** Οὐκ ἀρετῇ γὰρ κακὰ ἔργα· Ὅμηρος. (Ἀύγ.)]

Μέν γε. C. F. *μέντοι*, quod Cl. in marg. habet. Gr. om. *γέ*. Sed nihil hic his particulis aptius. Vid. ad Xen. Cyrop. II, 1. 16. et Ind. in *μέν*.

Ἐξήτησαν-διαφθεῖραι. „Thom. Mag. in *βούλομαι*." WASS.

Στάντες de. Mosqu. At vid. Duk. ad VII, 57.

Εἰ om. Dan. Deinde Reg. (G.) *ἑαυτούς* habet. Post *ἀντεπολέμησαν* autem plenam interpunctionem pro dimidia rete posuerunt Haack. et Bekk.

8. *Οὔτε.* Gr. *οὐδέ*.

Ἤδη. C. F. *δή*. Pal. *δ'*. Deinde E. *ἐχηρώτησαν*.

Μή. E. *τοῦ μή*, licet non inepte (sicut *ἡ ἀπορία τοῦ μὴ ἡσυχάζειν* II, 49.) tamen praeter necessitatem. Vid. adnot. ad I, 16. et Matth. Gr. §. 541.

Μακρότερα. Mosqu. *μακρότερον*.

Πόλεμον. Mosqu. *τὸν πόλ.*

Προθεῖναι. Reg. (G.) *προθῆναι.* Gr. *προσθεῖναι.*

Digitized by Google

εἴωθε δὲ, τῶν πόλεων αἷς ἂν μάλιστα καὶ δι' ἐλαχίστου ἀπροσδόκητος εὐπραξία ἔλθῃ, ἐς ὕβριν τρέπειν· τὰ δὲ πολλὰ, κατὰ λόγον τοῖς ἀνθρώποις εὐτυχοῦντα, ἀσφαλέστερα ἢ παρὰ δόξαν· καὶ κακοπραγίαν, ὡς εἰκεῖν, ὃ ῥᾷον ἀπωθοῦνται, ἢ εὐδαιμονίαν διασώζονται. 5. χρῆν
191. δὲ Μυτιληναίους καὶ πάλαι μηδὲν διαφέροντας τῶν ἄλλων ὑφ' ἡμῶν τετιμῆσθαι, καὶ οὐκ ἂν ἐς τόδε ἐξύβρισαν· (πέφυκε γὰρ καὶ ἄλλως ἄνθρωπος τὸ μὲν θερα-

1. *Εἴωθε δὲ* —] εἴωθε δὲ πρὸς ὕβριν τρέπειν ἡ εὐπραξία τῶν πόλεων ἐκείνας, αἷς ἂν αὐτὴ ἐξαίφνης ἐγγένηται καὶ ἀπροσδόκητος. — ** *Εἴωθε δέ*] πέφυκε γάρ. καὶ ἡ παρ' ἀξίαν τιμὴ ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται. (*Βασ.*) — 2. *Τρέπειν*] τρέπεσθαι. (*λ. Κασσ. Λύγ.*) — *Τὰ δὲ πολλά*] ὡς ἐπιτοπολύ. (*λ. Λύγ.*) — 7. *Ὑφ' ἡμῶν τετιμῆσθαι*] μηδὲν τετιμῆσθαι ὑφ' ἡμῶν· ἀπὸ κοινοῦ γὰρ τὸ μηδέν. ἢ μᾶλλον τὸ λεγόμενον οὕτως· ἔδει τοὺς *Μιτυληναίους* οὕτω τετιμῆσθαι ὑφ' ἡμῶν, ὡς οὐδὲν διαφέροντας τῶν ἄλλων. τοντέστιν ἔδει αὐτοὺς δούλους εἶναι. — 8. *Τὸ μὲν θεραπεῦον*] τὸ κολακεῦον. (*λ. Λύγ.*)

4. *Εἴωθε δέ.* Ad proxima complures veterum respicere docebit adnot. Post *δέ* autem ad perspicuitatem adiuvandam virgulam collocavimus.

Μάλιστα καί. *Καί* om. Gr. (a pr. man., nam deinde adscr.) E. Ar. Chr. Dan., sed agnoscit Clem. Alex. VI. Strom. 2.

Ἐλαχίστου. D. *ἐλάχιστον.*

Εὐπραξία. Clem. Alex. *εὐπραγία.* Vid. adnot.

Ἔλθῃ. E. *ἔλθοι.*

Τρέπειν. In *τρέπεσθαι* mutavit Clem. Alex. At vid. I. 1. p. 182.

Παρά. Vind. *περί.* Praecedens *ἤ* apud Clem. male excidit.

Καὶ κακοπρ. — *διασώζονται*] „Thom. Mag. [et Phav.] in *διασώζομαι* et [prius incisum etiam in] *εὖ λέγει.*" WASS. Pal. *διασῴζονται.* Cf. de Art. crit. p. 150. Mosqu. *ἀποθοῦνται.*

5. *Χρῆν* D. I. Ar. *ἐχρῆν*, sicut iam I, 39. nonnullos librarios in *χρῆν* haesisse vidimus, nec quidquam in hac re valet Dio Cass. haec XXXVIII, 39. per *Μὴ οὖν ἀπὸ πρώτης ἐχρῆν μηδὲν διαφερόντως ἡμᾶς τῶν ἄλλων ηὐξῆσθαι* imitatus. Aug. F. It. Vat. Gr. Vind. Bar. Ald. Flor. Bas. male *χρή*, quod etiam in Cass. fuisse videtur, in quo extremus versus a lineis exesus est.

Διαφέροντας. Pal. (teste Bekk., nam noster collator tacet,) m. Ar. (in quo *διαφέροντας* ex correct.) Chr. Dan. Bar. marg. Steph. Dio Cass. *διαφερόντως.* Vulgatum contra Kistem. aliosque recte tuetur Goell. ad Dion. Hal. p. 211.

Ἡμῶν. Bar. marg. Steph. *ὑμῶν.*

Πέφυκε — θαυμάζειν. Haec, quae Dion. Hal. imitatum esse adnotatio docebit, cum ed. Vind. punctis post *ἐξύβρ.* et *θαυμ.* in cola mutatis in parenthesim redegimus. Mox autem ante *καὶ μή*, unde nova disputationis pars incipit, pro virgula punctum collocavimus.

Digitized by Google

πεῦον ὑπερφρονεῖν, τὸ δὲ μὴ ὑπεῖκον θαυμάζειν·) κολασθήτωσαν δὲ καὶ νῦν ἀξίως τῆς ἀδικίας. 6. καὶ μὴ τοῖς μὲν ὀλίγοις ἡ αἰτία προστεθῇ, τὸν δὲ δῆμον ἀπολύσητε. πάντες γὰρ ἡμῖν γε ὁμοίως ἐπέθεντο· οἷς γ' ἐξῆν, ὡς ἡμᾶς τραπομένοις, νῦν πάλιν ἐν τῇ πόλει εἶναι· ἀλλὰ τὸν μετὰ τῶν ὀλίγων κίνδυνον ἡγησάμενοι βεβαιότερον, ξυναπέστησαν. 7. τῶν τε ξυμμάχων σκέψασθε εἰ τοῖς τε ἀναγκασθεῖσιν ὑπὸ τῶν πολεμίων καὶ τοῖς ἑκοῦσιν ἀποστᾶσι τὰς αὐτὰς ζημίας † προσθήσετε †, τίνα οἴεσθε ὄντινα οὐ βραχείᾳ προφάσει ἀποστήσεσθαι, ὅτ' ἂν ἢ κατορθώσαντι ἐλευθέρωσις ᾖ, ἢ σφαλέντι μηδὲν παθεῖν ἀνήκεστον; 8. ἡμῖν δὲ πρὸς ἑκάστην πόλιν ἀποκεκινδυνεύσεται τά τε χρήματα καὶ αἱ ψυχαί. καὶ τυχόν-

1. ** Ὑπερφρονεῖν] ἀγνωμονεῖν. (*Αὐγ.*) — 4. *Οἷς γ' ἐξῆν*] τοῖς δημόταις καὶ πολλοῖς. — 7. *Τῶν τε ξυμμάχων σκέψασθε — —*] σκέψασθε δὲ, εἰ τοῖς ἀποστᾶσι τῶν ξυμμάχων ἑκουσίως καὶ τοῖς ἀναγκασθεῖσι τὰς ὁμοίας τιμωρίας προσθήσετε, καὶ μὴ μείζονας τοῖς ἑκουσίως ἀποστᾶσι, τίνα λοιπὸν οὐ νομίζετε εὐχερῶς τῶν συμμάχων ἀφίστασθαι, ὅταν μέλλωσιν ἢ κατορθώσαντες τελείως τὴν ἀπόστασιν ἐλεύθεροι εἶναι, ἢ ἀποτυχόντες τῆς βουλήσεως συγγνώμης ἀξιωθήσεσθαι. — 8. *Τοῖς τε ἀναγκασθεῖσι*] τοῖς ἀκουσίως ἀποστᾶσιν. (*λ. Αὐγ*) — 11. *Κατορθώσαντι*] τὴν ἀπόστασιν δηλονότι. (*λ. Κασσ.*) — 12. *Πόλιν*] συμμαχίδα. — ** *Ἀποκεκινδυνεύσεται*] εἰς κίνδυνον ἔρχεται καὶ ζημίαν. (*Κασσ. Αὐγ.*)

6. *Ἡμῖν.* Cass. C. F. Pal. It. Gr. B. Ar. Chr. Dan. Bar. Ald. Flor. Bas. Steph. 1. *ὑμῖν*, quod nec per se nec propter sequ. *ἡμᾶς*, pro quo sola Steph. 1. *ὑμᾶς*, placet. *Ἡμ.* tuetur Vall. Proximum *γέ* hic displicet.

Τραπομένοις Cass. Aug. (quanquam in hoc *τρεπ.* fuit,) D. Ar. Chr. marg. Steph., quod aoristi participium convenientius esse quam vulg. (Haack. Bekk.) *τρεπομένοις* Reiskius intellexit. (*si ad nos se convertissent.*) Dan. *τραπομένους*, ne id quidem vitiose. Praeterea tam ante *οἷς* pro commate quam post *εἶναι* pro puncto colon posuimus, quo melius haec omnia ad *δῆμον* referantur.

Τὸν μετά. Τόν om. Ar.

7. *Τοῖς τε.* C. *τοῖς γε.*

Τπὸ τῶν Cass. Cl. Gr. D. Mosqu. Ar. Chr. Dan. Kistem. Haack. Bekk. In Aug. erasum est aliquid. Vulgo male *ὑπό τε τῶν.*

Τὰς αὐτάς. C. F. B. Bar. *τοσαύτας.* Ald. pro eodem typothetarum errore *τοταύτας.* Mox pro *προσθήσετε* potius *προθήσετε* legendum. Cf. adnot. ad 44, 3.

Ἀνήκεστον. „Post hanc vocem nota interrogationis est in Vasc. et Bas., quam et oratio postulat, et interpretes expresserunt.“ DUK. Ita igitur Gottl. pro colo interpunxit.

8. *Ἡμῖν.* D. m. *ὑμῖν.*

Digitized by Google

τες μὲν, πόλιν ἐφθαρμένην παραλαβόντες, τῆς ἔπειτα προσόδου, δι' ἣν ἰσχύομεν, τὸ λοιπὸν στερήσεσθε· σφαλέντες δὲ, πολεμίους πρὸς τοῖς ὑπάρχουσιν ἕξομεν, καὶ ὃν χρόνον τοῖς νῦν καθεστηκόσι δεῖ ἐχθροῖς ἀνθίστασθαι, τοῖς οἰκείοις ξυμμάχοις πολεμήσομεν."

(*Μήτε οἶκτῳ μήτε ἡδονῇ λόγων μήτε ἐπιεικείᾳ δεῖν ἐνδοῦναι. ἔπειτα διὰ κεφαλαίων ἀπόδειξις, ὅτι δίκαιά τε καὶ ξύμφορα Κλέων παραινεῖ.*)

μ'. „Οὔκουν δεῖ * προσθεῖναι * ἐλπίδα οὔτε λόγῳ πιστὴν οὔτε χρήμασιν ὠνητὴν, ὡς ξυγγνώμην ἁμαρτεῖν ἀνθρωπίνως λήψονται. ἄκοντες μὲν γὰρ οὐκ ἔβλαψαν, εἰδότες δὲ ἐπεβούλευσαν· ξύγγνωμον δ' ἐστὶ τὸ ἀκούσιον. 2. ἐγὼ μὲν οὖν καὶ τότε πρῶτον καὶ νῦν διαμά-

1. *Τῆς ἔπειτα προσόδου*] τοῦ μετὰ ταῦτα κέρδους. (λ. *Κασσ. Ἀὺγ.*) — 3. *Πρὸς τοῖς ὑπάρχουσι*] ἡμῖν πολεμίοις δηλονότι. (λ. *Ἀὺγ.*) — 4. *Τοῖς νῦν καθεστηκόσι*] τοῖς Πελοποννησίοις.

μ'. 6. *Οὔκουν δεῖ προσθεῖναι ἐλπίδα*] δοῦναι ἐλπίδα τοῖς συμμάχοις. (λ. *Ἀὺγ.*) ὁ νοῦς οὗτος· οὐκ ἔστιν ἐλπὶς ὡς συγγνώμην λήψονται, πταίσαντες ἀνθρωπίνως. οὐ γὰρ ἀκούσιον τὸ ἁμάρτημα αὐτῶν, ἡ δὲ συγγνώμη τῶν ἀκουσίων. — 7. *Ὠνητήν*] ἔστι γάρ τις καὶ χρήμασιν ὠνητὴ τοῖς ἁμαρτάνουσι συγγνώμη. *Ὅμηρος· Καὶ μέν τίς τε κασιγνήτοιο φίλοιο Ποινὴν, ἢ οὗ παιδὸς ἐδέξατο τεθνηῶτος· Καί ῥ' ὁ μὲν ἐν δήμῳ μένει αὐτοῦ, πόλλ' ἀποτίσας.* — 9. *Ξύγγνωμον*] συγγνώμης ἄξιον. (λ. *Ἀὺγ.*) — 10. *Καὶ τότε πρῶτον*] διεμαχεσάμην δηλονότι. (λ. *Ἀὺγ.*)

Ἐφθαρμένην. Mosqu. *διεφθ.*, quod illi passim substituunt librarii, ut II, 91.

Πολεμίους. H. *πολεμίως*, sed *ους* s. v. ead. man. Gr. *πολεμίους* post *ὑπάρχ.* collocat. Mox post *ἕξομεν* pro vulg. puncto Haack. et Bekk. colon, nos comma exhibuimus.

Cap. XL. *Προσθεῖναι*. Cass. Pal. Bekk. *προσθεῖναι*, Valla *proponere*, fortasse recte. Nostrum valet *adiungere, addere*. Mosqu. *προσθῆναι*.

Ἀνθρωπίνως Cass. Aug. Cl. Pal. It. Vat. H. Reg. (G.) D. Vind. m. Ar. Chr. Dan. Schol. Bekk., quibus repugnare noluimus, quanquam vulg. (et Haack.) *ἀνθρωπείως* magis et fortasse solum Thucydideum esse in adnott. ad I, 22. videbimus.

Ξύγγνωμον – ἀκούσιον. „Thom. Mag. [et Phav.] in *εὔγνωμον*." WASS. Pal. *ξυγγνῶμον*. Sed Thom. *Εὔγνωμον μὴ λέγε, ὡς εὔδαιμον, ἀλλ' εὐγνῶμον, ἄγνωμον δὲ καὶ σύγγνωμον*. D. *συγγνωστόν*, ex interpr.

2. *Πρῶτον*. D. *πρέπον*.

Digitized by Google

χομαι μὴ μεταγνῶναι ὑμᾶς τὰ προδεδογμένα, μηδὲ τρισὶ τοῖς ἀξυμφορωτάτοις τῇ ἀρχῇ, οἴκτῳ, καὶ ἡδονῇ λόγων, καὶ ἐπιεικείᾳ, ἁμαρτάνειν. 3. Ἔλεός τε γὰρ πρὸς τοὺς ὁμοίους δίκαιος ἀντιδίδοσθαι, καὶ μὴ πρὸς τοὺς οὔτ' 19
ἀντοικτιοῦντας, ἐξ ἀνάγκης τε καθεστῶτας ἀεὶ πολεμίους· 5
οἵ τε τέρποντες λόγῳ ῥήτορες ἔξουσι καὶ ἐν ἄλλοις ἐλάσσοσιν ἀγῶνα, καὶ μὴ ἐν ᾧ ἡ μὲν πόλις, βραχέα ἡσθεῖσα, μεγάλα ζημιώσεται, αὐτοὶ δὲ ἐκ τοῦ εὖ εἰπεῖν τὸ παθεῖν εὖ ἀντιλήψονται· καὶ ἡ ἐπιείκεια πρὸς τοὺς μέλλοντας ἐπιτηδείους καὶ τὸ λοιπὸν ἔσεσθαι μᾶλλον δίδοται ἢ πρὸς 10
τοὺς † ὁμοίους † τε καὶ οὐδὲν ἧσσον πολεμίους ὑπολειπομένους. 4. Ἐν δὲ ξυνελὼν λέγω, πειθόμενοι μὲν ἐμοὶ, τά τε δίκαια ἐς Μυτιληναίους καὶ τὰ ξύμφορα

1. *Μὴ μεταγνῶναι*] μὴ μεταμελείᾳ θεῖναι. (λ. Κασσ. Ἀὐγ.) — *Τὰ προδεδογμένα*] τὰ προκεκυρωμένα. (λ. Κασσ. Ἀὐγ.) — 3. *Ἐπιεικείᾳ*] συγγνώμῃ. (λ. Ἀὐγ.) — 7. *Βραχέα*] οὐδ' ὅλως. (λ. Ἀὐγ.) — 8. *Τὸ εὖ παθεῖν*] τὸ χρηματίσασθαι ὑπὸ τῶν Μιτυληναίων, [τὸ εὐεργετηθῆναι. (λ. Ἀὐγ.)] — 11. *Τοὺς ὁμοίους*] τοὺς ἐν τῇ αὐτῇ διαθέσει ὄντας, [οἷοι περ ἦσαν πρότερον, ἢ καλούς. (Βασ.)] (λ. Ἀὐγ.) — 13. *Τὰ ξύμφορα*] ἡμῖν δηλονότι.

Τμᾶς. Gr. ἡμᾶς.

Τὰ προδεδογμένα. Mosqu. πρὸς τὰ δεδογμένα.

Τρισὶ τοῖς ἀξυμφορωτάτοις. Gr. τοῖς τρισὶ ἀξυμφοροτ. At I, 122. τριῶν τῶν μεγίστων ξυμφορῶν.

Καὶ ἡδονῇ. *Καὶ* de. H. Reg. (G.)

3. *Οὔτ'.* Gr. μή.

Καθεστῶτας ἀεί. C. F. ἀεὶ καθεστ. Pal. hic quoque suum *αἰεί* habet. Cf. I. 1. p. 211. Post πολεμ. autem et post ἀντιλήψ. pro plenis interpunctionibus dimidias recte admiserunt Haack. et Bekk.

Ἐλάσσοσιν. Mosqu. ἐλάσσουσιν.

Ζημιώσεται. Reg. (G.) D. Mosqu. Ar. Chr. Dan. ζημιωθήσεται, ex interpr. Cf. I. 1. p. 192.

Εἰπεῖν. D. Chr. ποιεῖν, in alterius tamen marg. εἰπεῖν.

Παθεῖν εὖ. Apud Steph. et in cap. Schol. εὖ παθεῖν. Nostrum ex Cass. Cl. Reg. cod. Bas. Gr. Ar. Chr. Dan., quibus plerique omnes suffragari videntur, primus recepit Duk.

Ἡ ἐπιείκεια. *Ἡ* om. E. Mox comma post ἔσεσθαι cum Bekk. delevimus.

Ὁμοίους. *Ὁμοίως* recte coniicit Thiersch. Actt. Monacc. III. 3. p. 458. Cf. not.

Οὐδέν. F. οὐδέ. Deinde D. ὑπολοιπομ.

4. *Ἐν δέ.* C. F. cod. Bas. Gr. E. ἔν τε, non inepte.

Μυτιληναίους. Reg. (G.) praefigit τούς.

Digitized by Google

ἅμα ποιήσετε· ἄλλως δὲ γνόντες, τοῖς μὲν οὐ χαριεῖσθε, ὑμᾶς δὲ αὐτοὺς μᾶλλον δικαιώσεσθε. εἰ γὰρ οὗτοι ὀρθῶς ἀπέστησαν, ὑμεῖς ἂν οὐ χρεὼν ἄρχοιτε· εἰ δὲ δή, καὶ οὐ προσῆκον, ὅμως ἀξιοῦτε τοῦτο δρᾶν, παρὰ τὸ εἰπός τοι καὶ τούσδε ξυμφόρως δεῖ κολάζεσθαι, ἢ παύεσθαι τῆς ἀρχῆς, καὶ ἐκ τοῦ ἀκινδύνου ἀνδραγαθίζεσθαι. 5. τῇ τε αὐτῇ ζημίᾳ ἀξιώσατε ἀμύνασθαι, καὶ μὴ ἀναλ-

1. *Τοῖς μέν*] τοῖς Μιτυληναίοις, ἀχαρίστοις οὖσι, χαριζόμενοι. καὶ ἡ παροιμία τοῦ Ὁμήρου· Οὐδὲ τίς ἐστι χάρις μετόπισθ' εὐεργέων. * * [Οὐχ ἕξουσιν ἡμῖν χάριν, ἐάνπερ μηδὲν ὑφ' ἡμῶν ἀνήκεστον πάθωσιν. τότε γὰρ ἔχει χάριν ὁ παθεῖν μέλλων τῷ διασώσαντι, ὅτε, κατ' ἐξουσίαν αὐτῷ προκειμένων τῆς ζωῆς καὶ θανάτου, τὸ ζῆν αὐτὸς ἕληται καὶ συγχωρήσῃ αὐτῷ. (Βασ.)] — 2. *Δικαιώσεσθε*] δικαίως καθ' ὑμῶν ἀποδείξετε, ὅτι τυραννικῶς ἄρχετε. — *Εἰ γὰρ οὗτοι ὀρθῶς* — —] ὁ νοῦς οὗτος· εἰ μὲν ἀδίκως ἀπέστησαν οἱ Μιτυληναῖοι, κολασθήτωσαν· εἰ δὲ δικαίως, δῆλον ὅτι ὑμεῖς ἀδίκως ἄρχετε. ᾧ ἕπεται, ὅτι τυραννεῖτε. καὶ κατὰ τοῦτο οὖν πάλιν κολασθήσονται, ὅτι τυράννους ὑμᾶς ἐλογίσαντο, ὁ δὲ τύραννος ἀποτόμως αὐτὰ ἅπερ ποιεῖ εἴωθε ποιεῖν. κατ' ἄμφω οὖν ὀφείλουσι κολασθῆναι, εἴτε ἐννόμως ἄρχομεν εἴτε τυραννοῦμεν. — 3. *Εἰ δὲ δὴ καὶ οὐ προσῆκον* — —] εἰ δὲ δή, καὶ οὐ προσῆκον ὑμῖν ἄρχειν, ὅμως ἄρχετε, οὐκοῦν καὶ παρὰ τὸ προσῆκον οὗτοι κολαζέσθωσαν, καὶ γενέσθω παράνομος ἐκ παρανόμου τυραννίδος παρανομία, τοῦ συμφέροντος ἕνεκα τῇ ἀρχῇ. ἐὰν δὲ μὴ θέλητε κολάζειν [αὐτούς], χρὴ παύεσθαι ὑμᾶς τῆς ἀρχῆς καὶ ἀσκεῖν ἀνδραγαθίαν ἀκίνδυνον. — 4. *Τοῦτο*] τὸ ἄρχειν βιαίως. — 5. *Ἢ παύεσθαι τῆς ἀρχῆς*] ἀπὸ κοινοῦ τὸ δεῖ. — 7. *Τῇ τε αὐτῇ ζημίᾳ* — —] τῇ αὐτῇ ζημίᾳ, φησί, σπουδάσατε ἀμύνασθαι τοὺς Μιτυληναίους, ᾗ ἂν ἐτιμωρήσαντο καὶ αὐτοὶ ὑμᾶς, περιγενόμενοι ὑμῶν. — *Καὶ μὴ ἀναλγητότεροι* — —] τοῦτό φησιν, ὅτι, ἐπεὶ ἤλγουν οἱ Μιτυληναῖοι ὑφ' ὑμῶν τῶν Ἀθηναίων κρατούμενοι, δεῖ καὶ ὑμᾶς ἀλγῆσαι ἐπὶ τῇ αὐτῶν ἀποστάσει. καὶ μὴ ἀναλγητότεροι ἐκείνων ἀξιοῦτε εἶναι, ἵνα μὴ καὶ ἀναίσθητοι δόξητε, οὐκ ἀλγοῦντες ἐφ' οἷς ἀδικεῖσθε. §. *Τὸ δὲ ἐξῆς οὕτως*· ἐκεῖνοι ἐπέρχονται καὶ διαφθείρουσί τινα ἀδίκως οἱ μὴ σὺν αἰτίᾳ ποιοῦντες κακῶς,

Αὐτοὺς μᾶλλον. Pro his cod. Bas. *σφᾶς.*

Δικαιώσεσθε. D. *δικαιώσαισθε*, ε s. αι ead. man. *Δικαιώσετε* coniicit Elmsl. ad Eur. Med. v. 98. At vid. Buttm. Gr. II. 1. p. 53. et nos I. 1. p. 189. et 191. Antea *σφᾶς* ante *χαρ.* pessime impugnat Lindav.

Ἄρχοιτε. I. *ἄρχητε.* Puncto, quod sequebatur, colon substituit Bekk.

Δή. D. I. E. *δεῖ*, duo priores in marg. al. man. *δή.* Proxima *καὶ σφᾶς προσῆκον* cum Kistem. virgulis circumscripsimus.

Ὅμως. C. F. *ἅμα.*

Τοί Cass. Aug. F. It. Vat. Gr. Vind. Dan. Bekk. Vulgo (et Haack.) *τοίνυν.* Neutrum agnoscit I.

Παύεσθαι. Mosqu. *παύσασθε.*

Ἀκινδύνου. Vat. *κινδ.*

Digitized by Google

γητέτεροι οἱ διαφεύγοντες τῶν ἐπιβουλευσάντων φανῆναι, ἐνθυμηθέντες ἃ εἰκὸς ἦν αὐτοὺς ποιῆσαι πρατήσαντας ὑμῶν, ἄλλως τε καὶ προϋπάρξαντας ἀδικίας. 6. μάλιστα δὲ οἱ μὴ ξὺν προφάσει τινὰ κακῶς ποιοῦντες ἐπεξέρχονται, καὶ διόλλυνται τὸν κίνδυνον ὑφορώμενοι τοῦ ὑπολειπομένου ἐχθροῦ· ὁ γὰρ μὴ ξὺν * ἀνάγκῃ *

ὑφορώμενοι τὴν ἔχθραν τοῦ καταλειφθέντος ἐχθροῦ· ὑμεῖς δὲ, ὦ Ἀθηναῖοι, μὴ φοβεῖσθε τοῦτο· οὐ γὰρ ἄνευ αἰτίας αὐτοὺς κολάσετε. (λ. Ἀνγ.) — 1. Οἱ διαφεύγοντες] Ἀθηναῖοι. — Τῶν ἐπιβουλευσάντων] Μιτυληναίων. — 2. Ἃ εἰκὸς ἦν αὐτοὺς ποιῆσαι] ἢ ἀπόδειξις ὅτι, εἰ ἐκράτησαν Λέσβιοι τῶν Ἀθηναίων, κακῶς ἂν αὐτοὺς εἰργάσαντο. (λ. Κασσ.) — 4. Οἱ μὴ ξὺν προφάσει —] οἱ ἀδικοῦντες, φησὶ, τινὰ χωρὶς αἰτίας, τουτέστιν ἄνευ τοῦ προηδικῆσθαι, σπουδάζουσιν ἀπολέσθαι τοὺς δι' ἐναντίας, εἰδότες ὅτι ὁ διαφυγὼν χαλεπώτερος ἐχθρός ἐστι τοῦ προπαθόντος καὶ διὰ τοῦτο βουλομένου ἀμύνεσθαι. — Οἱ μὴ ξὺν προφάσει τινὰ — —] οἱ μὴ πρότερον ἀδικηθέντες, ἐπιχειρήσαντες δὲ ἀδικῆσαι πρότερόν τινας, ἐπιμένουσιν ἕως ἀπολέσωσιν ἂν αὐτοὺς, εἰδότες ὅτι, ἐὰν σωθῶσιν οἱ ἀδικηθέντες, πικροὶ τοῖς ἠδικηκόσιν ἔσονται πολέμιοι, καὶ † πάσχουσι † κακῶς παρ' αὐτῶν, * ἀμυνομένων αὐτούς *. — 5. ** Ἐπεξέρχονται] Ὅμηρος· μηδ' ἡμῖν τεκέεσσι. (Ἀνγ.) — Καὶ διόλλυνται] ἀντὶ τοῦ διαφθείρουσιν. — 6. Ὁ γὰρ μὴ ξὺν ἀνάγκῃ — —] ὁ γὰρ ἀδίκως τι καὶ πρῶτος παθὼν, ἐὰν διαφύγῃ, πικρότερος καὶ δεινότερός ἐστι τοῦ ἀπὸ τῆς ἴσης ἐχθροῦ. τὸν δὲ ἀπὸ τῆς ἴσης ἐχθρὸν ὁρίζεται τὸν μὴ προπαθόντα, ἀλλὰ προκαταρχόμενον ἀδικίας. ὃς ἂν εἰ ἔλεγεν, ὁ προπαθὼν καὶ ὁ ἀμυνόμενος χαλεπώτερός ἐστι τοῦ προκαταρχομένου ἀδικίας, μήπω τι παθόντος.

5. *Οἱ διαφεύγοντες τῶν ἐπιβουλευσάντων.* F. B. *τῶν ἐπιβουλ. οἱ διαφ.* H. *διαφυγ.* habet, cum *ευ s. υ* al. man., et aoristi participium, quod etiam corrector cod. Bas. exhibuit, et in cap. Schol. Aug. invenitur, fortasse exspectaveris. At perfectum requireretur, et nostrum sanum est. Vid. I. 1. p. 152. et quae contra Schneid., qui Xen. Anab. VI, 1 (3), 4. *οἱ διαφυγόντες* pro *οἱ διαφεύγοντες* reposuerat, disputaverunt Baguet ad Dion. Chrysost. p. 32. Bornem. et nos ipsi ad Xen. l. d.

Ἦν om. E.

Τμῶν Cass. C. F. Pal. Vat. H. Reg. (G.) Gr. I. B. Vind. m. Vasc. Bas. Steph. 2., quibus tot auctoritatibus, quamvis in tali re levissimis, refragari noluimus, etsi vulg. (Haack. Bekk.) *ἡμῶν*, si urbanior orator loqueretur, ob *κοίνωσιν*, quam continet, unice probaremus. Mox Reg. om. *τέ* et pro *οἱ μή* Mosqu. *εἰ μή*. Ad *ἀδικίας* Tus. *ἄδικοι* adscr.

6. *Καὶ διόλλυνται.* Haack. et Bekk. virgulam, quae ante haec verba est, nos potius eam, quae sequebatur, delevimus. Vid. I. 1. p. 182. C. *διόλυνται.* Pal. *διώλλυνται.*

Γὰρ μή. I. *μὴ γάρ.*

Ἀνάγκῃ. Cass. Cl. Vind. Ar. Chr. Dan. marg. Steph. *δίκῃ*, quod etiam a Schol. aliquantum commendatum probat Kistem. et aeque bonum est atque vulg., ita ut, utrum praefera-

Digitized by Google

τι παθὼν χαλεπώτερος διαφεύγων τοῦ ἀπὸ τῆς ἴσης ἐχθροῦ."

(Ἐπίλογοι.)

7. „Μὴ οὖν προδόται γένησθε ὑμῶν αὐτῶν· γενόμενοι δ' ὅτι ἐγγύτατα τῇ γνώμῃ τοῦ πάσχειν, καὶ ὡς πρὸ παντὸς ἂν ἐτιμήσασθε αὐτοὺς χειρώσασθαι, νῦν ἀνταπόδοτε, μὴ μαλακισθέντες πρὸς τὸ παρὸν αὐτίκα, μηδὲ τοῦ ἐπικρεμασθέντος ποτὲ δεινοῦ ἀμνημονοῦντες. 8. κολάσατε δὲ ἀξίως τούτους τε, καὶ τοῖς ἄλλοις ξυμμάχοις παράδειγμα σαφὲς καταστήσατε, ὃς ἂν ἀφιστῆται, θανάτῳ ζημιωσόμενον. τόδε γὰρ ἦν γνῶσιν, ἧσσον, τῶν

1. Ἀπὸ τῆς ἴσης] μοίρας δηλονότι. (λ. Ἀύγ.) — ** 3. Μὴ οὖν] ἐπίλογοι. (Ἀύγ.) — Γενόμενοι δ' ὅτι ἐγγύτατα τῇ γνώμῃ τοῦ π.] εἰς ἔννοιαν ἐλθόντες ὧν ἐμέλλετε πάσχειν ὑπὸ Λεσβίων. — 6. Μὴ μαλακισθέντες —] μὴ ἐνδόντες πρὸς τὴν ἡδονὴν τὴν ἀπὸ τῶν λόγων, καὶ πρὸς τὸν οἶκτον καὶ τὴν ἐπιείκειαν· μηδὲ ἀμνημονήσαντες τοῦ κινδύνου, οὗ ἂν ἐκινδυνεύσατε, εἰ ἐκράτησαν ὑμῶν. (λ. Κασσ.) — 10. Ἧσσον τῶν πολεμίων — —] τὸ ἐξῆς, ἧσσον πολεμήσετε. ἀντὶ τοῦ οὐδὲ ἧσσον. Ὅμηρος· Ἢ ὀλίγον οἱ παῖδα ἐοικότα [γείνατο Τυδεύς. (λ. Ἀύγ.)] Τὸ δὲ ἦν γνῶσιν, οἱ σύμμαχοι δηλονότι. (λ. Κασσ.)

mus, dubii simus. Aug. nonnullis erasis δίκη a man. sec. videtur praebere.

Ἴσης. H. G. ἥσσης.

7. Τμῶν Cass. F. Pal. Vat. H. Reg. (G.) Gr. D. I. E. Vind. Ar. Chr. Vall. Haack. Bekk. „Quod et secundae personae γένησθε multo magis convenit, et propter αὐτῶν necessarium est." (HAACK.) Vulgo ἡμῶν.

Γενόμενοι. C. γιν.

Ἐγγύτατα. Cl. C. F. Mosqu. ἐγγυτάτω. De quarum formarum discrimine falsa docere Zeun. ad Xen. Cyr. IV, 1, 3. demonstravit Schneid. ad Anab. II, 2, 18. Thucyd. in comparat. ἐγγυτέρω, in superlat. plerumque ἐγγύτατα, ὅτι ἐγγύτατα dicere solet. Cf. Duk. ad VII, 86. et Ind. Sed ὅτι ἐγγυτάτω adfuit III, 38., quare utrum hic praestet, ambigi potest. Ad nostrum tamen reliquorum codd. vestigia ducunt. Nam pro ἐγγύτατα τῇ Cass. Aug. Pal. It. Vat. Reg. ἐγγυτάτῃ (G. ἐγγυτατη), in Cass. tamen man. rec. super τα scripsit τω et τῇ circumflexo notavit. De sententia cf. not. Cl. τέ pro τῇ habet.

8. Κολάσατε. C. κολάσαντες. D. E. κολάσετε.

Ἀφίστηται. Vind. Ar. Chr. Bar. Ald. Flor. Bas. ἀφίστηται. At vid. I. 1. p. 229. Dan. ἀφήστηται. Gr. ἀφίσταται. Mosqu. ἀφιστῇ.

Digitized by Google

πολεμίων ἀμελήσαντας, τοῖς ὑμετέροις αὐτῶν μαχεῖσθε ξυμμάχοις."

(γ'. Κλέωνι Διόδοτος ἀντιλέγει.)

μα'. Τοιαῦτα μὲν ὁ Κλέων εἶπε. μετὰ δ' αὐτὸν Διόδοτος ὁ Εὐκράτους, ὅσπερ καὶ ἐν τῇ προτέρᾳ ἐκκλησίᾳ ἀντέλεγε μάλιστα μὴ ἀποκτεῖναι Μυτιληναίους, παρελθὼν καὶ τότε, ἔλεγε τοιάδε.

(Διοδότου δημηγορία ὑπὲρ τῶν Μυτιληναίων. μβ' — μή. Ἔλεγχος τῶν μεμφομένων τοὺς λόγους καὶ ἐκφοβούντων τοὺς ἀντιλέγοντας.)

μβ'. „Οὔτε τοὺς προθέντας τὴν διαγνώμην αὖθις περὶ Μυτιληναίων αἰτιῶμαι, οὔτε τοὺς μεμφομένους μὴ πολλάκις περὶ τῶν μεγίστων βουλεύεσθαι ἐπαινῶ· νομίζω δὲ δύο τὰ ἐναντιώτατα εὐβουλίᾳ εἶναι, τάχος τε καὶ ὀργήν· ὧν τὸ μὲν μετὰ ἀνοίας φιλεῖ γίγνεσθαι, τὸ δὲ μετὰ ἀπαιδευσίας καὶ βραχύτητος γνώμης. 2. τούς

7. Τοὺς προθέντας] εἰς μέσον θέντας τὴν δευτέραν διάσκεψιν. — Οὔτε τοὺς προθ. — αἰτιῶμαι] πρὸς τὸ „καὶ θαυμάζω μὲν τῶν προθέντων αὖθις" καὶ τὰ ἑξῆς. Διοδότου δημηγορία αὕτη ὑπὲρ Μιτυληναίων. ἰστέον δὲ ὅτι ὁ μὲν Κλέων τὸ δίκαιον προβάλλεται, οὗτος δὲ ὁ Διόδοτος τὸ συμφέρον. καὶ σκόπει τὸ τοῦ συγγραφέως ἦθος, χαίροντος ἀεὶ ταῖς ἀντιπάλοις δημηγορίαις. — 8. Οὔτε τοὺς μεμφ. — βουλεύεσθ.] πρὸς τὸ „εἰ βέβαιον ἡμῖν μηδὲν καθεστήξει, ὧν ἂν δόξῃ πέρι." — 12. Ἀπαιδευσίας] ἀπειρίας. (λ. Λύγ.) — Βραχύτητος] ἀσθενείας. (λ. Λύγ.) — Τούς τε λόγους — —] πρὸς τὸ „εἰώθατε θεαταὶ μὲν τῶν λόγων γίνεσθαι" καὶ τὰ ἑξῆς.

ἰδ. κεφ. λή. §. ά. ἰδ. κεφ. λζ'. §. γ'. ἰδ. κεφ. λή. §. γ'.

Αὐτῶν om. Gr.

Μαχεῖσθε ξυμμάχοις. Gr. ξυμμαχ.

Cap. XLI. Εἶπε. Cass. Pal. Gr. Bekk. in minn. exempll. εἶπεν. Cf. Farr. discr. script.

Μετὰ δ' αὐτόν. C. μετὰ δ' αὐτοῦ. D. E. μετὰ αὐτὸν δέ. m. Ar. Chr. μετ' αὐτὸν δέ, per se non prave. Vid. I. 1. p. 302. Steph. 2. μετὰ δ' αὐτό, typographorum, ut videtur, errore.

Διόδοτος. Reg. (G.) Δίοτος.

Ὅσπερ. Ar. Chr. ὥσπερ.

Παρελθὼν καὶ τότε om. D. E.

Cap. XLII. Οὔτε. Pro altero οὔτε Vat. ὅτε.

Μή om. Mosqu. At vid. adnot.

Νομίζω δέ. Pro δέ Cass. Cl. F. Pal. It. Vat. Reg. (G.) Gr. Mosqu. marg. Steph. νομίζω τε, non bene, quum δέ negationi oppositum sit. Caeterum post ἐπαινῶ et ὀργήν pro punctis Haack. cola, Bekk. commata posuit.

Ἐναντιώτατα. Gr. ἐναντιώματα, sed emend.

Digitized by Google

τε λόγους ἅστις διαμέχεται μὴ διδασκάλους τῶν πραγμάτων γίγνεσθαι, ἢ ἀξύνετός ἐστιν, ἢ ἰδία τι αὐτῷ διαφέρει· ἀξύνετος μὲν, εἰ ἄλλῳ τινὶ ἡγεῖται περὶ τοῦ μέλλοντος δυνατὸν εἶναι καὶ μὴ ἐμφανοῦς φράσαι· διαφέρει δ' αὐτῷ, εἰ, βουλόμενός τι αἰσχρὸν πεῖσαι, εὖ μὲν εἰπεῖν οὐκ ἂν ἡγεῖται περὶ τοῦ μὴ καλοῦ δύνασθαι, εὖ δὲ διαβαλὼν, ἐκπλῆξαι ἂν τούς τε ἀντεροῦντας καὶ τοὺς ἀκουσομένους. 3. καλεπώτατοι δὲ καὶ οἱ ἐπὶ χρήμασι προσκατηγοροῦντες ἐπίδειξίν τινα. εἰ μὲν γὰρ ἀμαθίαν κατηγοροῦντο, ὁ μὴ πείσας ἀξυνετώτερος ἂν δόξας εἶναι

1. *Διαμάχεται*] ἐναντιοῦται. (λ. *Ἀνγ.*) — 2. *Ἡ ἰδία*] τουτέστι διὰ τὸ ἴδιόν τι κέρδος σκοπεῖν καὶ συμφέρον. —. *Διαφέρει*] ὠφελεῖ. (λ. *Ἀνγ.*) — 3. *Εἰ ἄλλῳ τινί*] καὶ οὐχὶ λόγῳ δηλονότι. — *Περὶ τοῦ μέλλοντος* —] τὸ ἐξῆς, περὶ τοῦ μέλλοντος καὶ ἀφανοῦς δυνατὸν εἶναι φράσαι. — 4. *Διαφέρει*] λυσιτελεῖ. (λ. *Ἀνγ.*) — 5. *Εὖ μὲν εἰπεῖν* — —] τὸ ἐξῆς, εὖ μὲν οὐκ ἂν ἡγεῖται περὶ τοῦ κακοῦ εἰπεῖν δύνασθαι. [οὕτω συντακτέον· τὸ μὲν περὶ τοῦ κακοῦ δύνασθαι λέγειν καλῶς, οὐχ ἡγεῖται (ἤγαων οὐ φροντίδα περὶ τούτου ποιεῖται)· ἡγεῖται δὲ μᾶλλον ἐκεῖνο εἶναι καλὸν, τὸ διαβαλόντα καὶ ἀπατήσαντα ἐκπλῆξαι τοὺς ἀκουσομένους. ὃ δὴ καὶ διαφέρει τῷ οὕτω λέγοντι· κέρδους γὰρ ἕνεκα τὸ τοιοῦτον εἶδος τοῦ λόγου μεταχειρίζεται. (λ. *Ἀνγ.*)] — 8. *Χαλεπώτατοι* — —] πρὸς τὸ „αὐτοὶ δὲ ἐκ τοῦ εὖ εἰπεῖν τὸ παθεῖν εὖ ἀντιλήψονται." — 9. *Ἐπίδειξιν*] συμβουλίαν, [φιλοτιμίαν. (λ. *Ἀνγ.*)] — *Ἀμαθίαν*] καὶ οὐχὶ χρήματα δηλονότι. *ἰδ.' κεφ. μ'. §. γ'.*

2. *Ἡ ἀξύνετος — διαφέρει.* „Haec citavit Galen. vol. III. p. 217. ed. Lips." DIND. Pro *ἰδίᾳ* Vind. *ἀδείᾳ*.

Αὐτῷ. Ar. *αὐτῷ* hic et paulo inferius. Mox post *διαφέρει* rursus vulgo male plene interpungitur, ubi Haack. dimidiam distinctionem, Bekk. (sicut post *φράσ.*) virgulam collocavit. Pro *διαφέρει* m. *διαφέροι*, nisi haec scriptura ad alterum *διαφ.* pertinet.

Διαφέρει δ' αὐτῷ. Pro *διαφέρει* Cass. Pal. It. G. B. E. Vind. et int. vers. Gr. male *διαφέροι*.

Ἡγεῖται. C. H. Reg. (G.) I. *ἡγῆται*, male, quum *ἄν* ad *δύνασθαι* spectet. Benedictum nemo curabit.

Διαβαλὼν. Pal. H. G. *διαλαβών*, in G. tamen s. v. *γρ. διαβαλών*. Cod. Bas. Gr. E. *διαβάλλων*.

Ἐκπλῆξαι ἄν. *Ἄν* om E. Deinde. G. *ἀντεροῦντες*.

3. *Προσκατηγοροῦντες.* F. E. *προκατηγ.*, quod temere probat Levesqu. Gr. *μὴ προκατηγ.*

Ἐπίδειξιν. Cass. E. m. *Ἀr.* Chr. Dan. *ἀντίδειξιν*, quod in Cass. aliunde venisse docet Aug., ubi a man. 2. est abrasa veteri scriptura. Placuit tamen Kistem., quanquam in lexicis deest. Vid. not.

Ἀξυνετώτερος. Pal. *ξυνετώτ.* Mox post *ἀπεχ.* ante Haack. rursus plene interpungebatur.

Digitized by Google

ἢ ἀδικώτερος ἀπεχώρει· ἀδικίας δ' ἐπιφερομένης, πείσας τε, ὕποπτος γίγνεται, καὶ μὴ τυχὼν, μετὰ ἀξυνεσίας καὶ ἄδικος. 4. ἥ τε πόλις οὐκ ὠφελεῖται ἐν τῷ τοιῷδε· φόβῳ γὰρ ἀποστερεῖται τῶν ξυμβούλων, καὶ πλεῖστ' ἂν ὀρθοῖτο ἀδυνάτους λέγειν ἔχουσα τοὺς τοιούτους τῶν πολιτῶν· ἐλάχιστα γὰρ ἂν πεισθείησαν ἁμαρτάνειν. 5. χρὴ δὲ τὸν μὲν ἀγαθὸν πολίτην μὴ ἐκφοβοῦντα τοὺς ἀντεροῦντας, ἀλλ' ἀπὸ τοῦ ἴσου φαίνεσθαι ἄμεινον λέγοντα, τὴν δὲ σώφρονα πόλιν τῷ τε πλεῖστα εὖ βουλεύοντι μὴ προστιθέναι τιμὴν, ἀλλὰ μηδ' ἐλασσοῦν τῆς ὑπαρχούσης, καὶ τὸν μὴ τυχόντα γνώμης οὐχ ὅπως ζημιοῦν, ἀλλὰ μηδ' ἀτιμάζειν. 6. οὕτω γὰρ ὅ τε κατορθῶν ἥκιστα ἂν ἐπὶ τῷ ἔτι μειζόνων ἀξιοῦσθαι παρὰ 194.

1. Ἀπεχώρει] τοῦ δικαστηρίου δηλονότι. (λ. Ἀὐγ.) — Ἀδικίας δ' ἐπιφερομένης] ἀδίκως κατηγορῶν. (λ. Ἀὐγ.) — 2. Ὕποπτος] διὰ τὸ ἐπὶ χρήμασι λέγειν. — Μὴ τυχών] τοῦ σκοποῦ δηλονότι. (λ. Ἀὐγ.) — 3. Ἐν τῷ τοιῷδε] πράγματι δηλονότι. (λ. Ἀὐγ.) — 4. Φόβῳ γάρ] ἐν τῷ τοὺς δυναμένους τι συμβουλεύειν μὴ τολμᾶν λέγειν, ὡς δόξαν ἐπὶ χρήμασι ληψομένους. — 5. Ὀρθοῖτο] διοικοῖτο καὶ εὐδρομοίη ἡ πόλις. (λ. Ἀὐγ.) — 6. Ἐλάχιστα γάρ] ἀντὶ τοῦ οὐδὲ ἐλάχιστα. [** Ὁμήρου· ἢ ὀλίγον οἱ παῖδα. (Ἀὐγ.)] — 7. Χρὴ δέ] τὸ ἑξῆς, χρὴ φαίνεσθαι μὴ ἐκφοβοῦντα, ἀλλ' ἀπὸ τοῦ ἴσου ἄμεινον λέγοντα. — 11. Τὸν μὴ τυχόντα] τὸν μὴ ἄριστα συμβουλεύοντα. (λ. Ἀὐγ.) — 13. Ἔτι μειζόνων] φύσει γὰρ οἱ ἄνθρωποι οὐ παύονται ἀεὶ τῇ ὀρέξει ἐπεκτεινόμενοι. — Παρὰ γνώμην] τὴν ἑαυτοῦ. (λ. Ἀὐγ.)

Ἀξυνεσίας. Ἀσυνεσία· Θουκυδ. τρίτῳ. Bekk. Anecdd. p. 78. Cf. Suid.

4. Καὶ πλεῖστ'. D. ὡς καὶ πλ. Ἀδυνάτους in marg. al. man. C.

Λέγειν om. Cl. C. Gr. E., sed necessarium est, quia de *facundiae* abusu hic agitur. Mox post πολιτῶν ante Bekk. male punctum erat. Πεισθείησαν autem bene ad ἡ πόλις referri, nec opus esse Reiskii coniectura πεισθείη nemo facile dubitabit.

5. Ἐκφοβοῦντα. E. φοβοῦντα, ex s. v. al. man. Deinde post λέγοντα ante Haack. punctum erat, et post ὑπαρχ. vulgo colon invenitur.

Προστιθέναι. Reg. (G.) προτιθέναι, et ex rec. emend. προστ. E. προτίθεσθαι. (Sed recte Portus *addere novum honorem.*) Vind. προστίθεσθαι,

6. Ἥκιστα ἄν om. Chr.

Ἐπὶ τῷ. Cass. Pal. It. Vat. Reg. (G.) ἐπὶ τό. At ἐπί consilium significans tantum ubi de rebus arcessendis sermo sit, motionis et consilii notio (ut in ἐπὶ θήραν) coalescat, cum accusativo coniungi posse docent grammatici nostri. Gr. ἐπὶ τόν, et ex emend. ἐπὶ τῶν.

Digitized by Google

γνώμην τι καὶ πρὸς χάριν λέγοι, ὅ τε μὴ ἐπιτυχὼν ὀρέγοιτο τῷ αὐτῷ, χαριζόμενός τι καὶ αὐτὸς, προσάγεσθαι τὸ πλῆθος."

(Ἔλεγχος Ἀθηναίων ὑποπτως ἐς τοὺς ῥήτορας ἐχόντων.)

μγ'. „Ὧν ἡμεῖς τἀναντία δρῶμεν, καὶ προσέτι, ἢν τις καὶ ὑποπτεύηται κέρδους μὲν ἕνεκα, τὰ βέλτιστα δὲ ὅμως λέγειν, φθονήσαντες τῆς οὐ βεβαίου δοκήσεως τῶν κερδῶν, τὴν φανερὰν ὠφέλειαν τῆς πόλεως ἀφαιρούμεθα. 2. καθέστηκε δὲ τἀγαθὰ, ἀπὸ τοῦ εὐθέος λεγόμενα, μηδὲν ἀνυποπτότερα εἶναι τῶν κακῶν, ὥστε δεῖν ὁμοίως τόν τε τὰ δεινότατα βουλόμενον πεῖσαι ἀπάτῃ προσάγεσθαι τὸ πλῆθος, καὶ τὸν τὰ ἀμείνω λέγοντα ψευσάμενον πιστὸν γενέσθαι. 3. μόνην τε πόλιν διὰ τὰς περιοίας εὖ ποιῆσαι ἐκ τοῦ προφανοῦς, μὴ ἐξαπατήσαντα, ἀδύνατον· ὁ γὰρ διδοὺς φανερῶς τι ἀγαθὸν

1. Ἐπιτυχὼν] ὀρθῆς βουλῆς. (λ. Ἀνγ.)
μγ'. 10. Τὰ δεινότατα] τὰ ψευδῆ, καὶ ἄδικα. [** ἢ τὰ χαλεπώτατα. (Βασ.)] — Ἀπάτῃ προσάγεσθαι] πιθανολογεῖν καὶ ἀπατᾷν. [ὅτι καλὰ ἔσται ταῦτα. (Βασ.)] — 13. Τὰς περιοίας] περιεργίας. (λ. Ἀνγ.) — 14. ** Ἀδύνατον] διὰ τὴν τῶν χρημάτων δόκησιν. (Ἀνγ.)

Λέγοι. D. λέγει, οι s. ει ead. man. Totum vocab. om. Dan. Post id autem ante Haack. colo interpungebatur. Idem Haack. deinde virgulam post ὀρέγοιτο et cum vulg. post τί, nos post αὐτῷ et αὐτός posuimus. Add. not.

Cap. XLIII. *Δὲ ὅμως* plene Cass. C. Pal. Reg. D. I. E. Ar. Chr. Dan. pro vulg. (Haack. Bekk.) δ' ὅμως. Om. H.

Βεβαίου. E. Ar. Chr. Dan. βεβαίας. At vid. adnot.

Ὠφέλειαν. Pal. It. Vat. H. Chr. ὠφελίαν. Cf. de Art. crit. p. 153.

2. *Τἀγαθά.* Reg. (G.) τὰ ἀγ.

Εὐθέος. Pal. Ar. Chr. εὐθέως, usitato librariorum errore, de quo vid. Lob. ad Phryn. p. 247.

Μηδὲν ἀνυποπτότερα. Dan. μηδένα ὑποπτότερον. Plenas interpunctiones post κακῶν et γενέσθαι Haack. in dimidias mutavit, Bekk. autem posterius punctum servavit.

Τὰ δειν. Τά om. E.

Βουλόμενον. Cass. Aug. Pal. It. Vat. H. Reg. (G.) marg. Steph. βουλευόμενον, quod fuerat etiam in I., ubi ευ erasum. Haec verba sexcenties (sicut mox 44, 4.) a librariis permutari constat, et nostrum nunc solum idoneum est.

3. *Πόλιν.* Mosqu. τὴν πόλιν, uti legi voluerat Reisk. At vid. adnot. ad I, 10.

Digitized by Google

ἀνθυποπτεύεται ἀφανῶς πη πλέον ἕξειν. 4. χρὴ δὲ πρὸς τὰ μέγιστα καὶ ἐν τῷ τοιῷδε ἀξιοῦντι ἡμᾶς περαιτέρω προνοοῦντας λέγειν ὑμῶν τῶν δι' ὀλίγου σκοπούντων, ἄλλως τε καὶ ὑπεύθυνον τὴν παραίνεσιν ἔχοντας πρὸς ἀνεύθυνον τὴν ὑμετέραν ἀκρόασιν. 5. εἰ γὰρ ὅ τε πείσας καὶ ὁ ἐπισπόμενος ὁμοίως ἐβλάπτοντο, σωφρονέστερον ἂν ἐκρίνετε· νῦν δὲ πρὸς ὀργήν ἤν τινα τύχητε, ἔστιν ὅτε σφαλέντες, τὴν τοῦ πείσαντος μίαν γνώμην ξημιοῦτε, καὶ οὐ τὰς ὑμετέρας αὐτῶν, εἰ πολλαὶ οὖσαι ξυνεξήμαρτον."

(Ὅτι οὐ περὶ τῆς Μυτιληναίων ἀδικίας, ἀλλὰ περὶ τοῦ Ἀθηναίοις ξυμφέροντος νῦν σκεπτέον.)

μδ'. „Ἐγὼ δὲ παρῆλθον οὔτε ἀντερῶν περὶ Μυτιληναίων, οὔτε κατηγορήσων. οὐ γὰρ περὶ τῆς ἐκείνων ἀδικίας ἡμῖν ὁ ἀγὼν, εἰ σωφρονοῦμεν, ἀλλὰ περὶ τῆς

1. Πῇ] κατά τινα τρόπον. — Χρὴ δὲ πρὸς τὰ μέγιστα — —] τὸ ἑξῆς, χρὴ δὲ ἡμᾶς, πρὸς τὰ μέγιστα προνοοῦντας, περαιτέρω λέγειν ὑμῶν τῶν δι' ὀλίγου σκοπούντων. τὸ δὲ καὶ ἐν τῷ τοιῷδε ἀξιοῦντι ἀντὶ τοῦ καὶ ἐν τοῖς τοιούτοις ὑμῶν ἀξιώμασι καὶ ἐπιτηδεύμασι· τουτέστι τοῖς ὑποπτεύουσι. — 2. Ἐν τῷ τοιῷδε] ἐν τῇ τοιαύτῃ ὑποψίᾳ. (λ. Ἀὐγ.) — 3. Προνοοῦντας] σκεπτομένους. (λ. Ἀὐγ.) — Τῶν δι' ὀλίγου σκοπούντων] τῶν ἀσκέπτως λεγόντων. (λ. Κασσ. Ἀὐγ.) — 6. Σωφρονέστερον ἂν ἐκρίνετε] μετὰ ὑγιοῦς φρονήσεως ἦν ἂν ἡ κρίσις ἡ ὑμετέρα. (λ. Ἀὐγ.)

μδ'. 11. Ἀντερῶν] τῷ Κλέωνι δηλονότι. (λ. Ἀὐγ.) — 13. Ἀλλὰ περὶ τῆς ἡμετέρας εὐβουλίας] ἐσβολὴ τοῦ συμφέροντος καὶ προκατασκευὴ τοῦ προαναιρεῖν τὰ λυποῦντα τὴν ὑπόθεσιν.

Ἀνθυποπτεύεται. Vat. H. G. ἀνθυποπτεύονται, in G. tamen ν eras. et ο in ε mutatum.

Πῇ. Cass. πῇ. Gr. Mosqu. Ar. ποί, sed Gr. ab emend. int. vers. πῇ.

5. Πείσας in uno Par. s. v. al. man.

Καὶ ὁ. Ὁ om. C.

Ἐπισπόμενος Cass. F. It Vat. Reg. (G.) Gr. m. Bekk. Vulgo ἐπισπώμενοι, quod vitium redit IV, 85. V, 3., ubi qui correxit Haack., ne hic quidem servare debebat.

Ἐκρίνετε. Cass. Reg. (G.) ἐκρίνατε. F. ἐκρίνεσθε.

Νῦν δέ. Post δέ virgulam collocant Gottl. et Bekk., post ὀργήν fortasse alii, nos cum Herm. et Haack. post τύχητε. Vid. adnot.

Ἤν τινα. Vat. ἦν τινα, quod Abresch. Reisk. aliique commendabant. „Ἤν τινος Dissen. Disquiss. Philoll. p. 19." (BEKK.) Τινά om. Cl. et Gr. Cf. adnot.

Ξυνεξήμαρτον. Pal. νῦν ἐξήμ.

Cap. XLIV. Ἀλλὰ περὶ τῆς. Περί om. D. I. m. Ar. Chr. Dan., s. v. al. man habet E.

Digitized by Google

ἡμετέρας εὐβουλίας. 2. ἦν τε γὰρ ἀποφήνω πάνυ ἀδικοῦντας αὐτούς, οὐ διὰ τοῦτο καὶ ἀποκτεῖναι κελεύσω, εἰ μὴ ξυφέρον· ἦν τε καὶ † ἔχοντές τι ξυγγνώμης εἶεν †, εἰ τῇ πόλει μὴ ἀγαθὸν φαίνοιτο. 3. νομίζω δὲ περὶ τοῦ μέλλοντος ἡμᾶς μᾶλλον βουλεύεσθαι ἢ τοῦ παρόντος. καὶ τοῦτο, ὃ μάλιστα Κλέων ἰσχυρίζεται, ἐς τὸ λοιπὸν ξυμφέρον ἔσεσθαι πρὸς τὸ ἧσσον ἀφίστασθαι θάνατον ζημίαν προθεῖσι, καὶ αὐτὸς περὶ τοῦ ἐς τὸ μέλλον καλῶς ἔχοντος ἀντισχυριζόμενος, τἀναντία γιγνώσκω. 4.

7. *Πρὸς τὸ ἧσσον ἀφίστασθαι*] τὰς πόλεις. (λ. *Δύγ.*) — *Θάνατον ζημίαν προσθεῖσι*] πρὸς τὸ „καὶ τοῖς ἄλλοις ξυμμάχοις παράδειγμα σαφὲς καταστήσατε, ὃς ἂν ἀφιστῆται, θανάτῳ ζημιωσόμενον." *lδ. κεφ. μ'. §. ή.*

2. *Ἦν τε.* Mosqu. *εἴτε.*
Ἀποφήνω. C. F. *ἀποφαίνω.*
Εἰ μή. Reg. (G.) *ἢν μή.*
Ἦν τε — εἶεν. „Thom. Mag. in *εἰ*." DUK. Scriptura aperte corrupta. Mosqu. Ar. Chr. Dan. *εἴ τε*, quod noli probare, quanquam faciebat Hermannus de Praeceptt. Atticist. p. XVI. Qui postea ad Vig. p. 822. virgula post *ξυγγνώμης* posita locum sanari posse credebat. Valla totum locum sic reddit: „*Neque eis, si nocentes plane asserere volo, idcirco vitam adimi iubebo; neque, si qua venia dignos*, idcirco veniam dari, *nisi constiterit idem civitati conducere*." E quibus verba „idcirco veniam dari," sicut hic, in Steph. edit. aliis literis scripta sunt. Quae quum ita sint, *ἔχοντας* legendum et *εἶεν* delendum esse nos coniecimus Obss. critt. p. 251. Quorum alterum probat Reisig. in Coniectt. ad Aristoph. p. 278., sed *ἔχοντες* tuetur. Verum *ἔχοντας* acceperunt Burges. Diar. class. fasc. XLIV. p. 376. Lindav. et Censor libri nostri in Ephemerr. Ienn. a. 1820. m. Iul., quorum duo priores pro *εἶεν* coniiciunt *ἐᾶν*, quod nobis quoque placet, tertius *ζῆν*, Fittbogenius noster *ἐλεεῖν*. Dissen. Disquis. Philoll. Spec. I. p. 24. conferri iubet Bekk. Add. not.

Τῇ πόλει. Cass. B. Ar. Chr. Dan. et fortasse etiam Mosqu. *ἐν τῇ π.* quod miramur Reisigii assensum l. l. tulisse.

3. *Ὅ.* Gr. Ar. Chr. Dan. *ὅ.* Vind. m. *ᾧ*, quod Reg. (G.) in marg. man. rec. cum *γρ.* habet et pessime probat Bened., quasi *ἰσχυρίζεσθαι* significet *niti*.

Ἰσχυρίζεται. Post hoc verbum cum Bekk. comma posuimus, delevimus autem id, quod ante *θάνατον* reperiebatur.

Προθεῖσι. C. Gr. E. Mosqu. Ar. marg. Steph. Schol. (in capite) *προσθεῖσι.* In Reg. (G.) rec. man. *σ* super *ο* scrips. At vid. adnot. Mox post *αὐτός* Gottl. male comma posuerat. Vid. Haack.

Μέλλον. Pal. *μᾶλλον.* Deinde G. *τἀναντίω*, sed *ᾱ s. ω̄.* Post *γιγνώσκω* autem vulgo colon ponitur. Nobis cum Bekk. punctum praestare videbatur, quoniam *δικαιότερος* et proxima cum sola enunciatione *καὶ οὐκ ἀξιῶ — ἀπώσω.* cohaerent.

Digitized by Google

καὶ [οὐκ ἀξιῶ ὑμᾶς τῷ εὐπρεπεῖ τοῦ ἐκείνου λόγου τὸ χρήσιμον τοῦ ἐμοῦ ἀπώσασθαι. δικαιότερος γὰρ ὢν αὐτοῦ ὁ λόγος πρὸς τὴν νῦν ὑμετέραν ὀργὴν ἐς Μυτιληναίους, τάχ' ἂν ἐπισπάσαιτο. ἡμεῖς δὲ οὐ δικαζόμεθα πρὸς αὐτούς, ὥστε τῶν δικαίων δεῖν, ἀλλὰ βουλευόμεθα περὶ αὐτῶν, ὅπως χρησίμως ἕξουσιν."

(Ὅτι τὸ θάνατον ζημίαν προθεῖναι οὐδὲν ὠφελεῖ πρὸς τὸ ἀποτρέπειν τοὺς ἀνθρώπους τῶν ἁμαρτημάτων.)

μέ. „Ἐν οὖν ταῖς πόλεσι πολλῶν θανάτου ζημία πρόκειται, καὶ οὐκ ἴσων τῷδε, ἀλλ' ἐλασσόνων ἁμαρτημάτων· ὅμως δὲ τῇ ἐλπίδι ἐπαιρόμενοι κινδυνεύουσι, καὶ οὐδείς πω, καταγνοὺς ἑαυτοῦ μὴ περιέσεσθαι τῷ

1. *Τῷ εὐπρεπεῖ*] *τῇ πιθανολογίᾳ τοῦ Κλέωνος.* — 4. *Οὐ δικαζόμεθα πρὸς αὐτούς*] *οὐ δικαστήριον συγκροτοῦμεν κατὰ τῶν Μιτυληναίων.* (*λ. Αὐγ.*) — 5. *Ὥστε τῶν δικαίων* —] *οὐ περὶ τοῦ δικαίου, φησὶ, συμβουλευόμεθα, ἀλλὰ τοῦ συμφέροντος.* — 6. *Χρησίμως*] *ἡμῖν δηλονότι.* (*λ. Αὐγ.*)

μέ. 7. *Ἐν οὖν ταῖς πόλεσι* — —] *τοῦ Κλέωνος συμβουλεύσαντος ἀποκτεῖναι πάντας Μιτυληναίους, καὶ παράδειγμα τοῖς ἄλλοις ποιῆσαι Ἕλλησιν, ἵνα μὴ ἀφιστῶνται ἀπὸ τῶν Ἀθηναίων, ὁ Διόδοτος τἀναντία συμβουλεύων φησὶ πρὸς τοῦτο ἐκ τοῦ μᾶλλον. εἰ γὰρ ἐν ταῖς ἄλλαις πόλεσι πολλῶν καὶ οὐ μειζόνων ἐγκλημάτων θάνατος ἡ ζημία πρόκειται, καὶ ὅμως οἱ ἄνθρωποι, τῇ ἐλπίδι ἐπαιρόμενοι, ὀψοκινδύνως ἐγχειροῦσιν αὐτοῖς, καὶ οὐδεὶς δύναται κωλυτὴς γενέσθαι τῶν τηλικούτων ἔργων, ἀλλ' ὁσημέραι πράττονται, δῆλον ὅτι, καὶ εἰ τοὺς Μιτυληναίους ἀποκτείναμεν, ζημιούμεθα μὲν καὶ περὶ ἑαυτοὺς σφαλλόμεθα, οὐ μέντοι γε φόβον τινὰ τοῖς ἄλλοις παρέξομεν, ἀλλ' οὐδὲν ἧττον ἔστιν ὅτε ἀποστήσονται, τῇ ἐλπίδι κουφιζόμενοι. — Πολλῶν*] *οἷον τυραννίδος, καὶ προδοσίας, καὶ φόνου, καὶ μοιχείας, καὶ ἄλλων.* — 8. *Τῷδε*] *τῷ τῶν Μιτυληναίων ἀδικήματι, τῇ ἀποστάσει.* — 9. *Κινδυνεύουσι*] *ὀψοκινδύνως πράττουσι.* — 10. ** *Καταγνοὺς ἑαυτοῦ* —] *ἐχθὲς δέ τε νήπιος ἔγνω.* (*Αὐγ.*)

4. *Ὑμετέραν.* Reg. (G.) *ἡμετ.* *Τάχ' ἄν* Cass. Aug. F. Pal. H. Reg. (G.) Gr. D. I. E. m. Ar. Chr. pro vulg. (Haack. Bekk.) *τάχα ἄν.*

Βουλευόμεθα. Cass. Gr. Vind. Ar. Chr. Dan. *βουλόμεθα.*

Cap. XLV. *Θανάτου.* m. Ar. Chr. male *θανάτων.*

Ζημία πρόκειται. C. *ζημία πρόκεινται.* Cl. Gr. D. E. m. Ar. Chr. Dan. *ζημίαι πρόκεινται.*

Τῷδε. Vind. *τῶνδε.*

Ἐπαιρόμενοι. Reg. (G.) *οὐ περί* cum spatio vacuo post *περί* et vulg. in marg. al. man. adnotata.

Οὐδείς πω καταγνούς. Schol. Ruhnk. p. 101. *Τὸ δὲ οὐδείς πω ἀντὶ τοῦ οὐ πώποτε. καὶ Θουκυδίδης· οὐδείς πω καταγνούς.*

Digitized by Google

ἐμβουλεύματι, ἦλθεν ἐς τὸ δεινόν. 2. πόλις τε ἀφιστα-
μένη τίς πω, ἥσσω τῇ δοκήσει ἔχουσα τὴν παρασκευήν,
ἢ οἰκείαν, ἢ ἄλλων ξυμμαχίᾳ, τούτῳ ἐπεχείρησε; 3. κε-
φύκασί τε ἅπαντες καὶ ἰδίᾳ καὶ δημοσίᾳ ἁμαρτάνειν,
καὶ οὐκ ἔστι νόμος ὅστις ἀπείρξει τούτου. ἐπεὶ διεξελη-
196. λύθασί γε διὰ πασῶν τῶν ζημιῶν οἱ ἄνθρωποι, προ-
τιθέντες, εἴ πως ἧσσον ἀδικοῖντο ὑπὸ τῶν κακούργων·
καὶ εἰκὸς τὸ πάλαι τῶν μεγίστων ἀδικημάτων μαλακω-
τέρας κεῖσθαι αὐτὰς, παραβαινομένων δὲ τῷ χρόνῳ, ἐς
τὸν θάνατον αἱ πολλαὶ ἀνήκουσι· καὶ τοῦτο ὅμως πορα-
βαίνεται. 4. ἢ τοίνυν δεινότερόν τι τούτου δέος εὑρε-

2. *Τίς πω*] *οὐδεμία.* — 5. *Τούτου*] *τοῦ ἁμαρτάνειν δηλονότι.* — *Διεξεληλύθασι* — —] *ἐπραγματεύσαντο, φησὶ, περὶ πάσης ἀδι-κίας καὶ ἁμαρτίας οἱ νομοθέται, καὶ ἐξέθεντο ποινάς.* — 9. *Αὐτάς*] *τὰς ζημίας.* (*λ. Ἀνγ.*) — 10. *Ἀνήκουσιν*] *ἀνέρχονται.* (*λ. Ἀνγ.*) — 11. *Τούτου*] *τοῦ θανάτου.*

Τὸ δεινόν. D. *τὸν κίνδυνον*, quam interpretationem iam c. 12. in aliquot libris invenimus.

2. *Οἰκείαν.* Cass. Aug. Mosqu. Flor. marg. Steph. et correctus It. *οἰκείᾳ.* Gr. Dan. *οἰκίαν.*

Ξυμμαχίᾳ Cass. Aug. Pal. It. Vat. Mosqu. Flor. marg. Steph. Haack. Bekk. *Ξυμμαχία* F. H. G. cod. Bas. Gr. Vulgo *ξυμμαχίαν.* Quod neque cum Gail. *ξυμμαχικήν* interpretari licet, nec a Bauero, quem vid. apud nos I. 1. p. 300., satis probabiliter defensum est.

Τούτῳ. Pal. It. Vat. Reg. (G.) *τοῦτο*, in Reg. tamen *τούτῳ* ab emend. rec. man. int. vers. At m. *τούτῳ* habet, sed *τό* supra scr. Statim post *ἐπεχείρησε* signum interrogandi cum Kistem. primus posuit Haack.

3. *Ἐπεὶ διεξεληλύθασιν.* Pal. *ἐπειδὴ ἐξ.* Reg. (G.) *ἐπειδὴ διεξ.* Pro *διεξεληλ.* Ar. Chr. Dan. *διελ.* Ante *ἐπεί* Bekk. pro vulg. puncto comma posuit, quod nobis non sufficere videbatur, quum ante *καὶ εἰκός* non bene plene interpungatur, et *ἐπεί* hic in notionem particulae *γάρ* transeat.

Προτιθέντες. *Προτιθέντες* commendat Krüg. ad Dion. Hal. p. 161. At vid. ad c. 44.

Εἴ πως. Chr. *ὅπως.*

Ἧσσον s. v. al. man. G.

Εἰκὸς τὸ πάλαι. Reg. (G.) B. Bar. Ald. Flor. ed. Bas. *εἰκότως πάλαι*, G. tamen vulg. ab al. man. in marg. habet. Cod. Bas. *εἰκὸς πάλαι.*

Παραβαινομένων. I. *παραβαίνων*, sed vulg. in marg. ab al. man.

Τῷ χρόνῳ. E. *τῶν χρόνων.* Comma non post haec verba, sed ante ea collocat Reiske.

Ἀνήκουσι. „Huc fortassis respexit Suidas in *ἀνῆκει*, e Thucyd. laudans *ἀνήκουσιν*, *ἀντὶ τοῦ τελευτῶσι, λήγουσι.*“ DUK. Cf. Bekk. Anecdd. p. 403.

4. *Εὑρετέον.* Reg. (G.) *εὑρητέον.* At vid. Lob. ad Phryn. p. 446.

Digitized by Google

τέον ἐστὶν, ἢ τόδε γε οὐδὲν ἐπίσχει· ἀλλ' ἡ μὲν πενία, ἀνάγκη τὴν τόλμαν παρέχουσα, ἡ δ' ἐξουσία, ὕβρει τὴν πλεονεξίαν καὶ φρονήματι, αἱ δ' ἄλλαι ξυντυχίαι ὀργῇ τῶν ἀνθρώπων, ὡς ἑκάστη τις κατέχεται ὑπ' ἀνηκέστου τινὸς κρείσσονος, ἐξάγουσιν ἐς τοὺς κινδύνους. 5. ἥ τε ἐλπὶς καὶ ὁ ἔρως ἐπὶ παντὶ, ὁ μὲν ἡγούμενος, ἡ δ' ἐφεπομένη, καὶ ὁ μὲν τὴν ἐπιβολὴν ἐκφροντίζων, ἡ δὲ τὴν

1. *Οὐδὲν ἐπίσχει*] οὐδὲν κωλύει, φησὶν, ὁ τοῦ θανάτου φόβος τοὺς βουλομένους ἐξαμαρτεῖν. — *Ἀλλ' ἡ μὲν πενία* — —] τὰς αἰτίας βούλεται δηλῶσαι τῶν ἁμαρτημάτων, ἀφ' ὧν κινούμενοι ἄνθρωποι ἁμαρτάνουσι· καὶ φησιν ὅτι οἱ μὲν ὑπὸ πενίας ἀναγκάζονται λῃσταὶ εἶναι, οἱ δὲ ὑπὸ ἐξουσίας καὶ μεγαλοφροσύνης πλεονεκτοῦσιν, οἱ δὲ ὁμοίως διά τινα κρείττονα ἀναγκάζονται κινδυνεύειν, οἷόν οἱ μέθυσοι καὶ πόρνοι δι' ἡδονήν· καὶ ὅπερ φησὶν Ἀριστοτέλης ἐν τοῖς ἠθικοῖς, ὅτι πᾶσα πρᾶξις καὶ προαίρεσις ἀγαθοῦ τινος ἐφίεσθαι δοκεῖ. — 3. *Αἱ δ' ἄλλαι ξυντ.*] οἱ ξυντυχόντες τοῦ μέσου, ἤτοι μήτε πένητες μήτε πλούσιοι ὄντες. (λ. Κασσ. Ἀνῳ.) — ** *Ὀργῇ*] ὀργὴ ὁ τρόπος. (Ἀνῳ.) — 5. *Ἥ τε ἐλπὶς καὶ ὁ ἔρως*] πρῶτόν τις ἐρᾷ, εἶτα ἐλπίζει, εἶτα ἐγχειρεῖ. Ἡσίοδος· Μούνη δ' αὐτόθι ἐλπὶς [ἐν ἀῤῥήκτοισι δόμοισιν Ἔνδον ἔμιμνε, πίθου ὑπὸ χείλεσιν. (λ. Κασσ. Ἀνῳ.)] καὶ τὰ ἑξῆς. — 6. † *Ἐπὶ παντί*] † ἀπὸ κοινοῦ τὸ ἐξάγουσιν ἐς τοὺς κινδύνους. (λ. Κασσ.) — 7. *Τὴν ἐπιβολὴν* — *εὐπορ.*] ἐπιβολὴν τὴν ἐγχείρησιν, εὐπορίαν τὴν ἄνυσιν. — *Ἐκφροντίζων*] ἔξω φροντίδος τιθέμενος. (λ. Ἀνῳ.)

Τόδε γε. Cass. Pal. It. Vat. Reg. (G.) τόγε, Reg. (G.) tamen cum *δέ* rec. adscripto. Pro *ἐπίσχει* D. I. E. *ἐπίσχειν*, et D. in marg. *οὐδ' ἂν ἐπίσχη*. Post *ἐπίσχει* autem vulgo punctum est, apud Bekk. comma.

Παρέχουσα. F. *κατέχουσα.*

Φρονήματι. *Φρόνημά τι* legi iubet Kortüm in libro „*zur Geschichte Hellenischer Staatsverfassungen*“ p. 13. et *φρόνημα*, iam Reisk. malebat.

Αἱ δ' ἄλλαι. „Ante haec verba ponenda est distinctio minor, ut in Vasc. Nam praecedd. *ἡ πενία* et *ἡ ἐξουσία* pendent a verbo *ἐξάγουσιν*.“ DUK. Punctum igitur in virgulam mutavit Haack.

Ἑκάστη. Duker. coniicit *ἑκάστῳ*, quod placet Gottl. Kistem. all. Vid. adnot.

Κατέχεται. F. *παρέχεται.* Dan. *κατέρχεται.*

Κρείσσονος. Vulgatum (Bekk.) *κρείττονος* cum Haack. correximus. Vid. Farr. discr. script.

5. *Παντί.* Puncto, quod sequebatur, comma cum Kistem. primus substituit eandemque interpunctionem post *ἐφεπομ.* pro colo dedit Haack.

Ἐπιβολήν. C. Vind. *ἐπιβουλήν*, quod idem est in Cass., sed ibi *ῡ* factum man. rec. pro alia litera deleta. Idem *ἐπιβουλήν* Grammio ad Schol. teste Dan. nec aliter Vall. „Etiam in Thoma [*s. ἐκφροντίζω*] vitiose editur *ὡς* [*ὁ* ex libris restituit Oudend.] *μὲν τὴν ἐπιβουλὴν ἐκφροντίζων*.“ DUK. Eadem *vocabula* iam I, 93. confusa vidimus. Cf. IV, 76.

Digitized by Google

εὐπορίαν τῆς τύχης ὑποτιθεῖσα, πλεῖστα βλάπτουσι, καὶ ὄντα ἀφανῆ, κρείσσω ἐστὶ τῶν ὁρωμένων δεινῶν. 6. καὶ ἡ νύξ ἐπ' αὐτοῖς οὐδὲν ἔλασσον ξυμβάλλεται ἐς τὸ ἐπαίρειν. ἀδοκήτως γὰρ ἔστιν ὅτε παρισταμένη, καὶ ἐκ τῶν ὑποδεεστέρων κινδυνεύειν τινὰ προάγει, καὶ οὐχ ἧσσον τὰς πόλεις, ὅσῳ περὶ τῶν μεγίστων, ἐλευθερίας ἢ ἄλλων ἀρχῆς, καὶ μετὰ πάντων ἕκαστος ἀλογίστως ἐπὶ πλέον τι αὐτὸν ἐδόξασεν. 7. ἁπλῶς τε ἀδύνατον καὶ πολλῆς εὐηθείας, ὅστις οἴεται, τῆς ἀνθρωπείας φύσεως ὁρμωμένης προθύμως τι πρᾶξαι, ἀποτροπήν τινα ἔχειν ἢ νόμων ἰσχύϊ, ἢ ἄλλῳ τῳ δεινῷ."

(Ὅτι τὸ χαλεπῶς τιμωρεῖσθαι τοὺς ἀποστάντας ποιήσει τούτους τὸ λοιπὸν ἰσχυρογνωμονεστέρους.)

μς'. „Οὔκουν χρὴ οὔτε τοῦ θανάτου τῇ ζημίᾳ ὡς

3. Ἐπ' αὐτοῖς] μετὰ τὸν ἔρωτα καὶ τὴν ἐλπίδα. (λ. Ἀύγ.) — 4. Ἀδοκήτως γὰρ ἔστιν — —] πολλάκις, φησὶν, ἐγχειρήσας τις πράγματι ἔτυχεν αὐτοῦ, ἄλλος δὲ θεασάμενος ὀιψοκινδύνως κατατολμᾷ τοῦ αὐτοῦ πράγματος, καὶ ἀπὸ μικροτέρων ἀφορμῶν ἔστιν ὅτε, διὰ τὸ καὶ τὸν ἄλλον ὁρᾶν ἐπιτυγχάνοντα. — 5. Προάγει] παρακινεῖ. (λ. Ἀύγ.) — 6. Ἐλευθερίας ἢ ἄλλων ἀρχῆς] Ποτίδαια περὶ ἐλευθερίας, Ἀθῆναι περὶ ἄλλων ἀρχῆς, ἔν τε Σικελίᾳ καὶ πολλαχοῦ. — 7. Ἕκαστος ἀλογίστως — —] καὶ ἕκαστος, φησὶ, τῶν πολιτῶν μετὰ τοῦ κοινοῦ ἀλογίστως μειζόνως δοξάζει, καὶ ἐλπίζει νικῆσαι. — 8. Ἁπλῶς τε —] ταῦτα πρὸς Κλέωνα.

μς' 12. Οὔκουν χρὴ — —] ἐάν τε, φησὶ, θανάτῳ διαχρήσησθε Μιτυληναίους, ἐάν τε ἄλλῳ τῳ δεινῷ τούτους κολάσαντες νομίσητε ἀσφαλῶς ἕξοντες ὑπὸ χεῖρα τὰς πόλεις τὰς λοιπὰς, οὐ κα-

Ὑποτιθεῖσα. H. ὑποθεῖσα cum τι s. v. al. man.

Πλεῖστα βλάπτουσι. C. F. βλάπτ. πλεῖστ.

6. Ἐλευθερίας. C. F. τε ἐλευθ.

Ἀρχῆς. Colon post hoc voc. cum Haack. et Bekk. in comma mutavimus, ut ὅσῳ etiam ad sequens membrum spectet. Add. not. et I, 1. p. 194.

Αὐτόν. Bar. Ald. Flor. Bas. αὐτόν, Cass. Cl. F. It. Vat. Reg. (G.) Gr. D. E. Vind. m. Ar. Chr. αὐτῶν. Pal. aut αὐτῶν aut αὐτῶν.

7. Τῆς ἀνθρωπείας. Τῆς om, It. Pro ἀνθρωπείας Vat. ἀνθρωπείνης. H. Reg. (G.) ἀνθρωπίνης. At vid. adnot. ad I, 22.

Ἰσχύϊ. D. ἰσχύει.

Ἄλλῳ τῳ. Ante Gotl. ἄλλῳ τῷ. Reg. ἄλλῳ τῳ. Nec aliter Cass., sed hic ab emendat. et cum vestigiis erasi accentus in τῳ. „Puto recte esse in Reg. τῳ pro τινί, ut alibi millies." DUK.

Cap. XLVI. Οὔκουν — ζημίᾳ. Bekk. Anecdd. p. 57. Pal. οὐκ οὖν.

Τοῦ θανάτου. Τοῦ om. E.

Digitized by Google

ἐχεγγύῳ πιστεύσαντας χεῖρον βουλεύσασθαι, οὔτε ἀνέλπιστον καταστῆσαι τοῖς ἀποστᾶσιν, ὡς οὐκ ἔσται μεταγνῶναι, καὶ ὅτι ἐν βραχυτάτῳ τὴν ἁμαρτίαν καταλῦσαι. 2. σκέψασθε γὰρ, ὅτι νῦν μὲν, ἢν τις καὶ ἀποστᾶσα πόλις γνῷ μὴ περιεσομένη, ἔλθοι ἂν ἐς ξύμβασιν, δυνατὴ οὖσα ἔτι τὴν δαπάνην ἀποδοῦναι, καὶ τὸ λοιπὸν ὑποτελεῖν· ἐκείνως δὲ τίνα οἴεσθε ἢν τινα οὐκ ἄμεινον 197 μὲν ἢ νῦν παρασκευάσασθαι, πολιορκίᾳ τε παρατενεῖσθαι ἐς τοὔσχατον, εἰ τὸ αὐτὸ δύναται σχολῇ καὶ ταχὺ

λῶς ἔσεσθε βεβουλευμένοι. ἡ γὰρ ἀνθρωπίνη φύσις ὀξύῤῥοπος οὖσα οὐκ ἀνακοπήσεται τῇ ὁρμῇ τῇ τοιαύτῃ ὑμῶν ἀσφαλείᾳ. (Βασ.) — 1. Ἐχεγγύῳ] βεβαίῳ, ἰσχυρᾷ, ἐγγυησαι δυναμένῃ. — Οὔτε ἀνέλπιστον κατασ. τ. ἀποστ.] τῷ ψηφίσασθαι θάνατον Μιτυληναίων, ὡς ὁ Κλέων ἠξίου. τὸ δὲ οὔκουν χρὴ ἀπὸ κοινοῦ [λητέον]. — 3. Ἐν βραχυτάτῳ] καιρῷ δηλονότι. — 5. Γνῷ μὴ περισομένη] ἀντὶ τοῦ ἀπελπίσασα τοῦ περιεῖναι καὶ σωθῆναι. ὁ δὲ νοῦς τοιοῦτος, ὅτι, ἐάν τις ἀποστῇ ἀφ' ἡμῶν πόλις, πάλιν αὐτὴν ἀναληψόμεθα, καὶ τὰς δαπάνας οὐκ ἀπολέσομεν, διὰ τὸ ἐλπίδα αὐτοῖς ζωῆς νομοθετῆσαι. ταῦτα δὲ πρὸς τὸν Κλέωνα, εἰπόντα ἰδ. κεφ. λθ'. §. ή. „ἡμῖν δὲ πρὸς ἑκάστην πόλιν ἀποκεκινδυνεύσεται τά τε χρήματα καὶ αἱ ψυχαί." — Ξύμβασιν] φιλίαν. (λ. Κασσ. Ἀύγ.) — 7. Ἐκείνως] ἀλλοτρόπως. (λ. Κασσ. Ἀύγ.)

Ἐχεγγύῳ. Hinc respiciunt Suid. Zon. Phavor. Vid. adnot. Wass.

Οὔτε. E. καὶ οὔτε.

Ἔσται. Cass. Aug. Mosqu. ἔστι.

Καταλῦσαι. Ed. Bas. (non cod. Bas.) καταλοῦσαι.

2. Σκέψασθε. D. σκέψασθαι.

Καί om. Ar. Chr. Dan. Sed pertinet ad ἀποστᾶσα, hoc modo, ἤν τις πόλις καὶ (καίπερ) ἀποστ.

Γνῷ μή. Cl. It. Gr. γνώμη. Pal. γνώμῃ.

Ἔλθοι. Reg. ἔλθοιεν. I. ἔλθῃ.

Τίνα. F. τί γάρ. Pro ἐκείνως Vind. ἐκεῖνος.

Ἢν τινα. Cass. Gr. ἤν τινα. Vind. ὅν τινα.

Παρασκευάσασθαι Cass. Aug. Pal. It. Vat. H. Reg. (G.) Gr. D. I. E. Vind. Ald. Haack. Bekk. Vulgo παρασκευάσεσθαι sicut cod. Bas. ex emend. Cf. I. 1. p. 275. Vulgatam tamen aliquantum commendant Cleonis verba τίνα οἴεσθε ὄντινα οὐ — ἀποστήσεσθαι 39, 7. Statim πολιορκία δέ cum Reisk. qui malit, videat I. 1. p. 277.

Τοὔσχατον. C. τὸ ἔσχ.

Εἰ. Cass. Cl. C. Pal. It. H. Reg. (G.) B. D. (pro quo E. male nominat Bekk.) I. Ar. Bar. Ald. Flor. Bas. Vall. ᾗ, quod in m. supra scr., sed C. in marg. al. man. εἰ habet. Ante ᾗ, quod Kistem. et Bened. probant, Cass. habet distinctionem minimam, Gr. maximam, Port. interrogandi signum. Sed nihil ex his aptum esse vix est cur in adnott. demonstremus. Vid. Grammii animadvv. in Schol.

Ταχύ. Reg. (G.) ταχεῖ. B. ταχι. Antea Ald. σχολή.

Digitized by Google

ξυμβῆναι; 3. ἡμῖν τε πῶς οὐ βλάβη δαπανᾶν καθημένοις διὰ τὸ ἀξύμβατον, καὶ ἣν ἕλωμεν πόλιν, ἐφθαρμένην παραλαβεῖν, καὶ τῆς προσόδου τὸ λοιπὸν ἀπ' αὐτῆς στέρεσθαι; ἰσχύομεν δὲ πρὸς τοὺς πολεμίους τῷδε. 4. ὥστε οὐ δικαστὰς ὄντας δεῖ ἡμᾶς μᾶλλον τῶν ἐξαμαρτανόντων ἀκριβεῖς βλάπτεσθαι, ἢ ὁρᾶν, ὅπως ἐς τὸν ἔπειτα χρόνον μετρίως κολάζοντες, ταῖς πόλεσιν ἔξομεν ἐς χρημάτων λόγον ἰσχυούσαις χρῆσθαι· καὶ τὴν φυλακὴν μὴ ἀπὸ τῶν νόμων τῆς δεινότητος ἀξιοῦν ποιεῖσθαι, ἀλλ' ἀπὸ τῶν ἔργων τῆς ἐπιμελείας. 5. οὗ νῦν τἀναντία δρῶντες, ἤν τινα ἐλεύθερον καὶ βίᾳ ἀρχόμενον, εἰκότως πρὸς αὐτονομίαν ἀποστάντα, χειρωσώμεθα, χαλεπῶς οἰόμεθα χρῆναι τιμωρεῖσθαι. 6. χρὴ δὲ τοὺς ἐλευθέρους οὐκ, ἀφισταμένους, σφόδρα κολάζειν, ἀλλὰ, πρὶν ἀποστῆναι, σφόδρα φυλάσσειν, καὶ προκαταλαμβάνειν, ὅπως μηδ' ἐς ἐπίνοιαν τούτου ἴωσι, κρατήσαντάς τε ὅτι ἐπ' ἐλάχιστον τὴν αἰτίαν ἐπιφέρειν."

2. *Διὰ τὸ ἀξύμβατον*] *διὰ τὸ ἀσυγχώρητον.* — 3. *Παραλαβεῖν*] *ἀπὸ κοινοῦ τὸ πῶς οὐ βλάβη ἡμῖν;* (*λ. Κασσ. Αὐγ.*) — *Τῆς προσόδου*] *τοῦ κέρδους.* (*λ. Κασσ.*) — 4. *Τῷδε*] *τῇ προσόδῳ καὶ φορολογίᾳ.* — 8. *Λογον*] *ἀπαρίθμησιν. πρὸς τὸν Κλέωνα καὶ ταῦτα.* — 11. *Δρῶντες*] *ἡμεῖς οἱ Ἀθηναῖοι. τὸ ἐξῆς* [*τοῦ λόγου*], *ἤν τινα ἀποστάντα χειρωσώμεθα, χαλεπῶς οἰόμεθα χρῆναι τιμωρεῖσθαι,* — *Βίᾳ*] *ἀκουσίως.* (*λ. Κασσ. Αὐγ.*) — 14. *Ἀφισταμένους*] *τοῦ ἄρχεσθαι. τὸ ἐξῆς, ἀφισταμένους οὐ σφόδρα κόλάζειν.* (*λ. Κασσ. Αὐγ.*) — 16. *Τούτου*] *τοῦ ἀποστῆναι.* — 17. ** *Ἐπιφέρειν*] *ἀπὸ κοινοῦ τὸ χρή.* (*Αὐγ.*)

3. Ἡμῖν τε. Reg. (G.) ἡμ. δέ. *Παραλαβεῖν.* C. παραβαλεῖν, al. man. παραλαβ.
Τὸ λοιπόν. Τό om. Ar.

5. *Τἀναντία* Cass. Aug. Cl. It. Vat. H. Reg. (G.) Bekk. Vulgo (et Haack.) τοὐναντίον.

6. Ἐς E. Bekk. pro vulg. (et Haack.) εἰς. (Vind. εἶς.) Cf. I. 1. p. 212. cum Farr. discr. script.
Ἐπίνοιαν. Reg. (G.) ἀπόνοιαν, sed ἐπι rec. man. super ἀπο.
Κρατήσαντας. Ar. Chr. κράτήσαντες.

Digitized by Google

(Ὅτι καὶ ὁ δῆμος ἐν ταῖς πόλεσιν Ἀθηναίων ἁλλοτριώσεται.)

μζ'. „Ὑμεῖς δὲ σκέψασθε ὅσον ἂν καὶ τοῦτο ἁμαρτάνοιτε, Κλέωνι πειθόμενοι. 2. νῦν μὲν γὰρ ὑμῖν ὁ δῆμος ἐν πάσαις ταῖς πόλεσιν εὔνους ἐστὶ, καὶ ἢ οὐ ξυναφίσταται τοῖς ὀλίγοις, ἢ, ἐὰν βιασθῇ, ὑπάρχει τοῖς ἀποστήσασι πολέμιος εὐθύς· καὶ τῆς ἀντικαθισταμένης πόλεως τὸ πλῆθος ξύμμαχον ἔχοντες, ἐς πόλεμον ἐπέρχεσθε. 3. εἰ δὲ διαφθερεῖτε τὸν δῆμον τῶν Μυτιληναίων, ὃς οὔτε μετέσχε τῆς ἀποστάσεως, ἐπειδή τε ὅπλων ἐκράτησεν, ἐκὼν παρέδωκε τὴν πόλιν, πρῶτον μὲν ἀδικήσετε, τοὺς εὐεργέτας κτείνοντες, ἔπειτα κατα στήσετε τοῖς δυνατοῖς τῶν ἀνθρώπων ὃ βούλονται μάλιστα· ἀφιστάντες γὰρ τὰς πόλεις, τὸν δῆμον εὐθὺς ξύμμαχον ἕξουσι, προδειξάντων ὑμῶν τὴν αὐτὴν ζημίαν τοῖς τε ἀδικοῦσιν ὁμοίως κεῖσθαι καὶ τοῖς μή. 4. δεῖ δὲ, καὶ εἰ ἠδίκησαν,

μζ'. 1. Τοῦτο] λείπει ἡ κατά. (λ. Ἀὐγ.) — 2. Νῦν μὲν γὰρ — —] πρὸς τὸ „καὶ μὴ τοῖς μὲν ὀλίγοις ἡ αἰτία προστεθῇ, τὸν δὲ δῆμον ἀπολύσητε“ [καὶ τὰ ἑξῆς. (λ. Κασσ.)] — 4. Τοῖς ὀλίγοις] τοῖς δυνατοῖς. (λ. Ἀὐγ.) — Ἐὰν βιασθῇ] συναποστῆναι δηλονότι. (λ. Ἀὐγ.) — Τοῖς ἀποστήσασιν] ἦγουν τοῖς ἄρχουσιν. (λ. Ἀὐγ.) — 5. Ἀντικαθισταμένης] ἐναντιουμένης. (λ. Ἀὐγ.) — 6. Ἐς πόλεμον ἐπέρχεσθε] τῇ πόλει ἐπέρχεσθε. — 8. Ὅπλων ἐκράτησεν] ἦγουν ὡπλίσθη. (λ. Ἀὐγ.) — 10. ** Τοῖς δυνατοῖς] τοῖς πλουσίοις. (Ἀὐγ.) — 12. Τὰς πόλεις] ἡμῶν δηλονότι. (λ. Ἀὐγ.) — 14. Κεῖσθαι] ὡρίσθαι. (λ. Ἀὐγ.)

Cap. XLVII. Ἁμαρτάνοιτε. Mosqu. ἁμαρτάνητε, male, quum πειθόμενοι idem valeat quod εἰ πείθοισθε.

2. Ὑμῖν om. C. In Mosqu. ἡμῖν.

Ἐν πάσαις. Gr. (non, ut Bekk. scribit, Mosqu.) ἔν τε πάσ. Statim ταῖς om. E. (non, ut idem Bekk. tradit, F.)

Καὶ ἢ. Ἢ om. C. F. Gr. E.

Ὀλίγοις. E. Mosqu. λόγοις, quae vocabula saepius permutata videbimus.

Ἐάν. Mosqu. Dan. ἄν. At vid. adnot. ad IV, 46.

Ὑπάρχει om. E.

Πολέμιος. D. πολεμίοις.

Ἀντικαθισταμένοις. C. ἀντικαθισταμένης, cum οις s. ης al. man.

3. Τῶν Μυτιληναίων. Τῶν Cass. Aug. Cl. C. Pal. It. Vat. Gr. D. Haack. Vulgo (et Bekk.) τόν. Vid. de Art. crit. p. 132. Artic. om. Ar. Chr. Dan.

Ὃ βούλονται. D. ὃ καὶ βούλ., non male.

Ἀφιστάντες. F. ἀφιστάντας.

Ἕξουσι. C. praeter hoc statim ἔχουσι habet. Idem antea δῆμος, nisi lapsi sunt Gail. typothetae.

Τμῶν. Cass. ἡμῶν.

4. Καὶ εἰ. Καί de. Ar. Chr. Dan.

Digitized by Google

μὴ προσποιεῖσθαι, ὅπως, ὃ μόνον ἡμῖν ἔτι ξύμμαχόν ἐστι, μὴ πολέμιον γένηται. 5. καὶ τοῦτο πολλῷ ξυμφορώτερον ἡγοῦμαι ἐς τὴν κάθεξιν τῆς ἀρχῆς, ἑκόντας ἡμᾶς ἀδικηθῆναι, ἢ δικαίως, οὓς μὴ δεῖ, διαφθεῖραι· καὶ τὸ Κλέωνος τὸ αὐτὸ δίκαιον καὶ ξύμφορον τῆς τιμωρίας οὐχ εὑρίσκεται ἐν αὐτῷ δυνατὸν ὂν ἅμα γίγνεσθαι."

(Παραίνεσις.)

μη'. „Ὑμεῖς δὲ, γνόντες ἀμείνω τάδε εἶναι, καὶ μήτε οἴκτῳ πλέον νείμαντες μήτ' ἐπιεικείᾳ, οἷς οὐδὲ ἐγὼ ἐῶ προσάγεσθαι, ἀπ' αὐτῶν δὲ τῶν παραινουμένων πείθεσθέ μοι, Μυτιληναίων οὓς μὲν Πάχης ἀπέπεμψεν ὡς ἀδικοῦντας, κρῖναι καθ' ἡσυχίαν, τοὺς δ' ἄλλους ἐᾶν οἰκεῖν. 2. τάδε γὰρ ἔς τε τὸ μέλλον ἀγαθὰ, καὶ τοῖς πολεμίοις ἤδη φοβερά. ὅστις γὰρ εὖ βουλεύεται, πρὸς

1. *Μὴ προσποιεῖσθαι*] μήτοι γε δεικνύειν τὸ γνῶναι, ἀλλὰ μηδὲ μέχρι σχήματος δεικνύειν τὴν ἀδικίαν ἐκείνων. (λ. Αὐγ.) — 3. *Τὴν κάθεξιν*] τὴν ἀσφάλειαν, καὶ κατοχὴν καὶ κράτησιν. — 5. *Καὶ τὸ Κλέωνος τὸ αὐτὸ δίκ. καὶ ξύμφ.*] πρὸς τὸ „πειθόμενοι μὲν ἐμοὶ τά τε δίκαια ἐς Μιτυληναίους καὶ τὰ ξύμφορα ἅμα ποιήσετε." ἰδ. κεφ. μ'. §. δ'.

μη'. 8. ** *Ὑμεῖς δὲ*] οἱ ἐπίλογοι. (Αὐγ.) — *Ἀμείνω*] τῶν βουλευμάτων τοῦ Κλέωνος δηλονότι. (λ. Αὐγ.) — 9. *Οἷς*] οἴκτῳ καὶ ἐπιεικείᾳ. (λ. Κασσ.) — 10. *Τῶν παραινουμένων*] τῆς ἐμῆς παραινέσεως. (λ. Αὐγ.)

Προσποιεῖσθαι. Dan. ποιεῖσθαι.

Ἡμῖν. m. Dan. ὑμῖν.

5. *Καὶ τοῦτο — ἀρχῆς.* „Thom. Mag. in κατάσχεσις." DUK.

Ξυμφορώτερον. Cass. Pal. Vat. E. ξυμφερώτερον.

Κάθεξιν. Bekk. Anecdd. p. 105. Θουκυδ. τετάρτῳ, ubi lege τρίτῳ. Mosqu. κάθειρξιν.

Ξύμφορον. Mosqu. ξυμφέρον.

Δυνατόν om. Cl.

Ὄν in marg. al. man. scriptum habet I.

Cap. XLVIII. *Ὑμεῖς δέ. Δέ* om. Chr.

Μήτε Cass. C. F. Pal. It. Vat. Reg. (G.) Gr. B. D. E. (nisi quod postremus *μήτ'* exarat,) m. Ar. Chr. Dan. Ald. Flor. Bas. Steph. 1. Haack. Bekk. Male vulgo *μηδέ*.

Πλέον. Cod. Bas. πλέω.

Νείμαντες. C. μείναντες.

Πείθεσθε. Pal. H. Vat. m. πείθεσθαι.

Ἀπέπεμψε. B. ἀπέπεμψαν.

2. *Ἔς τε.* Ar. Chr. Dan. ἔσται πρός.

Ὅστις γὰρ — ἐπιών. „Stobaeus p. 366." [ubi cod. A. male vult esse ex l. V. δημηγορίας Κλέωνος.] WASS.

Βουλεύεται. Aug. Pal. It Vat.

Digitized by Google

τοὺς ἐναντίους κρείσσων ἐστὶν, ἢ μετ' ἔργων ἰσχύος ἀνοίᾳ ἐπιών."

(δ'. Δεύτερον ψήφισμα Ἀθηναίων καὶ ζημία Μυτιληναίων. μθ'. ν'. Παρὰ μικρὸν πάντες Μυτιληναῖοι διαφθείρονται.)

μθ'. Τοιαῦτα δὲ ὁ Διόδοτος εἶπε. ῥηθεισῶν δὲ τῶν γνωμῶν τούτων μάλιστα ἀντιπάλων πρὸς ἀλλήλας, οἱ Ἀθηναῖοι ἦλθον μὲν ἐς ἀγῶνα ὅμως τῆς δόξης, καὶ ἐγέ- 5 νοντο ἐν τῇ χειροτονίᾳ ἀγχώμαλοι· ἐκράτησε δὲ ἡ τοῦ Διοδότου. 2. καὶ τριήρη εὐθὺς ἄλλην ἀπέστελλον κατὰ σπουδὴν, ὅπως μὴ φθασάσης τῆς δευτέρας εὕρωσι διε-

1. Ἢ μετ' ἔργων ἰσχύος ἀνοίᾳ ἐπιών] ἢ ἀβούλως, δηλονότι ἰσχύϊ καὶ δυνάμει ἐργαζόμενος.

μθ'. 3. Τοιαῦτα μέν] τινὲς λέγουσιν ὅτι τοιαῦτα δὲ ὤφειλεν εἰπεῖν, ἐπειδὴ † ὀπίσω † εἶπε „τοιαῦτα μὲν ὁ Κλέων." ἀλλ' ἡμεῖς φαμὲν ὅτι ἐκεῖ καὶ τὸν δὲ ἀπέδωκεν, εἰπὼν „μετὰ ταῦτα δέ." — 5. Ἦλθον μὲν ἐς ἀγῶνα — τῆς δόξ.] ἀμφιβόλως ἔσχον καὶ ἐνδοιαστικῶς περὶ τὴν δόξαν. οὕτω γὰρ δεινῶς καὶ καλῶς εἰρήκασιν ἀμφότεροι, ὥστε ἀμφιβάλλειν αὐτοὺς, τίνι προστεθῶσιν. — * * Ἦλθον — δόξης] οἷον ἀντηγωνίζοντο καὶ ἐφιλονείκουν ἐφαμίλλως περὶ τῶν δοκούντων ἀλλήλοις. (Αὐγ.) — 6. Ἀγχώμαλοι] ἔγγὺς ἴσαι, καὶ σχεδὸν παραπλήσιοι. §. Ἰσοσθενεῖς.

ἰδ. κεφ. μά.

E. Dan. Stobaei cod. A. βούλεται, in Aug. tamen syll. υᾱ superscr. man. 2.

Ἐναντίους. „Stobaeus ἀντιπάλους contra mss. codd. repraesentat, quomodo legendum puto; ita enim noster [scriptor] passim. Demosth. περὶ Μεγαλοπ. ὡς ἀνταλλάξασθαι βουλοίμεθα ΑΝΤΙΠΑΛΟΤΣ, ita Xenophon, alii ὅσα κόνις". WASS. At vid. not.

Ἰσχύος ἀνοίᾳ. Reg. (G.) ἰσχύων ἰσχύ, sed vulg. superscr. Mosqu. ἀνοίας ἰσχύος.

Cap. XLIX. Τοιαῦτα δέ. F. Pal. It. Vat. Reg. (G.) Gr. Bekk. In C. τοιαῦτα δή. Vulgo τοιαῦτα μέν. Cf. script. discr. ad 1, 48, 5. Ne cura igitur Schol.

Διόδοτος. C. Διοτος. Deinde Pal. et Bekk. in mina. exempll. εἶπεν. Cf. Farr. discr. scrip.

Ῥηθεισῶν δέ. Δέ om. F.

Ἀλλήλας. Aug. (sed hic a corr.,) F. Pal. It. Vat. H. Reg. (G.) I. Vind. Ar. Chr. Dan. Ald. Flor. Bas. ἀλλήλους, quod frustra defendit Bened.

Ἀγῶνα. Cod. Bas. E. ἀγῶναϛ.

Ὅμως. Male a nonnullis sollicitari I. 1. p. 290. demonstravimus.

Τῆς δόξης. Τῆς om C.

Ἀγχώμαλοι. Reg. (G.) ἀγχόμαλοι. At vid. Lob. ad Phryn. p. 709. Dan. ἀγχώμαλον.

2. Ἀπέστελλον. Aoristum exspectaveris. Vid. I. 1. p. 155. et de locis, in quibus imperf. pro aor. poni potest, ad Lucian. D. D. II, 4. ed. 3.

Δευτέρας. Cl. in marg., D. I. προτέρας, atque etiam in F. προ s. δεν ead. man. script. In Ar. Clr. Dan. ἑτέρας. Quarum scripturarum etsi alterutra requiri videatur, utraque tamen corre-

Digitized by Google

φθαρμένην τὴν πόλιν· προεῖχε δὲ ἡμέρᾳ καὶ νυκτὶ μάλιστα. 3. παρασκευασάντων δὲ τῶν Μυτιληναίων πρέσβεων τῇ νηῒ οἶνον καὶ ἄλφιτα, καὶ μεγάλα ὑποσχομένων εἰ φθάσαιεν, ἐγένετο σπουδὴ τοῦ πλοῦ τοιαύτη, ὥστε ἤσθιόν τε ἅμα ἐλαύνοντες οἴνῳ καὶ ἐλαίῳ ἄλφιτα πεφυραμένα, καὶ οἱ μὲν ὕπνον ᾑροῦντο κατὰ μέρος, οἱ δὲ ἤλαυνον. 4. κατὰ τύχην δὲ πνεύματος οὐδενὸς ἐναντιωθέντος, καὶ τῆς μὲν προτέρας νεὼς οὐ σπουδῇ πλεούσης ἐπὶ πρᾶγμα ἀλλόκοτον, ταύτης δὲ τοιούτῳ τρόπῳ ἐπειγομένης, ἡ μὲν ἔφθασε τοσοῦτον, ὅσον Πάχητα ἀνε-
199. γνωκέναι τὸ ψήφισμα, καὶ μέλλειν δράσειν τὰ δεδογμένα· ἡ δ' ὑστέρα αὐτῆς ἐπικατάγεται, καὶ διεκώλυσε μὴ διαφθεῖραι. παρὰ τοσοῦτον μὲν ἡ Μυτιλήνη ἦλθε κινδύνου.

1. *Προεῖχε δέ*] *τοῦ πλοῦ δηλονότι.* (*λ. Αὐγ.*) — 6. *Ἠιροῦντο*] *ἐλάμβανον.* (*λ. Κασσ. Αὐγ.*) — *Κατὰ μέρος*] *κατὰ διαδοχὴν μεριστήν.* (*λ. Αὐγ.*) — 11. *Τὰ δεδογμένα*] *τῇ βουλῇ δηλονότι.* (*λ. Αὐγ.*) — 13. *Παρὰ τοσοῦτον μὲν — κινδύνου*] *ἀντὶ τοῦ εἰς τοσοῦτον ἦλθε κινδύνου, ὥστε καὶ ἀναγνωσθῆναι τὸ περὶ τοῦ θανάτου ψήφισμα. ἢ ἀντὶ τοῦ παρὰ μικρόν· ἔμελλε γὰρ εὐθὺς πράξειν τὰ ἐπισταλέντα ὁ Πάχης.*

ctionem nimis redolet, quam quae probetur. Ex Vallae interpretatione „*ne forte non assecuta haec priorem, quae uno ferme die et nocte praecesserat, extinctam offenderet civitatem.*“ aliter ab eo lectum esse non potest colligi. Nec quidquam iuvat Schol. Aristoph. ad Equ. v. 831. aut Schol. Lucian. t. I. p. 158. Lehm. Vid. adnot. Punctum, quod vulgo post *πόλιν* est, in colon recte mutavit Bekk.

Ἡμέρᾳ καί. Vulgo *ἡμέρᾳ τε καί*, sed *τέ* om. Cass. Aug. Cl. C. F. (Pal.?) It. Vat. H. Reg. (G.) Gr. D. I. E. Ar. Chr. Dan. Haack. Bekk.

3. *Τῶν Μυτιλ. Τῶν* om. Gr.

Φθάσαιεν. Φθάσειαν postulabat mos Thucydidis. Vid. I. 1. p. 228. sed simul Matth. Gr. max. §. 198. 6.

Ἤσθιον. Pal. *εἴσθιον* aut *ἔσθιον.*

Ἄλφιτα. I. *ἄλφυτα.*

Πεφυραμένα Cass. Aug. Cl. It. Vat. Reg. (G.) D. m. Ar. Haack. Bekk. Vulgo *πεφυρμένα.* Vid. adnot. et interea Lob. ad Phryn. p. 705. et Buttm. Gr. max. Ind. verb. anom.

4. *Ἀλλόκοτον.* C. *ἀλόκοτον.* Vind. *ἀλλόκοντον.*

Τὸ ψήφισμα. Τό om. Mosqu.

Ὕστερα. Gr. Ar. Chr. Dan. male *ὑστεραία.* Cf., si operae pretium ducis, Duk. ad VII, 11. I. *ὕστερον.*

Διαφθεῖραι. G. *διαφθαρεῖναι* (non *διαφθαρῆναι*, quod ex Reg. enotaverat Duk.) D. *διαφθεῖρε*, *αῖ s. ε* ead. man. Ar. Chr. Dan. *φθεῖραι.*

Παρὰ κινδύνου. Ordinem Schol. Aristoph. l. d. mutat in *παρὰ τοσ. κινδ. ἡ Μιτ. ἦλθεν.* Pro *κινδ.* Vat. et Par. incertum quis *κακοῦ*, Vind. *κινδύνων.*

Digitized by Google

(Τῶν Μυτιλήνης τειχῶν κατασκαφὴ καὶ τῆς γῆς κληρουχία.)

ν'. Τοὺς δ' ἄλλους ἄνδρας, οὓς ὁ Πάχης ἀπέπεμψεν ὡς αἰτιωτάτους ὄντας τῆς ἀποστάσεως, Κλέωνος γνώμῃ διέφθειραν οἱ Ἀθηναῖοι· (ἦσαν δὲ ὀλίγῳ πλείους χιλίων·) καὶ Μυτιληναίων τείχη καθεῖλον, καὶ ναῦς παρέλαβον. 2. ὕστερον δὲ φόρον μὲν οὐκ ἔταξαν Λεσβίοις, κλήρους δὲ ποιήσαντες τῆς γῆς, πλὴν τῆς Μηθυμναίων, τρισχιλίους, τριακοσίους μὲν τοῖς θεοῖς ἱεροὺς ἐξεῖλον, ἐπὶ δὲ τοὺς ἄλλους σφῶν κληρούχους τοὺς λαχόντας ἀπέπεμψαν· οἷς ἀργύριον Λέσβιοι ταξάμενοι τοῦ κλήρου ἑκάστου τοῦ ἐνιαυτοῦ δύο μνᾶς φέρειν, αὐτοὶ εἰργάζοντο τὴν γῆν. 3. παρέλαβον δὲ καὶ τὰ ἐν τῇ ἠπείρῳ πολίσματα οἱ Ἀθηναῖοι, ὅσων Μυτιληναῖοι ἐκράτουν, καὶ ὑπήκουον ὕστερον Ἀθηναίων. τὰ μὲν κατὰ Λέσβον οὕτως ἐγένετο.

(6. Ἀθηναίων Νικίου στρατηγοῦντος στρατεία ἐπὶ Μίνωαν. να'.)

Ὀλ. πή'. ἔτ. α'. β'. πρὸ Χρ. νκ'. τοῦ ἤρος τελευτῶντος ἤδη.

να'. Ἐν δὲ τῷ αὐτῷ θέρει μετὰ τὴν Λέσβου ἅλωσιν Ἀθηναῖοι, Νικίου τοῦ Νικηράτου στρατηγοῦντος, ἐστράτευσαν ἐπὶ Μίνωαν τὴν νῆσον, ἣ κεῖται πρὸ Μεγάρων·

ν'. 6. Κλήρους] μερίδας. (λ. Αὐγ.) — Πλὴν τῆς Μηθυμναίων] οὗτοι γὰρ οὐκ ἀπέστησαν. — 7. Ἐξεῖλον] ἐξαιρέτους ἀνέθεσαν. (λ. Αὐγ.)

να'. 15. Ἐν δὲ τῷ αὐτῷ θέρει] μετάβασις.

Cap. L. Ἦσαν δέ — χιλίων. Haec in parenthesim redegimus, et post *χιλίων* minus plene interpunximus.

2. Ὕστερον δέ. E. ὕστ. μέντοι. Τῆς Μηθυμν. Ar. τῆς τῶν Μηθ. Pal. pro Μηθ. male Μυθ. Τρισχιλίους. Chr. χιλίους. Κλήρου. D. κλήρους. Εἰργάζοντο. Pal. Vat. ἠργάζ. Ar. Chr. Dan. ἐξειργάζ.

3. Ὕστερον Ἀθηναίων. Ar. Chr. Dán. Ἀθηναίων ὕστερον. Pro Ἀθηναίων Mosqu. Ἀθηναίοις. At vid. Matth. Gr. §. 340. Ante καὶ ὑπήκ. ante Haack. punctum erat.

Τὰ μέν. Mosqu. ταῦτα et in marg. ταῦτα.

Cap. LI. Μετὰ τήν. Τήν om. cod. Bas. Ar. Chr. Dan., per se non male, sicut μετὰ Ἰλίου ἅλωσιν habes I, 12., ubi vid. not. Pro Λέσβου C. Λέσβον.

Μίνωαν. Cass. Bekk. Μινώαν. Adiectivum a Μίνως ductum Μινῴος scribendum esse passim inculcat Etymologus, unde nostram insulam Μινῴαν appellatam esse non melius colligas, quam si, quod ex Νῖσος fiat adiectivum Νισαία, etiam oppidum Megarensium προπαροξυ-

Digitized by Google

ἐχρῶντο δὲ αὐτῇ πύργον ἐνοικοδομήσαντες οἱ Μεγαρῆς φρουρίῳ. 2. ἐβούλετο δὲ Νικίας τὴν φυλακὴν αὐτόθεν δι' ἐλάσσονος τοῖς Ἀθηναίοις, καὶ μὴ ἀπὸ τοῦ Βουδόρου καὶ τῆς Σαλαμῖνος εἶναι, τούς τε Πελοποννησίους, ὅπως μὴ ποιῶνται ἔκπλους αὐτόθεν λανθάνοντες, τριήρων τε, οἷον καὶ τὸ πρὶν γενόμενον, καὶ λῃστῶν ἐκπομπαῖς, τοῖς τε Μεγαρεῦσιν ἅμα μηδὲν ἐσπλεῖν. 3. ἑλὼν οὖν ἀπὸ τῆς Νισαίας πρῶτον δύο πύργω προέχοντε μηχαναῖς ἐκ θαλάσσης, καὶ τὸν ἔκπλουν ἐς τὸ μεταξὺ τῆς νήσου ἐλευθερώσας, ἀπετείχιζε καὶ τὸ ἐκ τῆς ἠπείρου, ᾗ κατὰ γέφυραν διὰ τενάγους ἐπιβοήθεια ἦν τῇ νήσῳ, οὐ πολὺ διεχούσῃ τῆς ἠπείρου. 4. ὡς δὲ τοῦτο ἐξειργάσαντο ἐν ἡμέραις ὀλίγαις, ὕστερον δὴ καὶ ἐν τῇ νή-

2. *Αὐτόθεν*] ἀπὸ τῆς Μινῴας. (λ. *Αὐγ.*) — 3. *Ἀπὸ τοῦ Βουδόρου*] ἀκρωτήριον τῆς Σαλαμῖνος. — 4. ** *Τούς τε Πελοπ.*] ἀπὸ κοινοῦ τὸ ἐβούλετο ὁ Νικίας. (*Αὐγ.*) — 5. *Αὐτόθεν*] ἀπὸ τῆς Μινῴας. (λ. *Αὐγ.*) — *Τριήρων τε, οἷον καὶ τὸ πρὶν γενόμ.*] ὅ τε Κνῆμος καὶ ὁ Βρασίδας οἱ Σπαρτιᾶται μετὰ τῶν νεῶν ἀπὸ Νισαίας ἐξαπίνης προσέπεσον τῷ Βουδόρῳ, ὥς φησιν ὁ Συγγραφεὺς ἐν τῇ δευτέρᾳ. — 9. *Τῆς νήσου*] τῆς Μινῴας. (λ. *Αὐγ.*) — *Ἡι*] ὅπου. (λ. *Αὐγ.*) id. Βιβλ. β'. κεφ. ηγ'. ηδ'.

τόνως exarandum esse affirmes. Add. I. 1. p. 235.

Μεγαρῆς Pal. Bekk. In C. *Μεγαρῆς*. Vulgo (et Haack.) *Μεγαρεῖς*. Cf. I. 1. p. 221. cum Farr. discr. script.

2. *Ἐβούλετο*. Gr. *ἐβουλεύετο*.

Αὐτόθεν. Chr. *αὐτόθι*.

Καὶ μή. *Μή* de. Dan. Post *εἶναι* autem cum Bekk. comma pro colo posuimus, alioquin etiam post *ἐκπομπ.* colon collocandum est.

Αὐτόθεν. It. Vat. Reg. (G.) *αὐτῶν*, quod Cl. in marg. habet. Dan. *αὐτόθι*.

Τριήρων τε. *Τέ* om. H. Reg. (G.) Pro eo *δέ* dant Ar. Chr. De accentu voc. *τριήρων* vid. adnot. ad IV, 26.

Ἐκπομπαῖς. H. *ἐκπομπάς*.

3. *Νισαίας*. Chr. male *Νισάίας*.

Πρῶτον om. F.

Δύο. F. Reg. (G.) *δύω*, et ω etiam in Aug. a, man. 2. superscr., sed non esse Atticum nunc inter omnes constat. Vid. quos laudat Matth. Gr. §. 188. t.

Προέχοντε. I. *προέχοντο*.

Ἀπετείχιζε. „ Distinctionem post *ἀπετ.* sustuli fretus auctoritate codd. mss. " HUDS.

Ἡι. Pal. *ᾗ*. It. *ἡ*.

Τενάγους. D. I. *τενέγους*., *ᾱ s. ν̄ε* al. man.

Ἐπιβοήθεια. Pal. *ἐπιβοηθείαι*. Reg. Gr. *ἐπὶ βοηθείᾳ*. Mosqu. *ἐπιβοηθεία*. (Falsa tradit Bekk.)

4. *Ἐξειργάσαντο*. D. Vind. Mosqu. Ar. Chr. *ἐξειργάσατο*. At vid. I. 1. p. 96. Cod. Bas. ex emend. *ἐξήργαστο*.

Ὀλίγαις E. et post *ἡμέρ.* habet et erasum ante *ἡμ.*

Digitized by Google

σφ τεῖχος ἐγκαταλιπὼν καὶ φρουρὰν, ἀνεχώρησε τῷ στρατῷ.

(7. Πλαταιῶν ἅλωσις καὶ δίκη. νβ' — ξή. α') Πλαταιῆς τὴν πόλιν παραδόντες δίκην ὑπέχουσιν. νβ'.)

νβ'. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ θέρους τού- ἰδ. κεφ. νά. του καὶ οἱ Πλαταιῆς, οὐκέτι ἔχοντες σῖτον, οὐδὲ δυνά- 200. μενοι πολιορκεῖσθαι, ξυνέβησαν τοῖς Πελοποννησίοις τοιῷδε τρόπῳ. 2. προσέβαλον αὐτῶν τῷ τείχει, οἱ δὲ οὐκ ἐδύναντο ἀμύνεσθαι· γνοὺς δὲ ὁ Λακεδαιμόνιος ἄρχων τὴν ἀσθένειαν αὐτῶν, βίᾳ μὲν οὐκ ἐβούλετο ἑλεῖν· (εἰρημένον γὰρ ἦν αὐτῷ ἐκ Λακεδαίμονος, ὅπως, εἰ σπονδαὶ γίγνοιντό ποτε πρὸς Ἀθηναίους, καὶ ξυγχωροῖεν, ὅσα πολέμῳ χωρία ἔχουσιν ἑκάτεροι, ἀποδίδοσθαι, μὴ ἀνάδοτος εἴη ἡ Πλάταια, ὡς αὐτῶν ἑκόντων προσχωρησάντων·) προσπέμπει δὲ αὐτοῖς κήρυκα, λέγοντα, εἰ βούλονται παραδοῦναι τὴν πόλιν ἑκόντες τοῖς Λακε-

νβ'. 6. *Αὐτῶν*] τῶν Πλαταιέων. (λ. Αὐγ.) — 9. *Εἰρημένον γὰρ ἦν αὐτῷ*] ἀντίπτωσις, ἤτοι αἰτιατικὴ ἀντὶ γενικῆς. ἀντὶ τοῦ εἰρημένου γὰρ αὐτῷ εἶπεν. — *Ἐκ Λακεδαίμονος*] ἐκ τῆς βουλῆς τῶν Λακεδαιμονίων. (λ. Αὐγ.) — 12. *Μὴ ἀνάδοτος εἴη*] μὴ ἀποδοθῇ δηλονότι ὀπίσω, μὴ ἀποδόσιμος γένοιτο. — 13. *Προσπέμπει δέ*] οὗτος ὁ δὲ πρὸς τὸν μέν. προεῖπε γὰρ ὅτι „βίᾳ μὲν οὐκ ἐβούλετο ἑλεῖν."

Cap. LII. *Πλαταιῆς* C. Bekk. Vulgo *Πλαταιῆς*. Plerique libri et Haack. *Πλαταιεῖς*. Cf. I. 1. p. 221. cum Farr. discr. script.

Οὐκέτι. C. F. *οὐκ*.

2. *Προσέβαλον*. C. Vind. m. *προσέβαλλον*.

Αὐτῶν om. Aug. Ar. Chr. Dan.

Ἐδύναντο Cass. Pal. It. cod. Bas. Gr. D. E. m. Bekk. Vulgo (et Haack.) *ἠδ*. Cf. I. 1. p. 226.

Ἀμύνεσθαι. D. E. *ἀμύνασθαι*. Post quod verbum Haack. pro dimidia distinctione recte plenam posuit.

Λακεδαιμόνιος. D. *Λακεδαιμονίοις*.

Αὐτῶν om. Cass. Cl., quae omissio non displicebat Wassio. Pro *ἐβούλετο* Schol. ad. v. 13. vulgo *ἐβούλοντο*, sed secus Aug.

Γάρ. Mosqu. a man. 2., a 1. *γ'*. Suspectum Haackio. Vid. adnot.

Ἦν suspectum reddit Schol. Vid. adnot.

Γίγνοιντο. E. *γένοιντο*.

Μὴ ἀνάδοτος — Πλάταια. „Τὸ μετὰ τὴν πρᾶσιν ἀποδοθὲν ἀνάδοτον ἄν τις εἰπεῖν δύναιτο, εἰπόντος Θουκυδίδου, μὴ ἀνάδοτος εἴη Πλαταιά. Poll. l. VII. c. 2. [13.] ubi *Πλάταια*, non *Πλαταιά* scribendum, ut docet Eustath. ad Hom. Il. *β'*. 201. et 203. ed. Bas." HUDS.

Προσχωρησάντων. Pal. *προχωρ*.

Προσπέμπει. Ar. Chr. Dan. *προπέμπει*. At vid. Duk. ad VII, 3.

Digitized by Google

δαιμονίοις, καὶ δικασταῖς ἐκείνοις χρήσασθαι, τούς τε ἀδίκους κολάζειν, παρὰ δίκην δὲ οὐδένα. 3. τοσαῦτα μὲν ὁ κήρυξ εἶπεν. οἱ δὲ (ἦσαν γὰρ ἤδη ἐν τῷ ἀσθενεστάτῳ) παρέδοσαν τὴν πόλιν. καὶ τοὺς Πλαταιέας ἔτρεφον οἱ Πελοποννήσιοι ἡμέρας τινάς, ἐν ὅσῳ οἱ ἐκ τῆς Λακεδαίμονος δικασταὶ πέντε ἄνδρες ἀφίκοντο. 4. ἐλθόντων δὲ αὐτῶν, κατηγορία μὲν οὐδεμία προετέθη· ἠρώτων δὲ αὐτοὺς ἐπικαλεσάμενοι τοσοῦτον μόνον, εἴ τι Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους ἐν τῷ πολέμῳ τῷ καθεστῶτι ἀγαθόν τι εἰργασμένοι εἰσίν. 5. οἱ δ' ἔλεγον, αἰτησάμενοι μακρότερα εἰπεῖν, καὶ προτάξαντες σφῶν αὐτῶν Ἀστύμαχόν τε τὸν Ἀσωπολάου καὶ Λάκωνα τὸν Ἀειμνήστου, πρόξενον ὄντα Λακεδαιμονίων· καὶ ἐπελθόντες ἔλεγον τοιάδε.

2. ** *Δίκην*] κρίσιν. (Βασ.)

Τέ. C. Gr, *δέ*. Cod. Bas. ex emend. *γέ*. Exspectaveris cum Reisk. potius *μέν*. Vid. tamen adnot. et interea I. 1. p. 276.

3. *Τοσαῦτα*. Flor. *ταῦτα*.

Ἐκ τῆς. *Τῆς* om. F.

4. *Κατηγορία*. Pal. G. *κακηγορία*, sed in G. *τ* s. *κη*.

Οὐδεμία. Cass. Chr. *οὐδὲ μία*.

Προετέθη. E. *προσετ*.

Τοσοῦτον μόνον. *Μόνον* om. D. I. „Stephanus ad script. de Dial. p. 105., quia *τοσοῦτον* per se significat *hoc solum*, sive *non aliud quam hoc*, *μόνον* abundare existimat. Sed hoc satis obvium est." DUK.

Εἴ τι. Gr. om. *τί*. „*Παρέλκον* particulae *τί* inusitatius. Et certe tantum uno loco positum sufficere poterat. Mox c. 54., ubi haec repetuntur, omittitur loco posteriore. In Gr. hic abest loco priore. Eadem varietas est c. 68. [ubi alterum *τί* cum codd. delevimus, quamquam Bredowio placere docet eius adnot. ad c. 54.]" DUK. „Vid. Abresch. p. 332." GOTTL. Valla: „*numquid de Lacedaemoniis — quippiam bene meriti essent.*" Cf. etiam Schol. Arist. p. 201.

Ἐν τῷ πολέμῳ τῷ καθεστῶτι. Reg. (G.) om. *τῷ καθ.*, sicut c. 68. simpliciter *ἐν τῷ πολέμῳ* dicitur, et passim Thucydidi *ὁ πόλεμος* est bellum Peloponn. Sed eidem *καθίσταται ὁ πόλεμος* frequens dicendi genus (vid. Ind. verb.) et c. 54. locum verborum *τῷ καθ.* tenet *τῷδε*. Caeterum alterum *τῷ* om. Gr. et pro priore (aut *ἐν τῷ*) Mosqu. *αὐτῷ* habet.

Ἀγαθόν τι om. E. et *τί* etiam cod. Bas., sed ex emend.

Εἰργασμένοι. Chr. male. *εἰργασάμενοι*.

5. *Προτάξαντες*. Cod. Bas. *προσκαλεσάμενοι*.

Καὶ ἐπελθόντες om. Ar. Chr. Dan. *Καὶ ἐλθ.* praebet C. At vid. Ind. in *ἐπέρχεσθαι*. „Ante *καὶ ἐπελθόντες* colon [pro virgula] ponas, ut prius *ἔλεγον* ad Plataeenses omnes, posterius ad oratores solum referatur." HAACK. Cf. I. 1. p. 291. Pro

Digitized by Google

(β'. Λόγος Πλαταιῶν. νγ' — νθ'.)

(Προοίμιον περὶ τῆς αὐτῶν ἀπορίας τε ἅμα καὶ ἀνάγκης τοῦ λέγειν.)

νγ'. „Τὴν μὲν παράδοσιν τῆς πόλεως, ὦ Λακεδαιμόνιοι, πιστεύσαντες ὑμῖν ἐποιησάμεθα, οὐ τοιάνδε δίκην οἰόμενοι ὑφέξειν, νομιμωτέραν δέ τινα ἔσεσθαι, καὶ ἐν δικασταῖς οὐκ ἐν ἄλλοις δεξάμενοι, ὥςπερ καὶ ἐσμὲν, γενέσθαι ἢ ὑμῖν, ἡγούμενοι τὸ ἴσον μάλιστ' ἂν φέρεσθαι. 2. νῦν δὲ φοβούμεθα μὴ ἀμφοτέρων ἅμα ἡμαρτήκαμεν. τόν τε γὰρ ἀγῶνα περὶ τῶν δεινοτάτων εἶναι εἰκότως ὑποπτεύομεν, καὶ ὑμᾶς, μὴ οὐ κοινοὶ ἀποβῆτε, τεκμαιρόμενοι προκατηγορίας τε ἡμῶν οὐ προγεγενημέ-

νγ'. 1. Τὴν μὲν παράδοσιν — —] ἡ δημηγορία τῶν Πλαταιέων δικανικωτέρα ἐστί· τὸ δὲ προοίμιον ἐξ αὐτοῦ τοῦ πράγματος καὶ ἐκ προσοχῆς. — 2. Πιστεύσαντες ὑμῖν — οὐ τοιάνδε — —] κατὰ δύο, φησὶ, τρόπους προὐθυμήθημεν ἐγχειρίσαι ὑμῖν τοῖς Λακεδαιμονίοις τὴν πόλιν, κατά τε τὸ μὴ περὶ θανάτου κριθῆναι, ἀλλὰ περί τινος μαλακωτέρας ζημίας, καὶ καθὸ δικαίους ὑμᾶς κριτὰς ἡγησάμεθα γενέσθαι. νῦν δὲ, φησὶ, φοβούμεθα μὴ ἀμφοτέρων ἅμα ἡμαρτήκαμεν. καὶ τὴν αἰτίαν εὐθὺς ἐπιφέρει· τόν τε γὰρ ἀγῶνα, [φησὶ, καὶ τὰ ἑξῆς.] — 4. Οὐκ ἐν ἄλλοις] ἢ ὑμῖν. τὸ δὲ ἑξῆς, καὶ ἐν δικασταῖς οὐκ ἐν ἄλλοις δεξάμενοι γενέσθαι, ὥςπερ καὶ ἐσμὲν ἄρτι κρινόμενοι ὑφ' ὑμῶν. — 5. Τὸ ἴσον] τὸ δίκαιον. — Φέρεσθαι] ἀποφέρεσθαι. (λ. Αὐγ.) — 7. Περὶ τῶν δεινοτάτων] περὶ τοῦ θανάτου. — 8. Μὴ οὐ κοινοί] [μὴ οὐκ ἴσοι, (λ. Αὐγ.)] μὴ οὐ δίκαιοι, ἀλλ' ἑτεραλκέα τὴν νίκην ποιήσητε. — 9. Τεκμαιρόμενοι] ἡμεῖς δηλονότι.

τοιάδε cod. Bas. τάδε. At vid. Wass. ad VI, 8.

Cap. LIII. Τὴν μέν. Dan. εἰ μέν.

Ἔσεσθαι. Quae sequuntur ad ἢ ὑμῖν l. om., sed marg. al. man. suppl. Post proximum καί autem non male comma ponas, ut οἰόμ. καὶ ἡγούμ. cohaereant, verba autem ἐν δικασταῖς — ἢ ὑμῖν causam huius Plataeensium opinionis contineant. Colon saltem tam hic quam post ὑμῖν cum Bekk. in comma mutavimus.

Ἐν ἄλλοις. In praeposit. repetita fortasse cum Heilm. haereas. Quae tamen nonnumquam etiam ante appositionem accedit. Cf. Voigtl. ad Lucian. D. Mort. XIV, 5. Add. Bredow. ad h. l.

Ὥςπερ. Dan. ὡς. Statim καί om. D. Verba ἢ ὑμῖν leviter suspecta reddit Schol.

Ἴσον. Pal. ἴσον. At vid. I. 1. p. 214.

Μάλιστ' ἄν. Cod. Bas. ἂν μάλιστ' ἄν.

2. Μὴ ἀμφοτέρων s. v. al. man. G.

Ἡμαρτήκαμεν. D. ἡμαρτήκωμεν. At vid. I. 1. p. 135.

Κοινοί. C. Gr. Mosqu. κοινῇ, in C. tamen οι s. η al. man.

Προγεγενημένης. Chr. προγενομένης.

Digitized by Google

νης, ᾗ χρὴ ἀντειπεῖν, (ἀλλ' αὐτοὶ λόγον ἠτησάμεθα,) τό τε ἐπερώτημα βραχὺ ὂν, ᾧ τὰ μὲν ἀληθῆ ἀποκρίνασθαι, ἐναντία γίγνεται, τὰ δὲ ψευδῆ, ἔλεγχον ἔχει. 3. πανταχόθεν δὲ ἄποροι καθεστῶτες, ἀναγκαζόμεθα, καὶ ἀσφαλέστερον δοκεῖ εἶναι, εἰπόντας τι κινδυνεύειν. καὶ
201. γὰρ ὁ μὴ ῥηθεὶς λόγος τοῖς ὧδ' ἔχουσιν αἰτίαν ἂν παράσχοι, ὡς, εἰ ἐλέχθη, σωτήριος ἂν ἦν. 4. χαλεπῶς δὲ ἔχει ἡμῖν πρὸς τοῖς ἄλλοις καὶ ἡ πειθώ. ἀγνῶτες μὲν γὰρ ὄντες ἀλλήλων, ἐπειςενεγκάμενοι μαρτύρια ὧν ἄπειροι ἦτε, ὠφελούμεθ' ἄν· νῦν δὲ πρὸς εἰδότας πάντα λελέξεται, καὶ δέδιμεν οὐχὶ, μὴ, προκαταγνόντες ἡμῶν τὰς ἀρετὰς ἧσσους εἶναι τῶν ὑμετέρων, ἔγκλημα αὐτὸ ποιῆτε, ἀλλὰ μὴ, ἄλλοις χάριν φέροντες, ἐπὶ διεγνωσμένην κρίσιν καθιστώμεθα."

2. Ὡι] τῷ ἐρωτήματι. (λ. Αὐγ.) — 6. Ὁ μὴ ῥηθεὶς λόγος] ὁ ἄνθρωπος ὁ σιωπήσας καὶ μὴ εἰπών. (λ. Αὐγ.) — 7. Σωτήριος] πρόξενος σωτηρίας. (λ. Αὐγ.) — 8. Πρὸς τοῖς ἄλλοις] τοῖς σιωπῶσιν ἐξ ἀπορίας. (λ. Αὐγ.) — 9. Ἐπειςενεγκάμενοι] ἡμεῖς δηλονότι. — 13. Ἄλλοις] τοῖς Θηβαίοις φησίν. — ** Διεγνωσμένην] προειλημμένην. (Αὐγ.)

Ἀντειπεῖν. D. ἀντιπεῖν. Proxima ἀλλ' — ἠτησάμ. edit. Lips. recte in parenthesim redegit.

Τὰ μέν. Reg. (G.) τὸ μέν.

Γίγνεται. E. γίγνεσθαι.

3. Πανταχόθεν δέ. Mosqu. παντ. τε.

Αἰτίαν ἄν. Ἂν om. Mosqu.

4. Μὲν γὰρ ὄντες G. bis habet. Vicissim Ar. om. μέν, Mosqu. γάρ.

Ἐπειςενεγκάμενοι. In ἐπεςενεγκ. mutare dubitavimus. Vid. I. 1. p. 212 Ante hoc particip. autem cod. Bas. inserit ἡμεῖς.

Μαρτύρια. E. ματυρίας, contra morem Thucyd. Vid. Ind. verb. Tum Pal. προςειδότας coniunctim.

Πάντα. Ar. Chr. Dan. πᾶν.

Λελέξεται. F. Gr. D. E. Vind. λέξεται, male. Zonar. p. 1300. Λελέξεται, ἀντὶ τοῦ λεχθήσεται. Cf. Buttm. Gr. med. §. 125. 3. Post hoc verbum autem cum Bekk. punctum quam cum vulg. (et Haack.) virgulam ponere maluimus.

Δέδιμεν. Reg. (G.) δεδίαμεν. Sed vid. c. 56. 57. et Loh. ad Phryn. p. 181.

Οὐχὶ μή. Mosqu. μὴ οὐχί.

Προκαταγνόντες. Chr. καταγν. Per. nescio quis προεικαταγν.

Ἡμῶν I. om., sed marg. al. man. suppl.

Εἶναι τῶν. Vind. εἶν. αὐτῶν.

Ὑμετέρων. H. ἡμετ.

Αὐτό. Gr. (non Cass., quem Bekk. nominat,) αὐτῶ.

Ποιῆτε. Pal. H. Reg. (G.) ποιεῖτε.

Ἐπὶ διεγνωσμένην. Vind. ἐπιδιεγν.

Digitized by Google

(ϛά. Τὸ διδακτικὸν μέρος. νδ' — νέ. ααά. Τὸ δίκαιον. νδ' — νϛ'. αααά. Ἀπολογία αὐτῶν. νδ'. νέ.)

(Ὑπομιμνήσκουσι Λακεδαιμονίους τῆς πρότερον φιλίας καὶ ὧν τὸ πάλαι εὖ πεποιήκασιν αὐτούς.)

νδ'. „Παρεχόμενοι δὲ ὅμως ἃ ἔχομεν δίκαια πρός τε τὰ Θηβαίων διάφορα, καὶ ἐς ὑμᾶς καὶ τοὺς ἄλλους Ἕλληνας, τῶν εὖ δεδρασμένων ὑπόμνησιν ποιησόμεθα, καὶ πείθειν πειρασόμεθα. 2. φαμὲν γὰρ πρὸς τὸ ἐρώτημα τὸ βραχύ, εἴ τι Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους ἐν τῷ πολέμῳ τῷδε ἀγαθὸν πεποιήκαμεν, εἰ μὲν ὡς πολεμίους ἐρωτᾶτε, οὐκ ἀδικεῖσθαι ὑμᾶς, μὴ εὖ παθόντας· φίλους δὲ νομίζοντας, αὐτοὺς ἁμαρτάνειν μᾶλλον, τοὺς ἡμῖν ἐπιστρατεύσαντας. 3. τὰ δ' ἐν τῇ εἰρήνῃ καὶ πρὸς τὸν Μῆδον ἀγαθοὶ γεγενήμεθα, τὴν μὲν οὐ λύσαντες νῦν πρότεροι, τῷ δὲ ξυνεπιθέμενοι τότε

νδ'. 4. Φαμὲν γάρ] οἱ ἀγῶνες. (Ἀύγ.) — 7. Οὐκ ἀδικεῖσθαι ὑμᾶς] [ὑφ' ἡμῶν μὲν ὡς πολεμίους. (λ. Κασσ.)] τοῦτο τὸ ἐπιχείρημα λύσις ἐστὶ τοῦ Λακεδαιμονικοῦ διλημμάτου ἐρωτήματος, τοῦ λέγοντος ὅτι Ἠδικήσατε ἡμᾶς, ὦ Πλαταιεῖς, ἐν τῷ παρόντι πολέμῳ, ἢ οὔ; ἵνα, εἰ μὲν εἴποιεν ἀδικήσαντες, ὡς ἀδίκους αὐτοὺς μετελεύσωνται, εἰ δὲ μή, ὡς ψευδομένους, εἴπερ ἀγαθόν τι ποιῆσαι Λακεδαιμονίους καὶ τοὺς συμμάχους φήσαιεν. φασὶν οὖν οἱ Πλαταιεῖς, ἀπολογούμενοι ἐπὶ τούτοις, εἰ μὲν ὡς πολεμίους ἡμᾶς περὶ τούτων πυνθάνεσθε, φαμὲν μὴ ἀδικεῖσθαι τοὺς Λακεδαιμονίους ὑμᾶς ὑφ' ἡμῶν, εἴ τι μὴ καλὸν ἐν πολέμῳ πεπύνθατε, ὥπερ ἡμεν ἐχθροί· εἰ δὲ ὡς φίλους καταιτιᾶσθαι βούλεσθε, ἑαυτοὺς αἰτιᾶσθε. ὑμεῖς γὰρ πρότεροι ἠδικήσατε, καθ' ἡμῶν μετὰ τῶν συμμάχων Θηβαίων ἐπιστρατεύσαντες. (λ. Ἀύγ.) — Μὴ εὖ παθόντας] [αὐτοὺς ὑμᾶς (λ. Κασσ.)] τοὺς Λάκωνας. — 8. Φίλους δὲ νομίζοντας] ἡμᾶς δηλονότι. (λ. Ἀύγ.) — 11. Τῷ δέ] τῷ Μήδῳ.

Cap. LIV. *Παρεχόμενοι.* Dan. *παρεσχόμενοι.*

Τὰ Θηβαίων. I. *τῶν Θηβ.*

Καὶ τούς Gass. Aug. Cl. C. F. Pal. It. Vat. H. Reg. (G.) cod. Bas. Gr. Mosqu. Haack. Bekk. Vulgo *καὶ ἐς τούς.*

Τῶν εὖ — ποιησόμεθα. „Thom. M. in *δεδρασμένον.*" DUK. Pro *τῶν* Reg. (G.) Mosqu. *τῶνδε.*

Δεδρασμένων. D. Dan. *δεδραμένων.* Nostrum cum Thom. M. agnoscit hic Buttm. Gr. max. §. 98. not. 7. Vid. adnot.

Καὶ πείθ. πειρ. de. Mosqu.

2. *Μᾶλλον.* G. *μάλιστα*, s. v. *γρ. μᾶλλον.*

Τοὺς ἡμῖν. Τούς om. Mosqu. Ar. Chr. Dan.

Ἐπιστρατεύσαντας. G. *στρατεύσαντες* (? *ἐπιστρατεύσαντες*?), *ας s. ες.*

3. *Πρότεροι.* D. *πρότερον.* Proximum *τῷ* in E. corr.

Digitized by Google

ἐς ἐλευθερίαν τῆς Ἑλλάδος μόνοι Βοιωτῶν. 4. καὶ γὰρ ἠπειρῶταί τε ὄντες ἐναυμαχήσαμεν ἐπ' Ἀρτεμισίῳ, μάχῃ τε τῇ ἐν τῇ ἡμετέρᾳ γῇ γενομένῃ παρεγενόμεθα ὑμῖν τε καὶ Παυσανίᾳ· εἴ τέ τι ἄλλο κατ' ἐκεῖνον τὸν χρόνον ἐγένετο ἐπικίνδυνον τοῖς Ἕλλησι, πάντων παρὰ δύναμιν μετέσχομεν. 5. καὶ ὑμῖν, ὦ Λακεδαιμόνιοι, ἰδίᾳ, ὅτε περ δὴ μέγιστος φόβος περιέστη τὴν Σπάρτην μετὰ τὸν σεισμὸν τῶν ἐς Ἰθώμην Εἱλώτων ἀποστάντων, τὸ τρίτον μέρος ἡμῶν αὐτῶν ἐξεπέμψαμεν ἐς ἐπικουρίαν. ὧν οὐκ εἰκὸς ἀμνημονεῖν."

Ὀλ. οή. ἔτ. δ'. πρὸ Χρ. νξέ'. ἰδ'. Βιβλ. ά. κεφ. ρά.

(*Διεξέρχονται ὅτι τὴν φιλίαν οὐκ αὐτοὶ ἔλυσαν, ἀλλ' οἱ Λακεδαιμόνιοι, οὓς μέντοι οὐ μάλα ἔβλαψαν, πάλιν γε μὴν ἐλέσθαι καλῶς οὐκ ἐδυνήθησαν.*)

νέ. „Καὶ τὰ μὲν παλαιὰ καὶ μέγιστα τοιοῦτοι ἠξιώσαμεν εἶναι· πολέμιοι δὲ ἐγενόμεθα ὕστερον. ὑμεῖς δὲ ἦδη αἴτιοι· δεομένων γὰρ ξυμμαχίας, ὅτε Θηβαῖοι ἡμᾶς ἐβιάσαντο, ὑμεῖς ἀπεώσασθε, καὶ πρὸς Ἀθηναίους ἐκελεύετε τραπέσθαι, ὡς ἐγγὺς ὄντας, ὑμῶν δὲ μακρὰν ἀποικούν-

Ὀλ. νέ. ἔτ. ά. πρὸ Χρ. φιθ'. ή φκ'.

2. ** *Καὶ γὰρ ἠπειρῶται — —*] *ταῦτα πάντα πλατικῶς ἱστορεῖ ὁ Ἡρόδοτος.* (*Ἀνγ.*) — 3. *Ἐν τῇ ἡμετέρᾳ γῇ*] *ἐν τῇ Πλαταιᾷ.* (*λ. Ἀνγ.*) — 7. *Περιέστη*] *περιεκύκλωσεν.* (*λ. Ἀνγ.*) — 10. *Οὐκ εἰκός*] *οὐ δίκαιον.* (*λ. Ἀνγ.*)

νέ. ** *Δεομένων γὰρ —*] *καὶ ταῦτα παρ' Ἡροδότῳ κεῖται διεξοδικῶς.* (*Ἀνγ.*)

Ἐς ἐλευθερίαν. D. Vind. m. Ar. Chr. Dan. *ἐπ' ἐλευθερίᾳ*, ex interpr. E. *τότε ἐς ἐλευθέραν τὴν Ἑλλάδα* s. v. al. man. Idem *μόνοι* om. videtur.

4. *Ἠπειρῶταί τε. Τέ* om. Reg. (G.)

Μάχῃ. Vulgaris sermo postulabat *ἐν μάχῃ.* Sed vid. adnot. ad II, 20.

Εἴ τε. Ante Haack. male coniunctim *εἴτε.* Vid. Krüg. ad Dion. Histor. p. 268.

Παρά. B. *περί*

5. *Ὅτε περ. Πέρ* om. E.

Σπάρτην. Virgulam, quae post hoc voc. vulgo (Haack. Bekk.) collocatur, delevimus, ut *φόβον τῶν Εἱλώτων* cohaereant. Cf. adnot. et I. 1. p. 299.

Τῶν ἐς. G. *τὸν ἐς.*

Ἐς Ἰθώμην. m. Ar. Chr. *ἐπ' Ἰθώμην.* Vind. *ἐπὶ Θώμην.* At *ἐς Ἰθώμην ἀπέστησαν* I, 101.

Εἱλώτων Pal. ed. Vind. Bekk. Vulgo (et Haack.) *Εἱλ.* Cf. adnot. ad I, 101.

Cap. LV. *Δεομένων γάρ.* It. Vat. *δεομ. δέ.*

Πρὸς — τραπέσθαι. „Thom. M. in *βούλομαι.*" DUK.

Digitized by Google

των. 2. ἐν μέντοι τῷ πολέμῳ οὐδὲν ἐκπρεπέστερον ὑπὸ 202.
ἡμῶν οὔτε ἐπάθετε, οὔτε ἐμελλήσατε. 3. εἰ δ' ἀποστῆναι Ἀθηναίων οὐκ ἠθελήσαμεν, ὑμῶν κελευσάντων, οὐκ ἠδικοῦμεν. καὶ γὰρ ἐκεῖνοι ἐβοήθουν ἡμῖν ἐναντία Θηβαίοις, ὅτε ὑμεῖς ἀπωκνεῖτε· καὶ προδοῦναι αὐτοὺς οὐκέτι ἦν καλόν, ἄλλως τε καὶ οὓς εὖ παθών τις καὶ αὐτὸς δεόμενος προσηγάγετο ξυμμάχους, καὶ πολιτείας μετέλαβεν· ἴέναι δὲ ἐς τὰ παραγγελλόμενα εἰκὸς ἦν προθύμως. 4. ἃ δὲ ἑκάτεροι ἐξηγεῖσθε τοῖς ξυμμάχοις, οὐχ οἱ ἐπόμενοι αἴτιοι, εἴ τι μὴ καλῶς * ἐδρᾶτε *, ἀλλ' οἱ ἄγοντες ἐπὶ τὰ μὴ ὀρθῶς ἔχοντα.

(βββββ'. *Κατηγορία Θηβαίων. Τὴν τῶν Θηβαίων ἀδικίαν ἐξελέγχουσι, καὶ ἑαυτοὺς τούτοις παραβάλλουσι.*)

νς'. „Θηβαῖοι δὲ πολλὰ μὲν καὶ ἄλλα ἡμᾶς ἠδίκησαν, τὸ δὲ τελευταῖον αὐτοὶ ξύνιστε δι' ἅπερ καὶ τάδε
ἰδ. πάσχομεν. 2. πόλιν γὰρ αὐτοὺς τὴν ἡμετέραν καταλαμ-
Βιβλ. β'.
κεφ. β'.

1. *Τῷ πολέμῳ*] τῷ νῦν δηλονότι. (λ. *Ἀνγ.*) — *Ἐκπρεπέστερον*] ἔξω τοῦ πρέποντος [καὶ τοῦ ἁρμόζοντος. (*Ἀνγ.*)] — 3. *Τμῶν*] τῶν Λακεδαιμονίων. (λ. *Ἀνγ.*) — 4. *Ἐναντία Θηβαίοις*] μαχόμενοι τοῖς Θηβαίοις. (λ. *Ἀνγ.*) — 6. *Καλόν*] δίκαιον. οὐ καλὸν προδοῦναι, δηλονότι εἰς τὰ προσταττόμενα ὑπὸ τῶν Ἀθηναίων. (λ. *Ἀνγ.*) — 7. *Πολιτείας μετέλαβεν*] ἐπολιτογραφήθη. (λ. *Ἀνγ.*) — 9. *Ἑκάτεροι*] οἵ τε Ἀθηναῖοι καὶ οἱ Λακεδαιμόνιοι. — ** *Ἐξηγεῖσθε*] παραγγέλλετε. (*Ἀνγ.*) — 11. *Ἐπὶ τὰ μὴ ὀρθῶς ἔχοντα*] ἐπὶ τὰ ἄδικα. (λ. *Ἀνγ.*)

νς'. 14. *Καταλαμβάνοντας*] ληστρικῶς ἐπερχομένους. (λ. *Ἀνγ.*)

2. *Μέντοι.* C. *μέντοι οὖν.*

Ἐκπρεπέστερον. Chr. *ἐκπρεποδέστερον.*

Ἐμελλήσατε. Gr. *ἐμελλήσετε.* I. Mosqu. *ἐμελήσατε*, sed I. λ̄ s. λ̄ ead. man.

3. *Ἠθελήσαμεν.* Gr. *ἐθελήσ.*, contra morem Thucyd. Vid. I. 1. p. 211. et Ind. verb. Pro praecedente *οὐκ* nemo doctior *μή* desiderabit. Vid. Herm. ad Vig. p. 833.

Ἠδικοῦμεν. B. D. *ἀδικ.* Deinde B. om. *βο* in *ἐβοήθουν.*

Προθύμως. Ed. Bas. (non cod. Bas.) *πρόθυμον.*

4. *Ἃ δὲ — ἐδρᾶτε.* Lib. de Synt. in Bekk. Anecdd. p. 143.

Τὶ μή. Reg. *τὲ μή.* B. Bar. Ald. Flor. ed. Bas. marg. Steph. *μή τι.* C. *μή* s. v. al. man.

Ἐδρᾶτε. Grammaticus in Bekk. Anecdd. *ἐδρᾶτο*, quod reponendum videtur. (Reisk. *δρᾶται* coniecerat.) Cf. adnot.

Cap. LVI. *Ἡμᾶς* om. Vind.

2. *Πόλιν γάρ.* I. *πόλιν τε*, cum *δέ* s. *τέ.*

Digitized by Google

βάνοντας ἐν σκονδαῖς, καὶ προξέτι ἱερομηνίᾳ, ὀρθῶς ἐτιμωρησάμεθα, κατὰ τὸν πᾶσι νόμον καθεστῶτα, τὸν ἐπιόντα πολέμιον ὅσιον εἶναι ἀμύνεσθαι· καὶ νῦν οὐκ ἂν εἰκότως δι' αὐτοὺς βλαπτοίμεθα. 3. εἰ γὰρ τῷ αὐτίκα χρησίμῳ ὑμῶν τε καὶ ἐκείνων πολεμίῳ τὸ δίκαιον λήψεσθε, τοῦ μὲν ὀρθοῦ φανεῖσθε οὐκ ἀληθεῖς κριταὶ ὄντες, τὸ δὲ ξυμφέρον μᾶλλον θεραπεύοντες. 4. καίτοι, εἰ νῦν ὑμῖν ὠφέλιμοι δοκοῦσιν εἶναι, πολὺ καὶ ἡμεῖς καὶ οἱ ἄλλοι Ἕλληνες μᾶλλον τότε, ὅτε ἐν μείζονι κινδύνῳ ἦτε. νῦν μὲν γὰρ ἑτέροις ὑμεῖς ἐπέρχεσθε δεινοί· ἐν ἐκείνῳ δὲ τῷ καιρῷ, ὅτε πᾶσι δουλείαν ἐπέφερεν ὁ βάρβαρος, οἵδε μετ' αὐτοῦ ἦσαν. 5. καὶ δίκαιον ἡμῶν τῆς νῦν ἁμαρτίας, εἰ ἄρα ἡμάρτηται, ἀντιδεῖναι τὴν

1. Ἐν σκονδαῖς] σπονδῶν οὐσῶν ἱερηνικῶν. (λ. Ἀὐγ.) — 2. Πᾶσι] τοῖς Ἕλλησιν. (λ. Ἀὐγ.) — 3. Ὅσιον] δίκαιον. (λ. Ἀὐγ.) — 4. Βλαπτοίμεθα] ἀδικοίμεθα. (λ. Ἀὐγ.) — Αὐτίκα] ἐν τῷ ἐνεστῶτι. (λ. Ἀὐγ.) — 8. Νῦν] ἐν τῷ πολέμῳ. (λ. Ἀὐγ.) — Ὠφέλιμοι δοκοῦσιν εἶναι] οἱ Θηβαῖοι δηλονότι. [ὠφέλιμοι ἐφάνησαν ὑμῖν δηλονότι, ἢ καὶ ὠφελιμώτεροι. (Βασ.)] — [Πολὺ καὶ ὑμεῖς] καὶ οἱ ἄλλοι Ἕλληνες] ἐφείσατο εἰκεῖν οἱ Ἀθηναῖοι, διὰ τὸ φορτικόν. — 9. Ὅτε ἐν μείζονι κινδύνῳ ἦτε] ἐπὶ τῶν Μηδικῶν. — 10. Δεινοί] μετὰ δεινότητος. (λ. Ἀὐγ.) — 11. Πᾶσι] τοῖς Ἕλλησιν (λ. Ἀὐγ.) — 12. Οἵδε μετ' αὐτοῦ ἦσαν] ἦγουν οἱ Θηβαῖοι συνεμάχουν αὐτῷ. — 13. Ἀντιδεῖναι] ἐναντίαν δεῖναι. (λ. Ἀὐγ.) —

Ἱερομηνίᾳ. In Reg. superscr. man. rec. ἐν, quasi legendum esset ἐν ἱερομ.

Ὀρθῶς. Quod vulgo (et apud Haack.) sequebatur τέ uncis inclusum, Cass. Aug. Cl. Pal. It. Vat. H. Reg. (G.) B. Bar. Ald. Flor. ed. Bas. (ubi ὀρθόν pro ὀρθῶς,) Steph. 1. Bekk. om

3. Τιμῶν τε. Τέ om. C. cod. Bas. Gr. Ar. Chr. Dan. Bar., s. v. habet E. Vid. tameu I. 1. p. 300.

4. Ἡμεῖς. „Ita ex fide codd. mss. [Cass. Gr. all.] et vett. edd. Τμεῖς Steph. 1. et 2. et Aem. Port." HUDS.

Πολύ. D. πολλοί, sed marg. al. man. πολύ. (Quod iam ante praeced. not. monendum erat.)

Οἱ ἄλλοι. Οἱ de. Reg. (G.) Mosqu. Dan. Bar.

Ἐπέρχεσθε. Dan. ὑπέρχ.

5. Τῆς — ἁμαρτίας. Cod. Bas. ex emend. τῇ — ἁμαρτίᾳ (ed. Bas. τι — ἁμαρτίας.) In genitivo qui haereat, vid. adnot. ad II, 85.

Ἡμάρτηται. Vulgo ἡμάρτηταί τι, sed τί om. Cass. Aug. Cl. C. F. Pal. It. Vat. H. Reg. (G.) Gr. I. B. Bar. Ald. Flor. Bas. Haack. Bekk.

Digitized by Google

τόσε προθυμίαν· καὶ μείζω τε πρὸς ἐλάσσω εὑρήσετε, καὶ ἐν καιροῖς οἷς σπάνιον ἦν τῶν Ἑλλήνων τινὰ ἀρετὴν τῇ Ξέρξου δυνάμει ἀντιτάξασθαι, ἐπῃνοῦντό τε μᾶλλον οἱ μὴ τὰ ξύμφορα πρὸς τὴν ἔφοδον αὐτοῖς ἀσφαλείᾳ πράσσοντες, ἐθέλοντες δὲ τολμᾷν μετὰ κινδύνων τὰ βέλτιστα. 6. ὧν ἡμεῖς γενόμενοι, καὶ τιμηθέντες ἐς τὰ 213.
πρῶτα, νῦν ἐπὶ τοῖς αὐτοῖς δέδμεν μὴ διαφθαρῶμεν, Ἀθηναίους ἑλόμενοι δικαίως μᾶλλον ἢ ὑμᾶς κερδαλέως. 7. καίτοι χρὴ ταὐτὰ περὶ τῶν αὐτῶν ὁμοίως φαίνεσθαι γιγνώσκοντας, καὶ τὸ ξυμφέρον μὴ ἄλλο τι νομίσαι, ἢ τῶν ξυμμάχων τοῖς ἀγαθοῖς ὅταν ἀεὶ βέβαιον τὴν χάριν τῆς ἀρετῆς † ἔχωσι †, καὶ τὸ παραυτίκα που ἡμῖν ὠφέλιμον καθιστῆται."

1. *Μείζω τε πρὸς ἐλάσσω*] *μείζω προθυμίαν πρὸς ἐλάσσω ἁμαρτίαν.* — 2. *Ἀρετήν*] *ἀνδρείαν.* (*λ. Ἀύγ.*) — 3. *Ἐπῃνοῦντό τε μᾶλλον*] *ὑπερβαλλόντως εἶχον τὸν ἔπαινον.* (*λ. Ἀύγ.*) — 4. *Ἀσφαλείᾳ*] *τῇ ἑαυτῶν δηλονότι.* (*λ. Ἀύγ.*) — 5. *Ἐθέλοντες δὲ — βέλτ.*] *ὅπερ καὶ Ἀθηναῖοι ἔπραξαν, τὴν πόλιν αὐτῶν ἐρημώσαντες καὶ ναυσὶ κινδυνεύσαντες.* — *Τολμᾷν*] *σὺν τόλμῃ πράττειν.* (*λ. Ἀύγ.*) — 10. *Γιγνώσκοντας*] *ὑμᾶς τοὺς Λακεδαιμονίους.* — 11. ** *Βέβαιον τὴν χάριν*] *καὶ ἐν τῇ α΄ ὁ Κερκυραῖος* „*καὶ τὴν χάριν βέβαιον ἕξουσι.*" (*Ἀύγ.*) — 12. *Ἔχωσι*] *παρέχωσι.* (*λ. Κασσ. Ἀύγ.*)

Κεφ. λβ'. §. α'.

Πρὸς ἐλάσσω. D. I. *πρὸ θυλάσσω.*

Τῶν Ἑλλ. τινὰ ἀρετήν. C. F. *τινὰ ἀρ. τῶν Ἑλλ.*

Ξέρξου. E. *τοῦ Ξ.*

Ἐπῃνοῦντό τε. „Punctum ante haec verba mutavi in comma. Pertinent enim ad *οἷς καιροῖς.*" HAACK.

Ἀσφαλείᾳ. Pal. *ἀσφαλίαι.* (*ἀσφαλίᾳ.* Cf. de similibus disputata de Art. crit. c. 12. p. 153. sq.) God. Bas. *ἐς ἀσφάλειαν*, ex interpr.

Βέλτιστα. C. *μέγιστα.*

6. *Κερδαλέως.* Vind. *κερδαλίως.*

7. *Ὁμοίως.* F. *ὁμοίους.*

Ἀεί. Pal., ut solet, *αἰεί*, nunc cum Mosqu. Cf. I. 1. p. 211.

Ἔχωσι. *Ἔχουσι* non male coniiciebat Heilm. et proximam virgulam delebat. Cf. not.

Ἡμῖν. Cass. F. Pal. It. Vat. H. Reg. (G.) Gr. D. E. Mosqu. m. Ar. Chr. Dan. marg. Steph. *ὑμῖν*, sicut I. s. v. al. man. At sententia generalis esse videtur. Cf. adnot.

Καθιστῆται. Pal. Gr. Vind. Ar. Chr. Bar. Ald. Flor. Bas. *καθίστηται.* At vid. I. 1. p. 229. Mosqu. Dan. *καθίσταται.* D. *καθιστητε.*

Digitized by Google

(βββ'. Τὸ ξυμφέρον. νζ'. νή'. §. 1. 2. Ὅτι Λακεδαιμόνιοι σφῶν καταψηφισάμενοι κακῶς ἀκούσονται ἀποφαίνουσι, ἅμα δὲ καὶ τὸ μέγεθος τῆς σφῶν ξυμφορᾶς ὀδύρονται.)

νζ'. „Προσκέψασθέ τε ὅτι νῦν μὲν παράδειγμα τοῖς πολλοῖς τῶν Ἑλλήνων ἀνδραγαθίας νομίζεσθε· εἰ δὲ περὶ ἡμῶν γνώσεσθε μὴ τὰ εἰκότα, (οὐ γὰρ ἀφανῆ κρινεῖτε τὴν δίκην τήνδε, ἐπαινούμενοι δὲ περὶ οὐδ' ἡμῶν μεμπτῶν,) ὁρᾶτε ὅπως μὴ οὐκ ἀποδέξωνται ἀνδρῶν ἀγαθῶν πέρι, αὐτοὺς ἀμείνους ὄντας, ἀπρεπές τι ἐπιγνῶναι, οὐδὲ πρὸς ἱεροῖς τοῖς κοινοῖς σκῦλα ἀπὸ ἡμῶν τῶν εὐεργετῶν τῆς Ἑλλάδος ἀνατεθῆναι. 2. δεινὸν δὲ δόξει εἶναι Πλάταιαν Λακεδαιμονίους πορθῆσαι, καὶ τοὺς μὲν πατέρας ἀναγράψαι ἐς τὸν τρίποδα τὸν ἐν Δελφοῖς δι' ἀρετὴν τὴν πόλιν, ὑμᾶς δὲ καὶ ἐκ παντὸς τοῦ Ἑλληνικοῦ πανοικησίᾳ διὰ Θηβαίους ἐξαλεῖψαι. 3. ἐς τοῦτο γὰρ δὴ ξυμφορᾶς προκεχωρήκαμεν, οἵτινες Μήδων τε κρατησάντων ἀπωλλύμεθα, καὶ νῦν ἐν ὑμῖν τοῖς πρὶν

νζ. 3. Μὴ τὰ εἰκότα] οὐχὶ δίκαια. (λ. Λύγ.) — ** Οὐ γὰρ ἀφανῆ] Ὅμηρος· ὅσσα δ' ἄρ' ἄγγελος ὦκα. (Λύγ.) — 4. Ἐπαινούμενοι δέ] ὑμεῖς δηλονότι. — 5. Ἀνδρῶν ἀγαθῶν πέρι] ἡμῶν δηλονότι τῶν Πλαταιέων. — 6. Αὐτοὺς ἀμείνους ὄντας] ἀντὶ τοῦ ὑμᾶς τοὺς Λακεδαιμονίους. ὅρα δὲ πῶς κολακεύει λανθανόντως τοὺς Ἀθηναίους. — 8. Ἀνατεθῆναι] ἀπὸ κοινοῦ τὸ μὴ οὐκ ἀποδέξωνται. — 10. Ἐς τὸν τρίποδα] τὸν ἐκ τῶν Μηδικῶν σκύλων, ὃν ὁ Παυσανίας ἐποίησε.

Cap. LVII. *Προσκέψασθέ τε.* *Τέ* om. Vat. Chr. Mox in *ἀνδραγαθίας* syllaba *γα* s. v. al. man in H. I.

Οὐ γάρ. *Γάρ* om. Gr.

Ἀφανῆ. D. I. *ἀφανεῖ*, posterior cum *ἐν* s. v. al. man. ante *ἀφ.*

Περί. Reg. (G.) *παρά.* Omnia autem egregia verba *ἐπαινούμενοι - μεμπτῶν* quoniam Valla non vertit (cf. de Art. crit. p. 75.), mirum est Benedictum ausum esse impugnare.

Ἱεροῖς. Reg. (G.) *τοῖς ἱε.*, quo non opus.

Σκῦλα. Pal. *σκύλα.* cf. Passow. Lex. Graec. Alibi, ut II, 13., etiam Pal. cum reliquis in *σκῦλ.* conspirat. Statim D. *ὑμῶν* pro *ἡμ.*

2. *Ἀρετήν.* Ar. Dan. *ἀρετῆς.*

Δὲ καί. *Καί* om. Gr.

Παντὸς τοῦ. *Τοῦ* om. E.

Πανοικησίᾳ. Cl. Pal. cod. Bas. Vind. Mosqu. Ar. Chr. *πανοικεσίᾳ*, sed in Cl. *πανοικησ.* ex emend. Vid. adnot.

3. *Ἀπωλλύμεθα* Cass. Haack., quod iam Reiskius et Bauer. malebant. Dukero *ἀπωλόμεθα* requiri videbatur. Vulgo (et Bekk.) *ἀπολλύμ.* Vid. I. 1. p. 151.

Καὶ νῦν — ἡσσώμεθα ob si-

Digitized by Google

(β'. Λόγος Πλαταιῶν. νγ' — νθ'.)

(Προοίμιον περὶ τῆς αὐτῶν ἀπορίας τε ἅμα καὶ ἀνάγκης τοῦ λέγειν.)

νγ'. „Τὴν μὲν παράδοσιν τῆς πόλεως, ὦ Λακεδαιμόνιοι, πιστεύσαντες ὑμῖν ἐποιησάμεθα, οὐ τοιάνδε δίκην ολόμενοι ὑφέξειν, νομιμωτέραν δέ τινα ἔσεσθαι, καὶ ἐν δικασταῖς οὐκ ἐν ἄλλοις δεξάμενοι, ὥςπερ καὶ ἐσμὲν, γενέσθαι ἢ ὑμῖν, ἡγούμενοι τὸ ἴσον μάλιστ' ἂν φέρεσθαι. 2. νῦν δὲ φοβούμεθα μὴ ἀμφοτέρων ἅμα ἡμαρτήκαμεν. τόν τε γὰρ ἀγῶνα περὶ τῶν δεινοτάτων εἶναι εἰκότως ὑποπτεύομεν, καὶ ὑμᾶς, μὴ οὐ κοινοὶ ἀποβῆτε, τεκμαιρόμενοι προκατηγορίας τε ἡμῶν οὐ προγεγενημέ-

νγ'. 1. Τὴν μὲν παράδοσιν — —] ἡ δημηγορία τῶν Πλαταιέων δικανικωτέρα ἐστί· τὸ δὲ προοίμιον ἐξ αὐτοῦ τοῦ πράγματος καὶ ἐκ προσοχῆς. — 2. Πιστεύσαντες ὑμῖν — οὐ τοιάνδε — —] κατὰ δύο, φησὶ, τρόπους προὐθυμήθημεν ἐγχειρίσαι ὑμῖν τοῖς Λακεδαιμονίοις τὴν πόλιν, κατά τε τὸ μὴ περὶ θανάτου κριθῆναι, ἀλλὰ περί τινος μαλακωτέρας ζημίας, καὶ καθὸ δικαίους ὑμᾶς κριτὰς ἡγησάμεθα γενέσθαι. νῦν δὲ, φησὶ, φοβούμεθα μὴ ἀμφοτέρων ἅμα ἡμαρτήκαμεν. καὶ τὴν αἰτίαν εὐθὺς ἐπιφέρει· τόν τε γὰρ ἀγῶνα, [φησὶ, καὶ τὰ ἑξῆς.] — 4. Οὐκ ἐν ἄλλοις] ἢ ὑμῖν. τὸ δὲ ἑξῆς, καὶ ἐν δικασταῖς οὐκ ἐν ἄλλοις δεξάμενοι γενέσθαι, ὥςπερ καὶ ἐσμὲν ἄρτι κρινόμενοι ὑφ' ὑμῶν. — 5. Τὸ ἴσον] τὸ δίκαιον. — Φέρεσθαι] ἀποφέρεσθαι. (λ. Αὐγ.) — 7. Περὶ τῶν δεινοτάτων] περὶ τοῦ θανάτου. — 8. Μὴ οὐ κοινοί] [μὴ οὐκ ἴσοι, (λ. Αὐγ.)] μὴ οὐ δίκαιοι, ἀλλ' ἑτεραλκέα τὴν νίκην ποιήσητε. — 9. Τεκμαιρόμενοι] ἡμεῖς δηλονότι.

τοιάδε cod. Bas. τάδε. At vid. Wass. ad VI, 8.

Cap. LIII. Τὴν μέν. Dan. εἰ μέν.

Ἔσεσθαι. Quae sequuntur ad ἢ ὑμῖν I. om., sed marg. al. man. suppl. Post proximum καί autem non male comma ponas, ut ολόμ. καὶ ἡγούμ. cohaereant, verba autem ἐν δικασταῖς — ἢ ὑμῖν causam huius Plataeensium opinionis contineant. Colon saltem tam hic quam post ὑμῖν cum Bekk. in comma mutavimus.

Ἐν ἄλλοις. In praeposit. repetita fortasse cum Heilm. haereas. Quae tamen nonnumquam etiam ante appositionem accedit. Cf. Voigtl. ad Lucian. D. Mort. XIV, 5. Add. Bredow. ad h. l.

Ὥςπερ. Dan. ὡς. Statim καί om. D. Verba ἢ ὑμῖν leviter suspecta reddit Schol.

Ἴσον. Pal. ἴσον. At vid. I. 1. p. 214.

Μάλιστ' ἄν. Cod. Bas. ἂν μάλιστ' ἄν.

2. Μὴ ἀμφοτέρων s. v. al. man. G.

Ἡμαρτήκαμεν. D. ἡμαρτήκωμεν. At vid. I. 1. p. 135.

Κοινοί. C. Gr. Mosqu. κοινῇ, in C. tamen οἱ s. ῃ al. man.

Προγεγενημένης. Chr. προγενομένης.

Digitized by Google

νης, ᾗ χρὴ ἀντειπεῖν, (ἀλλ' αὐτοὶ λόγον ἠτησάμεθα,) τό τε ἐπερώτημα βραχὺ ὂν, ᾧ τὰ μὲν ἀληθῆ ἀποκρίνασθαι, ἐναντία γίγνεται, τὰ δὲ ψευδῆ, ἔλεγχον ἔχει. 3. πανταχόθεν δὲ ἄποροι καθεστῶτες, ἀναγκαζόμεθα, καὶ ἀσφαλέστερον δοκεῖ εἶναι, εἰπόντας τι κινδυνεύειν. καὶ
201. γὰρ ὁ μὴ ῥηθεὶς λόγος τοῖς ὧδ' ἔχουσιν αἰτίαν ἂν παράσχοι, ὡς, εἰ ἐλέχθη, σωτήριος ἂν ἦν. 4. χαλεπῶς δὲ ἔχει ἡμῖν πρὸς τοῖς ἄλλοις καὶ ἡ πειθώ. ἀγνῶτες μὲν γὰρ ὄντες ἀλλήλων, ἐπεισενεγκάμενοι μαρτύρια ὧν ἄπειροι ἦτε, ὠφελούμεθ' ἄν· νῦν δὲ πρὸς εἰδότας πάντα λελέξεται, καὶ δέδιμεν οὐχὶ, μὴ, προκαταγνόντες ἡμῶν τὰς ἀρετὰς ἧσσους εἶναι τῶν ὑμετέρων, ἔγκλημα αὐτὸ ποιῆτε, ἀλλὰ μὴ, ἄλλοις χάριν φέροντες, ἐπὶ διεγνωσμένην κρίσιν καθιστώμεθα."

2. Ὦι] τῷ ἐρωτήματι. (λ. Αὐγ.) — 6. Ὁ μὴ ῥηθεὶς λόγος] ὁ ἄνθρωπος ὁ σιωπήσας καὶ μὴ εἰπών. (λ. Αὐγ.) — 7. Σωτήριος] πρόξενος σωτηρίας. (λ. Αὐγ.) — 8. Πρὸς τοῖς ἄλλοις] τοῖς σιωπῶσιν ἐξ ἀπορίας. (λ. Αὐγ.) — 9. Ἐπεισενεγκάμενοι] ἡμεῖς δηλονότι. — 13. Ἄλλοις] τοῖς Θηβαίοις φησίν. — ** Διεγνωσμένην] προειλημμένην. (Αὐγ.)

Ἀντειπεῖν. D. ἀντιπεῖν. Proxima ἀλλ' — ἠτησάμ. edit. Lips. recte in parenthesim redegit.

Τὰ μέν. Reg. (G.) τὸ μέν.

Γίγνεται. E. γίγνεσθαι.

3. Πανταχόθεν δέ. Mosqu. παντ. τε.

Αἰτίαν ἄν. Ἂν om. Mosqu.

4. Μὲν γὰρ ὄντες G. bis habet. Vicissim Ar. om. μέν, Mosqu. γάρ.

Ἐπεισενεγκάμενοι. In ἐπεσενεγκ. mutare dubitavimus. Vid. I. 1. p. 212 Ante hoc particip. autem cod. Bas. inserit ἡμεῖς.

Μαρτύρια. E. ματυρίας, contra morem Thucyd. Vid. Ind. verb. Tum Pal. προσειδότας coniunctim.

Πάντα. Ar. Chr. Dan. πᾶν.

Λελέξεται. F. Gr. D. E. Vind. λέξεται, male. Zonar. p. 1300. Λελέξεται, ἀντὶ τοῦ λεχθήσεται. Cf. Buttm. Gr. med. §. 125. 3. Post hoc verbum autem cum Bekk. punctum quam cum vulg. (et Haack.) virgulam ponere maluimus.

Δέδιμεν. Reg. (G.) δεδίαμεν. Sed vid. c. 56. 57. et Loh. ad Phryn. p. 181.

Οὐχὶ μή. Mosqu. μὴ οὐχί.

Προκαταγνόντες. Chr. καταγν. Per. nescio quis προεικαταγν.

Ἡμῶν I. om., sed marg. al. man. suppl.

Εἶναι τῶν. Vind. εἶν. αὐτῶν.

Ὑμετέρων. H. ἡμετ.

Αὐτό. Gr. (non Cass., quem Bekk. nominat,) αὐτῶ.

Ποιῆτε. Pal. H. Reg. (G.) ποιεῖτε.

Ἐπὶ διεγνωσμένην. Vind. ἐπιδιεγν.

Digitized by Google

(*αά. Τὸ διδακτικὸν μέρος. νδ΄ — νέ. ααά. Τὸ δίκαιον. νδ΄ — νς΄. αααά. Ἀπολογία αὐτῶν. νδ΄. νέ.*)

(*Ὑπομιμνήσκουσι Λακεδαιμονίους τῆς πρότερον φιλίας καὶ ὧν τὸ πάλαι εὖ πεποιήκασιν αὐτούς.*)

νδ΄. „*Παρεχόμενοι δὲ ὅμως ἃ ἔχομεν δίκαια πρός τε τὰ Θηβαίων διάφορα, καὶ ἐς ὑμᾶς καὶ τοὺς ἄλλους Ἕλληνας, τῶν εὖ δεδρασμένων ὑπόμνησιν ποιησόμεθα, καὶ πείθειν πειρασόμεθα. 2. φαμὲν γὰρ πρὸς τὸ ἐρώτημα τὸ βραχὺ, εἴ τι Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους ἐν τῷ πολέμῳ τῷδε ἀγαθὸν πεποιήκαμεν, εἰ μὲν ὡς πολεμίους ἐρωτᾶτε, οὐκ ἀδικεῖσθαι ὑμᾶς, μὴ εὖ πάθόντας· φίλους δὲ νομίζοντας, αὐτοὺς ἁμαρτάνειν μᾶλλον, τοὺς ἡμῖν ἐπιστρατεύσαντας. 3. τὰ δ' ἐν τῇ εἰρήνῃ καὶ πρὸς τὸν Μῆδον ἀγαθοὶ γεγενήμεθα, τὴν μὲν οὐ λύσαντες νῦν πρότεροι, τῷ δὲ ξυνεπιθέμενοι τότε*

νδ΄. 4. Φαμὲν γάρ] *οἱ ἀγῶνες.* (*Αὐγ.*) — 7. *Οὐκ ἀδικεῖσθαι ὑμᾶς*] [*ὑφ' ἡμῶν μὲν ὡς πολεμίους.* (*λ. Κασσ.*)] *τοῦτο τὸ ἐπιχείρημα λύσις ἐστὶ τοῦ Λακεδαιμονικοῦ διλημμάτου ἐρωτήματος, τοῦ λέγοντος ὅτι Ἠδικήσατε ἡμᾶς, ὦ Πλαταιεῖς, ἐν τῷ παρόντι πολέμῳ, ἢ οὔ; ἵνα, εἰ μὲν εἴποιεν ἀδικήσαντες, ὡς ἀδίκους αὐτοὺς μετελεύσωνται, εἰ δὲ μή, ὡς ψευδομένους, εἴπερ ἀγαθόν τι ποιῆσαι Λακεδαιμονίους καὶ τοὺς συμμάχους φήσαιεν. φασὶν οὖν οἱ Πλαταιεῖς, ἀπολογούμενοι ἐπὶ τούτοις, εἰ μὲν ὡς πολεμίους ἡμᾶς περὶ τούτων κινδυνεύεσθε, φαμὲν μὴ ἀδικεῖσθαι τοὺς Λακεδαιμονίους ὑμᾶς ὑφ' ἡμῶν, εἴ τι μὴ καλὸν ἐν πολέμῳ πεπόνθατε, ὅπερ ἦμεν ἐχθροί· εἰ δὲ ὡς φίλους καταιτιᾶσθαι βούλεσθε, ἑαυτοὺς αἰτιᾶσθε. ὑμεῖς γὰρ πρότεροι ἠδικήσατε, καθ' ἡμῶν μετὰ τῶν συμμάχων Θηβαίων ἐπιστρατεύσαντες.* (*λ. Αὐγ.*) — *Μὴ εὖ παθόντας*] [*αὐτοὺς ὑμᾶς* (*λ. Κασσ.*)] *τοὺς Λάκωνας.* — 8. *Φίλους δὲ νομίζοντας*] *ἡμᾶς δηλονότι.* (*λ. Αὐγ.*) — 11. *Τῷ δέ*] *τῷ Μήδῳ.*

CAP. LIV. *Παρεχόμενοι.* Dan. *παρεσχόμενοι.*

Τὰ Θηβαίων. I. *τῶν Θηβ.*

Καὶ τούς Cass. Aug. Cl. C. F. Pal. It. Vat. H. Reg. (G.) cod. Bas. Gr. Mosqu. Haack. Bekk. Vulgo *καὶ ἐς τούς.*

Τῶν εὖ — ποιησόμεθα. „Thom. M. in *δεδρασμένον.*" DUK. Pro *τῶν* Reg. (G.) Mosqu. *τῶνδε.*

Δεδρασμένων. D. Dan. *δεδραμένων.* Nostrum cum Thom. M. agnoscit hic Buttm. Gr. max. §. 98. not. 7. Vid. adnot.

Καὶ πείθ. πειρ. de. Mosqu.

2. *Μᾶλλον.* G. *μάλιστα*, s. v. *γρ. μᾶλλον.*

Τοὺς ἡμῖν. Τούς om. Mosqu. Ar. Chr. Dan.

Ἐπιστρατεύσαντας. G. *στρατεύσαντες* (*? ἐπιστρατεύσαντες?*), *ας* s. *ες.*

3. *Πρότεροι.* D. *πρότερον.* Proximum *τῷ* in E. corr.

Digitized by Google

ἐς ἐλευθερίαν τῆς Ἑλλάδος μόνοι Βοιωτῶν. 4. καὶ γὰρ ἠπειρῶταί τε ὄντες ἐναυμαχήσαμεν ἐπ' Ἀρτεμισίῳ, μάχῃ τε τῇ ἐν τῇ ἡμετέρᾳ γῇ γενομένῃ παρεγενόμεθα ὑμῖν τε καὶ Παυσανίᾳ· εἴ τέ τι ἄλλο κατ' ἐκεῖνον τὸν χρόνον ἐγένετο ἐπικίνδυνον τοῖς Ἕλλησι, πάντων παρὰ δύναμιν μετέσχομε. 5. καὶ ὑμῖν, ὦ Λακεδαιμόνιοι, ἰδίᾳ, ὅτε περ δὴ μέγιστος φόβος περιέστη τὴν Σπάρτην μετὰ τὸν σεισμὸν τῶν ἐς Ἰθώμην Εἱλώτων ἀποστάντων, τὸ τρίτον μέρος ἡμῶν αὐτῶν ἐξεπέμψαμεν ἐς ἐπικουρίαν. ὧν οὐκ εἰκὸς ἀμνημονεῖν."

Ὀλ. οή. ἔτ. δ'. πρὸ Χρ. νξέ'. ἰδ'. Βιβλ. ά. κεφ. ρά.

(*Διεξέρχονται ὅτι τὴν φιλίαν οὐκ αὐτοὶ ἔλυσαν, ἀλλ' οἱ Λακεδαιμόνιοι, οὓς μέντοι οὐ μάλα ἔβλαψαν, πάλιν γε μὴν ἐλέσθαι καλῶς οὐκ ἐδυνήθησαν.*)

νέ. „Καὶ τὰ μὲν παλαιὰ καὶ μέγιστα τοιοῦτοι ἠξιώσαμεν εἶναι· πολέμιοι δὲ ἐγενόμεθα ὕστερον. ὑμεῖς δὲ ἤδη αἴτιοι· δεομένων γὰρ ξυμμαχίας, ὅτε Θηβαῖοι ἡμᾶς ἐβιάσαντο, ὑμεῖς ἀπεώσασθε, καὶ πρὸς Ἀθηναίους ἐκελεύετε τραπέσθαι, ὡς ἐγγὺς ὄντας, ὑμῶν δὲ μακρὰν ἀποικούν-

Ὀλ. νέ. ἔτ. ά. πρὸ Χρ. φιδ'. ἢ φκ'.

2. ** *Καὶ γὰρ ἠπειρῶταί — —*] ταῦτα πάντα πλατικῶς ἱστορεῖ ὁ Ἡρόδοτος. (*Αὐγ.*) — 3. *Ἐν τῇ ἡμετέρᾳ γῇ*] *ἐν τῇ Πλαταιᾳ.* (*λ. Αὐγ.*) — 7. *Περιέστη*] *περιεκύλωσεν.* (*λ. Αὐγ.*) — 10. *Οὐκ εἰκὸς*] *οὐ δίκαιον.* (*λ. Αὐγ.*)

νέ. ** *Δεομένων γὰρ —*] καὶ ταῦτα παρ' Ἡροδότῳ κεῖται διεξοδικῶς. (*Αὐγ.*)

Ἐς ἐλευθερίαν. D. Vind. m. Ar. Chr. Dan. *ἐπ' ἐλευθερίᾳ*, ex interpr. E. *τότε ἐς ἐλευθέραν τὴν Ἑλλάδα* s. v. al. man. Idem *μόνοι* om. videtur.

4. Ἠπειρῶταί τε. *Τέ* om. Reg. (G.)

Μάχῃ. Vulgaris sermo postulabat *ἐν μάχῃ*. Sed vid. adnot. ad II, 20.

Εἴ τε. Ante Haack. male coniunctim *εἴτε*. Vid. Krüg. ad Dion. Histor. p. 268.

Παρά. B. *περί*

5. Ὅτε περ. *Πέρ* om. E.

Σπάρτην. Virgulam, quae post hoc voc. vulgo (Haack. Bekk.) collocatur, delevimus, ut *φόβον τῶν Εἱλώτων* cohaereant. Cf. adnot. et I. 1. p. 299.

Τῶν ἐς. G. *τὸν ἐς*.

Ἐς Ἰθώμην. m. Ar. Chr. *ἐπ' Ἰθώμην*. Vind. *ἐπὶ Θώμην*. At *ἐς Ἰθώμην ἀπέστησαν* I, 101.

Εἱλώτων Pal. ed. Vind. Bekk. Vulgo (et Haack.) *Εἱλ*. Cf. adnot. ad I, 101.

Cap. LV. *Δεομένων γάρ*. It. Vat. *δεομ. δέ*.

Πρὸς — τραπέσθαι. „Thom. M. in *βρύλομαι*." DUK.

Digitized by Google

των. 2. ἐν μέντοι τῷ πολέμῳ οὐδὲν ἐκπρεπέστερον ὑπὸ 202.
ἡμῶν οὔτε ἐπάθετε, οὔτε ἐμελλήσατε. 3. εἰ δ' ἀποστῆναι Ἀθηναίων οὐκ ἠθελήσαμεν, ὑμῶν κελευσάντων, οὐκ ἠδικοῦμεν. καὶ γὰρ ἐκεῖνοι ἐβοήθουν ἡμῖν ἐναντία Θηβαίοις, ὅτε ὑμεῖς ἀπωκνεῖτε· καὶ προδοῦναι αὐτοὺς οὐκέτι ἦν καλόν, ἄλλως τε καὶ οὓς εὖ παθών τις καὶ αὐτὸς δεόμενος προσηγάγετο ξυμμάχους, καὶ πολιτείας μετέλαβεν· ἰέναι δὲ ἐς τὰ παραγγελλόμενα εἰκὸς ἦν προθύμως. 4. ἃ δὲ ἑκάτεροι ἐξηγεῖσθε τοῖς ξυμμάχοις, οὐχ οἱ ἑπόμενοι αἴτιοι, εἴ τι μὴ καλῶς * ἐδρᾶτε *, ἀλλ' οἱ ἄγοντες ἐπὶ τὰ μὴ ὀρθῶς ἔχοντα.

(βββ'. *Κατηγορία Θηβαίων. Τὴν τῶν Θηβαίων ἀδικίαν ἐξελέγχουσι, καὶ ἑαυτοὺς τούτοις παραβάλλουσι.*)

νς'. „Θηβαῖοι δὲ πολλὰ μὲν καὶ ἄλλα ἡμᾶς ἠδίκησαν, τὸ δὲ τελευταῖον αὐτοὶ ξύνιστε δι' ἅπερ καὶ τάδε
ἰδ. πάσχομεν. 2. πόλιν γὰρ αὐτοὺς τὴν ἡμετέραν καταλαμ-
Βιβλ. β'.
κεφ. β'.

1. *Τῷ πολέμῳ*] τῷ νῦν δηλονότι. (λ. *Αὐγ.*) — *Ἐκπρεπέστερον*] ἔξω τοῦ πρέποντος [καὶ τοῦ ἁρμόζοντος. (*Αὐγ.*)] — 3. *Τμῶν*] τῶν Λακεδαιμονίων. (λ. *Αὐγ.*) — 4. *Ἐναντία Θηβαίοις*] μαχόμενοι τοῖς Θηβαίοις. (λ. *Αὐγ.*) — 6. *Καλόν*] δίκαιον. οὐ καλὸν προδοῦναι, δηλονότι εἰς τὰ προσταττόμενα ὑπὸ τῶν Ἀθηναίων. (λ. *Αὐγ.*) — 7. *Πολιτείας μετέλαβεν*] ἐπολιτογραφήθη. (λ. *Αὐγ.*) — 9. *Ἑκάτεροι*] οἵ τε Ἀθηναῖοι καὶ οἱ Λακεδαιμόνιοι. — ** *Ἐξηγεῖσθε*] παραγγέλλετε. (*Αὐγ.*) — 11. *Ἐπὶ τὰ μὴ ὀρθῶς ἔχοντα*] ἐπὶ τὰ ἄδικα. (λ. *Αὐγ.*)

νς'. 14. *Καταλαμβάνοντας*] ληστρικῶς ἐπερχομένους. (λ. *Αὐγ.*)

2. *Μέντοι.* C. *μέντοι οὖν.*

Ἐκπρεπέστερον. Chr. *ἐκπρεπαδέστερον.*

Ἐμελλήσατε. Gr. *ἐμελλήσετε.* I. Mosqu. *ἐμελήσατε*, sed I. $\overline{\lambda}$ s. $\overline{\lambda}$ ead. man.

3. *Ἠθελήσαμεν.* Gr. *ἐθελήσ.*, contra morem Thucyd. Vid. I. 1. p. 211. et Ind. verb. Pro praecedente *οὐκ* nemo doctior *μή* desiderabit. Vid. Herm. ad Vig. p. 833.

Ἠδικοῦμεν. B. D. *ἀδικ.* Deinde B. om. $\overline{βο}$ in *ἐβοήθουν.*

Προθύμως. Ed. Bas. (non cod. Bas.) *πρόθυμον.*

4. *Ἃ δὲ — ἐδρᾶτε.* Lib. de Synt. in Bekk. Anecdd. p. 143.

Τὶ μή. Reg. *τὲ μή.* B. Bar. Ald. Flor. ed. Bas. marg. Steph. *μή τι.* C. *μή* s. v. al. man.

Ἐδρᾶτε. Grammaticus in Bekk. Anecdd. *ἐδρᾶτο*, quod reponendum videtur. (Reisk. *δρᾶται* coniecerat.) Cf. adnot.

Cap. LVI. *Ἡμᾶς* om. Vind.

2. *Πόλιν γάρ.* I. *πόλιν τε*, cum *δέ* s. *τέ.*

Digitized by Google

βάνοντας ἐν σπονδαῖς, καὶ προσέτι ἱερομηνίᾳ, ὀρθῶς ἐτιμωρησάμεθα, κατὰ τὸν πᾶσι νόμον καθεστῶτα, τὸν ἐπιόντα πολέμιον ὅσιον εἶναι ἀμύνεσθαι· καὶ νῦν οὐκ ἂν εἰκότως δι' αὐτοὺς βλαπτοίμεθα. 3. εἰ γὰρ τῷ αὐτίκα χρησίμῳ ὑμῶν τε καὶ ἐκείνων πολεμίῳ τὸ δίκαιον λήψεσθε, τοῦ μὲν ὀρθοῦ φανεῖσθε οὐκ ἀληθεῖς κριταὶ ὄντες, τὸ δὲ ξυμφέρον μᾶλλον θεραπεύοντες. 4. καίτοι, εἰ νῦν ὑμῖν ὠφέλιμοι δοκοῦσιν εἶναι, πολὺ καὶ ἡμεῖς καὶ οἱ ἄλλοι Ἕλληνες μᾶλλον τότε, ὅτε ἐν μείζονι κινδύνῳ ἦτε. νῦν μὲν γὰρ ἑτέροις ὑμεῖς ἐπέρχεσθε δεινοί· ἐν ἐκείνῳ δὲ τῷ καιρῷ, ὅτε πᾶσι δουλείαν ἐπέφερεν ὁ βάρβαρος, οἵδε μετ' αὐτοῦ ἦσαν. 5. καὶ δίκαιον ἡμῶν τῆς νῦν ἁμαρτίας, εἰ ἄρα ἡμάρτηται, ἀντιδεῖναι τὴν

1. Ἐν σπονδαῖς] σπονδῶν οὐσῶν εἰρηνικῶν. (λ. Ἀγ.) — 2. Πᾶσι] τοῖς Ἕλλησιν. (λ. Ἀγ.) — 3. Ὅσιον] δίκαιον. (λ. Ἀγ.) — 4. Βλαπτοίμεθα] ἀδικοίμεθα. (λ. Ἀγ.) — Αὐτίκα] ἐν τῷ ἐνεστῶτι. (λ. Ἀγ.) — 8. Νῦν] ἐν τῷ πολέμῳ. (λ. Ἀγ.) — Ὠφέλιμοι δοκοῦσιν εἶναι] οἱ Θηβαῖοι δηλονότι. [ὠφέλιμοι ἐφάνησαν ὑμῖν δηλονότι, ἢ καὶ ὠφελιμώτεροι. (Βασ.)] — [Πολὺ καὶ ὑμεῖς] καὶ οἱ ἄλλοι Ἕλληνες] ἐφείσατο εἰκεῖν οἱ Ἀθηναῖοι, διὰ τὸ φορτικόν. — 9. Ὅτε ἐν μείζονι κινδύνῳ ἦτε] ἐπὶ τῶν Μηδικῶν. — 10. Δεινοί] μετὰ δεινότητος. (λ. Ἀγ.) — 11. Πᾶσι] τοῖς Ἕλλησιν (λ. Ἀγ.) — 12. Οἵδε μετ' αὐτοῦ ἦσαν] ἦγουν οἱ Θηβαῖοι συνεμάχουν αὐτῷ. — 13. Ἀντιδεῖναι] ἐναντίαν δεῖναι. (λ. Ἀγ.) —

Ἱερομηνίᾳ. In Reg. superscr. man. rec. ἐν, quasi legendum esset ἐν ἱερομ.

Ὀρθῶς. Quod vulgo (et apud Haack.) sequebatur τέ uncis inclusum, Cass. Aug. Cl. Pal. It. Vat. H. Reg. (G.) B. Bar. Ald. Flor. ed. Bas. (ubi ὀρθόν pro ὀρθῶς,) Steph. 1. Bekk. om

3. Τῶν τε. Τέ om. C. cod. Bas. Gr. Ar. Chr. Dan. Bar., s. v, habet E. Vid. tameu I. 1. p. 300.

4. Ἡμεῖς. „Ita ex fide codd. mss. [Cass. Gr. all.] et vett. edd. Τμεῖς Steph. 1. et 2. et Aem. Port." HUDS.

Πολύ. D. πολλοί, sed marg. al. man. πολύ. (Quod iam ante praeced. not. monendum erat.)

Οἱ ἄλλοι. Οἱ de. Reg. (G.) Mosqu. Dan. Bar.

Ἐπέρχεσθε. Dan. ὑπέρχ.

5. Τῆς — ἁμαρτίας. Cod. Bas. ex emend. τῇ — ἁμαρτίᾳ (ed. Bas. τι — ἁμαρτίας.) In genitivo qui haereat, vid. adnot. ad II, 85.

Ἡμάρτηται. Vulgo ἡμάρτηταί τι, sed τί om. Cass. Aug. Cl. C. F. Pal. It. Vat. H. Reg. (G.) Gr. I. B. Bar. Ald. Flor. Bas. Haack. Bekk.

Digitized by Google

τότε προθυμίαν· καὶ μείζω τε πρὸς ἐλάσσω εὑρήσετε, καὶ ἐν καιροῖς οἷς σπάνιον ἦν τῶν Ἑλλήνων τινὰ ἀρετὴν τῇ Πέρξου δυνάμει ἀντιτάξασθαι, ἐπηνοῦντό τε μᾶλλον οἱ μὴ τὰ ξύμφορα πρὸς τὴν ἔφοδον αὐτοῖς ἀσφαλείᾳ πράσσοντες, ἐθέλοντες δὲ τολμᾷν μετὰ κινδύνων τὰ βέλτιστα. 6. ὧν ἡμεῖς γενόμενοι, καὶ τιμηθέντες ἐς τὰ 213.
πρῶτα, νῦν ἐπὶ τοῖς αὐτοῖς δέδμεν μὴ διαφθαρῶμεν, Ἀθηναίους ἑλόμενοι δικαίως μᾶλλον ἢ ὑμᾶς κερδαλέως. 7. καίτοι χρὴ ταὐτὰ περὶ τῶν αὐτῶν ὁμοίως φαίνεσθαι γιγνώσκοντας, καὶ τὸ ξυμφέρον μὴ ἄλλο τι νομίσαι, ἢ τῶν ξυμμάχων τοῖς ἀγαθοῖς ὅταν ἀεὶ βέβαιον τὴν χάριν τῆς ἀρετῆς † ἔχωσι †, καὶ τὸ παραυτίκα που ἡμῖν ὠφέλιμον καθιστῆται."

1. *Μείζω τε πρὸς ἐλάσσω*] μείζω προθυμίαν πρὸς ἐλάσσω ἁμαρτίαν. — 2. *Ἀρετήν*] ἀνδρείαν. (λ. Ἀύγ.) — 3. *Ἐπηνοῦντό τε μᾶλλον*] ὑπερβαλλόντως εἶχον τὸν ἔπαινον. (λ. Ἀύγ.) — 4. *Ἀσφαλείᾳ*] τῇ ἑαυτῶν δηλονότι. (λ. Ἀύγ.) — 5. *Ἐθέλοντες δὲ — βέλτ.*] ὅπερ καὶ Ἀθηναῖοι ἔπραξαν, τὴν πόλιν αὐτῶν ἐρημώσαντες καὶ ναυσὶ κινδυνεύσαντες. — *Τολμᾷν*] σὺν τόλμῃ πράττειν. (λ. Ἀύγ.) — 10. *Γιγνώσκοντας*] ὑμᾶς τοὺς Λακεδαιμονίους. — 11. ** *Βέβαιον τὴν χάριν*] καὶ ἐν τῇ α' ὁ Κερκυραῖος „καὶ τὴν χάριν βίβαιον ἕξουσι." (Ἀύγ.) — 12. *Ἔχωσι*] παρέχωσι. (λ. Κασσ. Ἀύγ.)

Κεφ. λβ'. §. α'.

Πρὸς ἐλάσσω. D. I. πρὸ θυλάσσω.

Τῶν Ἑλλ. τινὰ ἀρετήν. C. F. τινὰ ἀρ. τῶν Ἑλλ.

Πέρξου. E. τοῦ Ξ.

Ἐπηνοῦντό τε. „Punctum ante haec verba mutavi in comma. Pertinent enim ad *οἷς καιροῖς*." HAACK.

Ἀσφαλείᾳ. Pal. ἀσφαλίαι. (*ἀσφαλίᾳ*. Cf. de similibus disputata de Art. crit. c. 12. p. 153. sq.) God. Bas. *ἐς ἀσφάλειαν*, ex interpr.

Βέλτιστα. C. *μέγιστα.*

6. *Κερδαλέως.* Vind. κερδαλέως.

7. *Ὁμοίως.* F. ὁμοίους.

Ἀεί. Pal., ut solet, *αἰεί*, nunc cum Mosqu. Cf. I. 1. p. 211.

Ἔχωσι. Ἔχουσι non male coniiciebat Heilm. et proximam virgulam delebat. Cf. not.

Ἡμῖν. Cass. F. Pal. It. Vat. H. Reg. (G.) Gr. D. E. Mosqu. m. Ar. Chr. Dan. marg. Steph. *ὑμῖν*, sicut I. s. v. al. man. At sententia generalis esse videtur. Cf. adnot.

Καθιστῆται. Pal. Gr. Vind. Ar. Chr. Bar. Ald. Flor. Bas. *καθίστηται.* At vid. I. 1. p. 229. Mosqu. Dan. *καθίσταται.* D. *καθιστητε.*

Digitized by Google

(βββ'. Τὸ ξυμφέρον. νζ'. νη'. §. 1. 2. Ὅτι Λακεδαιμόνιοι σφῶν καταψηφισάμενοι κακῶς ἀπούσονται ἀποφαίνουσι, ἅμα δὲ καὶ τὸ μέγεθος τῆς σφῶν ξυμφορᾶς ὀδύρονται.)

νζ'. „Προσκέψασθέ τε ὅτι νῦν μὲν παράδειγμα τοῖς πολλοῖς τῶν Ἑλλήνων ἀνδραγαθίας νομίζεσθε· εἰ δὲ περὶ ἡμῶν γνώσεσθε μὴ τὰ εἰκότα, (οὐ γὰρ ἀφανῆ κρινεῖτε τὴν δίκην τήνδε, ἐπαινούμενοι δὲ περὶ οὐδ' ἡμῶν μεμπτῶν,) ὁρᾶτε ὅπως μὴ οὐκ ἀποδέξωνται ἀνδρῶν ἀγαθῶν πέρι, αὐτοὺς ἀμείνους ὄντας, ἀπρεπές τι ἐπιγνῶναι, οὐδὲ πρὸς ἱεροῖς τοῖς κοινοῖς σκῦλα ἀπὸ ἡμῶν τῶν εὐεργετῶν τῆς Ἑλλάδος ἀνατεθῆναι. 2. δεινὸν δὲ δόξει εἶναι Πλάταιαν Λακεδαιμονίους πορθῆσαι, καὶ τοὺς μὲν πατέρας ἀναγράψαι ἐς τὸν τρίποδα τὸν ἐν Δελφοῖς δι' ἀρετὴν τὴν πόλιν, ὑμᾶς δὲ καὶ ἐκ παντὸς τοῦ Ἑλληνικοῦ πανοικησίᾳ διὰ Θηβαίους ἐξαλεῖψαι. 3. ἐς τοῦτο γὰρ δὴ ξυμφορᾶς προκεχωρήκαμεν, οἵτινες Μήδων τε κρατησάντων ἀπωλλύμεθα, καὶ νῦν ἐν ὑμῖν τοῖς πρὶν

νζ. 3. Μὴ τὰ εἰκότα] οὐχὶ δίκαια. (λ. Αὐγ.) — ** Οὐ γὰρ ἀφανῆ] Ὅμηρος· ὅσσα δ' ἄρ' ἄγγελος ὦκα. (Αὐγ.) — 4. Ἐπαινούμενοι δέ] ὑμεῖς δηλονότι. — 5. Ἀνδρῶν ἀγαθῶν πέρι] ἡμῶν δηλονότι τῶν Πλαταιέων. — 6. Αὐτοὺς ἀμείνους ὄντας] ἀντὶ τοῦ ὑμᾶς τοὺς Λακεδαιμονίους. ὅρα δὲ πῶς κολακεύει λανθανόντως τοὺς Ἀθηναίους. — 8. Ἀνατεθῆναι] ἀπὸ κοινοῦ τὸ μὴ οὐκ ἀποδέξωνται. — 10. Ἐς τὸν τρίποδα] τὸν ἐκ τῶν Μηδικῶν σκύλων, ὃν ὁ Παυσανίας ἐποίησε.

Cap. LVII. *Προσκέψασθέ τε.* Τέ om. Vat. Chr. Mox in ἀνδραγαθίας syllaba γα s. v. al. man in H. I.

Οὐ γάρ. Γάρ om. Gr.

Ἀφανῆ. D. I. ἀφανεῖ, posterior cum ἐν s. v. al. man. ante ἀφ.

Περί. Reg. (G.) παρά. Omnia autem egregia verba ἐπαινούμενοι - μεμπτῶν quoniam Valla non vertit (cf. de Art. crit. p. 75.), mirum est Benedictum ausum esse impugnare.

Ἱεροῖς. Reg. (G.) τοῖς ἱε., quo non opus.

Σκῦλα. Pal. σκύλα. cf. Passow. Lex. Graec. Alibi, ut II, 13., etiam Pal. cum reliquis in σκῦλ. conspirat. Statim D. ὑμῶν pro ἡμ.

2. Ἀρετήν. Ar. Dan. ἀρετῆς.

Δὲ καί. Καί om. Gr.

Παντὸς τοῦ. Τοῦ om. E.

Πανοικησίᾳ. Cl. Pal. cod. Bas. Vind. Mosqu. Ar. Chr. πανοικεσίᾳ, sed in Cl. πανοικησ. ex emend. Vid. adnot.

3. Ἀπωλλύμεθα Cass. Haack., quod iam Reiskius et Bauer. malebant. Dukero ἀπωλόμεθα requiri videbatur. Vulgo (et Bekk.) ἀπολλύμ. Vid. I. 1. p. 151.

Καὶ νῦν — ἡσσώμεθα ob si-

Digitized by Google

φιλτάτοις Θηβαίων ἠσσώμεθα, καὶ δύο ἀγῶνας τοὺς μεγίστους ὑπέστημεν, τότε μὲν, τὴν πόλιν εἰ μὴ παρέδομεν, λιμῷ διαφθαρῆναι, νῦν δὲ, θανάτου κρίνεσθαι· 4. καὶ περιεώσμεθα ἐκ πάντων Πλαταιῆς, οἱ παρὰ δύναμιν πρόθυμοι ἐς τοὺς Ἕλληνας, ἔρημοι καὶ ἀτιμώρητοι· καὶ οὔτε τῶν τότε ξυμμάχων ὠφελεῖ οὐδείς, ὑμεῖς τε, ὦ Λακεδαιμόνιοι, ἡ μόνη ἐλπὶς, δέδιμεν μὴ οὐ βέβαιοι ἦτε."

νη'. „Καίτοι ἀξιοῦμέν γε, καὶ θεῶν ἕνεκα τῶν ξυμμαχικῶν ποτὲ γενομένων καὶ τῆς ἀρετῆς τῆς ἐς τοὺς Ἕλληνας, καμφθῆναι ὑμᾶς, καὶ μεταγνῶναι, εἴ τι ὑπὸ

1. *Θηβαίων ἠσσώμεθα*] διὰ τοὺς Θηβαίους καταβαλλόμεθα. (λ. *Αὐγ.*) — 3. *Νῦν δέ*] κινδυνεύομεν δηλονότι. (λ. *Αὐγ.*) — 5. *Καὶ ἀτιμώρητοι*] οὐδεμίαν βοήθειαν ἔχοντες ὑπό τινος. (λ. *Αὐγ.*)

νη'. 9. *Τῶν ξυμμαχικῶν*] τῶν ἐφόρων τῆς ξυμμαχίας τῆς ἡμετέρας. (λ. *Αὐγ.*) — 10. *Τῆς ἀρετῆς*] τῆς ἡμετέρας. (λ. *Αὐγ.*) — *Τῆς ἐς τοὺς Ἕλληνας*] ἀπὸ κοινοῦ τὸ ἕνεκα. τὸ ἐξῆς, ἀξιοῦμεν καμφθῆναι. καὶ τοῦτο ἀπὸ τοῦ πρέποντος.

militer cadens *ἀπωλλύμεθα* om. Pal. D., sed in huius marg. al. man. restit.

Λιμῷ διαφθ. E. *λιμῷ δὲ διαφθ.*

Θανάτου κρίνεσθαι. Quod vulgo interponebatur *δίκῃ*, om. Vat. H. Reg. (G.), in quorum postremo int. vers. rec. man. script. Suspectum erat Dukero, uncis notavit Haack., delevit Bekk. Vid. not.

4. *Καὶ περιεώσμ.* — *ἀτιμώρητοι.* Thom. M. in *τιμωρῶ*, ubi om. *οἱ παρὰ Ἕλλην.*

Περιεώσμεθα. Gr. *περιεσώμεθα.*

Πλαταιῆς Bekk. Vulgo *Πλαταιᾶς*. Plerique libri cum Thom. *Πλαταιεῖς*. Vid. I. 1. p. 221. cum Farr. discr. script.

Παρὰ δύναμιν πρόθυμοι. Haec et alia, quae mox sequuntur, ex hac oratione sumpsit Dion. Hal. p. 1210. 11.

Τότε de. Ar. Dan.

Ὠφελεῖ. Gr. *ὠφέλειται.*

„*Τμεῖς* — *ἦτε.* Dion. Hal. p. 7. [de Comp. verb. p. 44. seu 98. Schaef.] ubi *δεδίαμεν* [quod Sylb. mutavit] perperam [vid. script. discr. 53, 4.] *Λέξις*, inquit, *πάνυ χαριέντως συγκειμένη καὶ μεστὴ πάθους.*" WASS.

Cap. LVIII. *Καίτοι.* Reg. *καὶ τό.*

Ἀξιοῦμέν γε. Γέ om. C., sed frequens esse post *καίτοι* nemo ignorat.

Ξυμμαχικῶν. Mosqu. *ξυμμάχων.*

Καμφθῆναι Aug. G. Pal. It. Vat. G. D. E. Vind. et libri tam scripti quam editi ad Duk. usque collati, quantum scimus, omnes. *Γναμφθῆναι* ex marg. Steph. a Wass. iussus recepit Duk., servavit Haack., sed iure expulit Bekk. Vid. adnot. F. *ναμφθῆναι*, atque etiam E. *ν s. v.* post *κ.*

Digitized by Google

Θηβαίων ἐπείσθητε· τήν τε δωρεὰν ἀνταπαιτῆσαι αὐτούς, μὴ κτείνειν οὓς μὴ ὑμῖν πρέπει· σώφρονά τε ἀντὶ αἰσχρᾶς κομίσασθαι χάριν, καὶ μὴ, ἡδονὴν δόντας ἄλλοις, κακίαν αὐτοὺς ἀντιλαβεῖν. 2. βραχὺ γὰρ τὸ τὰ ἡμέτερα σώματα διαφθεῖραι, ἐπίπονον δὲ τὴν δύςκλειαν αὐτοῦ ἀφανίσαι. οὐκ ἐχθροὺς γὰρ ἡμᾶς εἰκότως τιμωρήσεσθε, ἀλλ' εὖνους, κατ' ἀνάγκην πολεμήσαντας."

(ββ'. Τὸ παραινετικὸν καὶ ἐντρεπτικὸν μέρος.)

('Επιπλάσαι Λακεδαιμονίους σπουδάζουσι καὶ ἐπισκήπτουσιν αὐτοῖς. — νθ'. §. 3.)

3. „Ὥςτε καὶ τῶν σωμάτων ἄδειαν ποιοῦντες, ὅσια ἂν δικάζοιτε, καὶ προνοοῦντες, ὅτι ἑκόντας τε ἐλάβετε, καὶ χεῖρας προϊσχομένους, (ὁ δὲ νόμος τοῖς Ἕλλησι μὴ κτείνειν τούτους,) ἔτι δὲ καὶ εὐεργέτας γεγενημένους διαπαντός. 4. ἀποβλέψατε γὰρ ἐς πατέρων τῶν ὑμετέρων θήκας, οὓς ἀποθανόντας ὑπὸ Μήδων, καὶ ταφέντας ἐν τῇ ἡμετέρᾳ, ἐτιμῶμεν κατὰ ἔτος ἕκαστον δημοσίᾳ ἐσθήμασί τε καὶ τοῖς ἄλλοις νομίμοις, ὅσα τε ἡ γῆ ἡμῶν

1. Ἀνταπαιτῆσαι] ἀπὸ κοινοῦ τὸ ἀξιοῦμεν. (λ. Κασσ.) — 3. Ἄλλοις] τοῖς Θηβαίοις. — 4. Αὐτούς] ὑμᾶς τοὺς Λάκωνας. — 7. Εὖνους] ὄντας δηλονότι. (λ. Αὐγ.) — 8. Τῶν σωμάτων]. ἀνωτέρω μὲν ὑπὲρ τῆς πόλεως ἠγωνίζετο, νῦν δὲ καὶ ὑπὲρ τῶν ἑαυτῶν σωμάτων. — 10. Χεῖρας προϊσχομένους] ἱκετεύσαντας. (λ. Αὐγ.) — 11. Τούτους] τοὺς αὐτομόλους.

Ἀνταπαιτῆσαι. „Θουκυδ. τρίτῳ καὶ τετάρτῳ [? πέμπτῳ? c. 17.]" Bekk. Anecdd. p. 407. cum Suid. Virgulam autem, quae vulgo post ἀπαιτ. erat, post αὐτούς (Θηβαίους) cum Reisk. fixit Haack.; aliter enim τούτους (vel ἐκείνους) dicendum erat.

Δόντας. I. et (fort. ex mendo typoth.) ed. Vind. δόντες.

Κακίαν. I. κακίας.

Αὐτούς. Cl. αὐτοῖς.

2. Γὰρ τό. Marg. Steph. γάρ τι.

Διαφθεῖραι. C. F. φθεῖραι, sicut c. 49. §. 4. Ar. Chr. Dan.

3. Ὥςτε καὶ. Bas. ὡς καί. Aug. a man. sec. inserit δέ, Mosqu. καί in marg. habet.

Καὶ προνοοῦντες. Ita interpretatur Valla, ac si καί non legisset. At vid. not.

4. Ἔτος. Mosqu. τὸ ἔτος, ne id quidem vitiose. Sic II, 24. κατὰ τὸν ἐνιαυτὸν ἕκαστον.

Δημοσίᾳ. Gr. δημοσίᾳ τε.

Ἐσθήμασι. Vind. ἐθήμασι. Frustra ἐδέσμασι et alia coniecerunt. Vid. adnot.

Νομίμοις. Vind. νόμοις. Virgula autem pro colo cum Bekk. distinximus.

Ὅσα τε. Reg. (G.) ὅσα γε.

Digitized by Google

ἀνεδίδου ὡραῖα, πάντων ἀπαρχὰς ἐπιφέροντες, εὖνοι μὲν ἐκ φιλίας χώρας, ξύμμαχοι δὲ ὁμαίχμοις ποτὲ γενομένοις. ὧν ὑμεῖς τοὐναντίον ἂν δράσαιτε, μὴ ὀρθῶς γνόντες. 5. σκέψασθε δέ· Παυσανίας μὲν γὰρ ἔθαπτεν αὐτούς, νομίζων ἐν γῇ τε φιλίᾳ τιθέναι καὶ παρ' ἀνδράσι τοιούτοις· ὑμεῖς δὲ εἰ κτενεῖτε ἡμᾶς, καὶ χώραν τὴν Πλαταιΐδα Θηβαΐδα ποιήσετε, τί ἄλλο ἢ ἐν πολεμίᾳ τε καὶ παρὰ τοῖς αὐθένταις πατέρας τοὺς ὑμετέρους καὶ ξυγγενεῖς, ἀτίμους γερῶν ὧν νῦν ἴσχουσι, καταλείψετε; πρὸς δὲ καὶ γῆν, ἐν ᾗ ἠλευθερώθησαν οἱ Ἕλληνες, δουλώσετε; ἱερά τε θεῶν, οἷς εὐξάμενοι Μήδων ἐκράτησαν,

8. *Παρὰ τοῖς αὐθένταις*] [*τοῖς φονεῦσιν.* (λ. *Ἀὺγ.*)] *αὐθένται παρίως οἱ αὐτόχειρες καὶ οἱ πολέμιοι· οἱ δὲ νῦν αὐθέντας τοὺς κυρίους καὶ δεσπότας. αὐθέντας δὲ τοὺς Θηβαίους ὧδέ φησι.* — 10. *Πρὸς δέ*] *πρὸς τοῖς εἰρημένοις.* (λ. *Ἀὺγ.*)

Ἐπιφέροντες. Vat. *ἐπιφέρειν.*

Ὁμαίχμοις. I. *ὁμαιχμοι*, et marg. al. man. *καὶ ὁμαίχμιοι.*

Γενομένοις. Reg. (G.) *γεγενημένοις*, quae huius verbi tempora etiam apud Xenoph. a librariis saepe confunduntur.

Τοὐναντίον. Cass. Aug. C. F. H. Reg. (G.) Gr. Mosqu. *τὸ ἐναντ.* Cf. I. 1. p. 215.

Δράσαιτε. E. *δράσετε.* Vind. *δράσητε.*

Μὴ ὀρθῶς. E. *ὀρθῶς μή.*

4. *Σκέψασθε δέ.* E. *σκέψ. τε.* Dan. *σκέψασθαι δέ.*

Νομίζων. Dan. *νομίζω.* Statim Thom. M. p. 897. *ἐν γῇ φιλίᾳ τίθεται.*

Εἰ κτενεῖτε. Dan. (cuius loco Pal. nominat Bekk.) *ἐκτενεῖτε.*

Πλαταιΐδα. C. *Πλαταιδα* (*Πλαταΐδα*). Cf. Lob. ad Phryn. p. 41.

Θηβαΐδα om. It. Vat., sed rec. man. supra *Πλαταιΐδα* posuit *τὴν Θηβαΐδα.* C. *Θηγαΐδα* scriptum habebat, sed *γ* al. man. mutavit in *β*.

Τὲ καὶ om. Gr.

Αὐθένταις. Secundum Cyrillum in Lex. ms. Thucydidem non *αὐθέντης*, sed *αὐτοέντης* scripsisse adnotat Abresch. Auct. p. 312.

Ἴσχουσι. I. *ἔχουσι.* De quarum formarum differentia vid. Buttm. Gr. max. Ind. verb. anom. Cod. Bas. *ἰαχύουσι,*

Καταλείψετε. E. *καταλήψετε.*

Δὲ καὶ. Καὶ de. Reg. (G.)

Ἠλευθερώθησαν. Vat. H. *ἠλευθέρωσαν*, sed in H. (qui insuper *εἰ* pro *ηἰ* habere traditur) *θη* s. v. al. man.

Δουλώσετε. D. I. *ἐδουλώσατε*, sed I. in marg. al. man. *δουλώσετε.*

Digitized by Google

ἐρημοῦτε; καὶ θυσίας τὰς πατρίους τῶν εἰσαμένων καὶ κτισάντων ἀφαιρήσεσθε;"

νθ'. „Οὐ πρὸς τῆς ὑμετέρας δόξης, ὦ Λακεδαιμόνιοι, τάδε, οὔτε ἐς τὰ κοινὰ τῶν Ἑλλήνων νόμιμα καὶ ἐς τοὺς προγόνους ἁμαρτάνειν, οὔτε ἡμᾶς τοὺς εὐεργέτας ἀλλοτρίας ἕνεκα ἔβλαβας, μὴ αὐτοὺς ἀδικηθέντας, διαφθεῖραι, φείσασθαι δὲ καὶ ἐπικλασθῆναι τῇ γνώμῃ οἴκτῳ σώφρονι λαβόντας, μὴ ὧν πεισόμεθα μόνον δεινότητα κατανοοῦντας, ἀλλ' οἷοί τε ἂν ὄντες πάθωμεν,

1. Τῶν ἐσαμένων] ἱδρυσαμένων. — 2. Ἀφαιρήσεσθε] ζημιώσατε.

νθ'. 3. Οὐ πρὸς τῆς ὑμετέρας δόξης] [οὐχ ἅπτεται τῆς ὑμετέρας δόξης. (λ. Λύγ.)] ὅρα πάλιν πῶς κολακεύει. — 7. ** Φείσασθαι δέ] ἀπὸ κοινοῦ τὸ [οὐ] πρὸς τῆς ὑμετέρας δόξης. (Λύγ.) — 9. Οἷοι] τοντέστιν εὐεργέται τῆς Ἑλλάδος καὶ ὑμῶν αὐτῶν, διὰ τὰ ἐν Ἰθώμῃ.

Ἐρημοῦτε. I. ἐρημοῦντες. Expectaveris ἐρημώσετε. At vid. I. 1. p. 153. et Matth. Gr. §. 181. 2. c. Proximum καὶ G. fertur om.

Εἰσαμένων. Ita Pal., nisi quod spiritu leni utitur. Cass. C. ἐσαμένων, sed Cass. abrasa secunda litera. Alterutrum probandum fuisse ex Buttm. Gr. max. §. 108. II. adnot. 7. et Matth. Gr. Ind. verb. anom. in Ἐω apparet; illud ob Herodoti et Plutarchi auctoritatem praestare visum est. Vulgo (Haack. et Bekk.) ἐσσαμένων, in m. ex corr. et in Vind. ἐσσ. Pro eo I. Ar. Chr. Dan. ἱδρυσαμένων, ex interpr. (Vid. Schol.) Vind. in marg. ἱδρυσάντων, Mosqu. in marg. οἰκοδομησαμένων adscriptum habet.

Κτισάντων. D. κτησάντων.

Ἀφαιρήσεσθε. Gr. ἀφαιρεθήσεσθε.

Cap. LIX. Πρός. It. Vat. πρό.

Τῇ γνώμῃ. D. I. ταῖς γνώμαις.

Οἴκτῳ σώφρονι Cass. Aug. Pal. It. Vat. H. Reg. (G.) B. Vind. Bar. Ald. Flor. Bas. (ed. non cod. Bas.) Steph. 1. marg. Steph. 2. Bekk. Eodem ducit negligens Vallae interpretatio *ut modestia capiamini misericordia.* Vulgo (et Haack.) οἶκτον σώφρονα, et comma est ante οἴκτῳ, atque in Cass. et Reg. rec. man. int. vers. scriptum ον et ᾱ et in Cass. insuper in marg. γρ. οἶκτον σώφρονα. At vid. I. 1. p. 127.

Λαβόντας. C. F. Gr. λαβόντες, hic cum ᾱ super ε.

Δεινότητα. D. δηνοτ. E. Ar. Chr. δεινότατα.

Κατανοοῦντας. Cass. C. F. Pal. It. H. Reg. (G.) Gr. B. D. I. E. Vind. Bar. Ald. Flor. Bas. κατανοοῦντες, I. cum ας s. ες. Nominativum hic et in λαβόντες tenere si quis velit, colo, quod vulgo post διαφθ. collocatur, servato φείσασθαι καὶ ἐπικλ. accipiat pro imperativis. Cf. I. 1. p. 146. Nos tamen non habebit assentientes. Sic rursus in plerisque libris erratum §. 8.

Digitized by Google

καὶ ὡς ἀστάθμητον τὸ τῆς ξυμφορᾶς, ᾧ τινί ποτ' ἂν καὶ ἀναξίῳ ξυμπέσοι. 2. ἡμεῖς τε, ὡς πρέπον ἡμῖν, καὶ ὡς ἡ χρεία προάγει, αἰτούμεθα ὑμᾶς, θεοὺς τοὺς ὁμοβωμίους καὶ κοινοὺς τῶν Ἑλλήνων ἐπιβοώμενοι, πεῖσαι τάδε, προφερόμενοι ὅρκους οὓς οἱ πατέρες ὑμῶν ὤμοσαν, μὴ ἀμνημονεῖν, ἱκέται γιγνόμεθα ὑμῶν τῶν πατρῴων τάφων, καὶ ἐπικαλούμεθα τοὺς κεκμηκότας, μὴ γενέσθαι ὑπὸ Θηβαίοις, μηδὲ τοῖς ἐχθίστοις φίλτατοι ὄντες παραδοθῆναι· ἡμέρας τε ἀναμιμνήσκομεν ἐκείνης, ᾗ τὰ λαμπρότατα μετ' αὐτῶν πράξαντες, νῦν ἐν τῇδε τὰ δεινότατα κινδυνεύομεν παθεῖν."

1. *Καὶ ὡς ἀστάθμητον τὸ τῆς ξυμφορᾶς*] *ἀπὸ τοῦ ἀδόξου καὶ ἀδήλου τῆς τύχης τὸ ἐπιχείρημα· ἐν ᾧ καὶ εἰςβολὴ αἰδοῦς καὶ ἐλέου.* — 3. *Ἡ χρεία*] *ἡ ἀνάγκη.* (*λ. Ἀνγ.*) — *Τοὺς ὁμοβωμίους*] *τοὺς τιμωμένους ἐν τοῖς αὐτοῖς καὶ ὁμοίοις βωμοῖς.* (*λ. Ἀνγ.*) — 6. *Τῶν πατρῴων τάφων*] *ἕνεκα δηλονότι.* (*λ. Ἀνγ.*) — 7. *Τοὺς κεκμηκότας*] *τοὺς νεκρούς.* [*καὶ Ὅμηρος· καὶ οἳ ὑπένερθε καμόντας.* (*Ἀνγ. Bas.*)]

Ὅι τινι. Cl. ex emend. ὅ τινι.

Ἀναξίῳ Cass. Aug. Pal. Vat. G. Cam. Gr. marg. Steph. Vall. („*accidere etiam immerenti*") Heilm. Haack. Bekk. Vulgo *ἀναξίως*.

Ξυμπέσοι. Mosqu. *συμπέσῃ*.

2. Ὡς — προάγει. „Thom. Mag. [et Phav.] in *πρέπει*, qui *ὑμῶν*, recte." WASS. At vid. I. 1. p. 122. et de Art. crit. c. 8. p. 82. Ὡς om. E. *Πρέπον ἦν* habent C. F. et man. rec. Cass. Mox ad *ἐπιβοώμενον* fortasse respicit Zon. in h. v.

Προφερόμενοι. Aug. Pal. It. Vat. H. G. D. I. Vind. m. (in quo sola syllaba *προς* conspici potest, cetera corrosa,) Ar. Chr. Dan. marg. Steph. *προσφερ.* Quod perperam probat Kistem. Vid. c. 63. §. 3. Post *προφ.* autem fortasse quispiam desideret *τε*. Cf. adnot.

Ὤμοσαν μή. Ar. Dan. *ὤμ. καὶ μή*. Chr. lineolam inter *ὤμ.* et *μή* habet. *Καί* noli ante *ἱκέται* ponere, post quod nomen Reiskius *τέ* inserebat. Ante *ἱκέται* autem ad Gottl. usque male punctum erat.

Κεκμηκότας Pal. cod. Bas. (sed hic ex emend.) I. marg. Steph. Schol. in cap. Pollux III, 106. „*Τοὺς μέντοι κεκμηκότας τοὺς ἀποθανόντας ὁ αὐτὸς* (*Θουκυδ.*) *εἴρηκε.*" Vulgo (Haack. Bekk.) *κεκμηῶτας*. Vid. adnot.

3. Ἡμέρας — παθεῖν. „Priscian. XVIII. p. 1172." WASS.

Ἀναμιμνήσκομεν. Gr. *ἀναμιμνησκόμενοι*.

Μετ' αὐτῶν. Cass. Pal. It. Vat. Reg. Vind. *μεθ' αὐτῶν*. Cl. Gr. Bar. Ald. Flor. Bas. marg. Steph. Priscian. l. d. („atque ita cod. ms. B. Pub. Cantab." WASS.) *μεθ' ἑαυτῶν*. Quod pro *ἀλλήλων* nonnumquam poni quanquam I. 1. p. 175. intelleximus, hic tamen probari

Digitized by Google

(Ἐκλογοι.)

3. „Ὅπερ δὲ ἀναγκαῖόν τε καὶ χαλεπώτατον τοῖς ὧδε ἔχουσι, λόγου τελευτᾶν, διότι καὶ τοῦ βίου ὁ κίνδυνος ἐγγὺς μετ' αὐτοῦ, παυόμενοι, λέγομεν ἤδη ὅτι οὐ Θηβαίοις παρέδομεν τὴν πόλιν, (εἱλόμεθα γὰρ ἂν πρό γε τούτου τῷ αἰσχίστῳ ὀλέθρῳ, λιμῷ, τελευτῆσαι,) ὑμῖν δὲ πιστεύσαντες προσήλθομεν. καὶ δίκαιον, εἰ μὴ πείθομεν, ἐς τὰ αὐτὰ καταστήσαντας, τὸν ξυντυχόντα κίνδυνον ἐᾶσαι ἡμᾶς αὐτοὺς ἑλέσθαι. 4. ἐπισκήπτομέν τε ἅμα μὴ, Πλαταιῆς ὄντες, οἱ προθυμότατοι περὶ τοὺς Ἕλληνας γενόμενοι, Θηβαίοις, τοῖς ἡμῖν ἐχθίστοις, ἐκ τῶν ὑμετέρων χειρῶν καὶ τῆς ὑμετέρας πίστεως ἱκέται ὄντες, ὦ Λακεδαιμόνιοι, παραδοθῆναι· γενέσθαι δὲ σωτῆρας ἡμῶν καὶ μὴ, τοὺς ἄλλους Ἕλληνας ἐλευθεροῦντας, ἡμᾶς διολέσαι."

1. **Ὅπερ δὲ ἀναγκ.] οἱ ἐπίλογοι. (Ἀϑγ.) — Ἀναγκαῖον] χρήσιμον. (λ. Ἀϑγ.) — 2. Λόγου τελευτᾶν] ἤγουν κατὰ τὸ τέλος τοῦ λόγου εἰπεῖν. (λ. Ἀϑγ.) — 5. Τῷ αἰσχίστῳ ὀλέθρῳ, τῷ λιμῷ] Ὅμηρος· Λιμῷ δ' οἰκτιστον θανέειν καὶ πότμον ἐπισπεῖν.

nequit, sed recte Valla μετ' αὐτῶν *cum patribus vestris* convertit. Vid. adnot.

3. Ὅπερ δέ. Δέ s. v. al. man. H., om. Vat.

Λέγομεν in marg. al. man. D. I.

Εἱλόμεθα. C. F. ἑλόμ.

Λιμῷ. Scholiasta ante hoc nomen articulum repetit, quanquam fortasse aliis totum nomen non legisse videatur. cf. not. ad Schol.

Καταστήσαντας. Cass. Aug. C. Pal. It. Vat. H. G. Gr. B. D. I. E. Vind. Ald. Flor. Bas. marg. Steph. κατάστησαντες, in Aug. et G. tamen ᾱ s. ᾰ. Cf. I. 1. p. 112.

Ἡμᾶς. I. καὶ ἡμ. Post ἑλέσθαι autem ante Haack. colon erat pro puncto.

4. Πλαταιῆς Bekk. Vulgo Πλαταιᾶς. Plerique libri et Haack. Πλαταιεῖς. Vid. I. 1. p. 221. cum Farr. discr. script. Sic rursus c. 60.

Ὄντες. Vind. ὄντας. E. ᾱ̄ς̄ s. ᾱ̄ς̄ al. man.

Οἱ προθυμότατοι, Οἱ om. Cass. Aug. Cl. Pal. It. Vat. H. G. At 57, 3. Πλαταιῆς οἱ παρὰ δύναμιν πρόθυμοι ἐς τοὺς Ἕλληνας.

Ἡμῖν. It. ὑμῖν.

Ἱκέται ὄντες. Vind. Dan. ἱκέτας ὄντας.

Γενέσθαι δέ Cass. Cl. F. Pal. It. Vat. Reg. (G.) Gr. Mosqu. Vall. Haack. Bekk. Vulgo γενέσθαι τε.

Ἄλλους s. v. al. man. H.

Διολέσαι. D. I. δ' ὀλέσαι.

Digitized by Google

(γ'. Θηβαῖοι καὶ αὐτοὶ λόγον αἰτοῦνται.)

ξ'. Τοιαῦτα μὲν οἱ Πλαταιῆς εἶπον. οἱ δὲ Θηβαῖοι, δείσαντες πρὸς τὸν λόγον αὐτῶν μὴ οἱ Λακεδαιμόνιοί τι ἐνδῶσι, παρελθόντες ἔφασαν καὶ αὐτοὶ βούλεσθαι εἰπεῖν, ἐπειδὴ καὶ ἐκείνοις παρὰ γνώμην τὴν αὐτῶν μακρότερος λόγος ἐδόθη τῆς πρὸς τὸ ἐρώτημα ἀποκρίσεως. ὡς δὲ ἐκέλευσαν, ἔλεγον τοιάδε.

(Δημηγορία Θηβαίων ξ' — ξζ'. Μετὰ μικρὸν προοίμιον αα'. ἀπολογία σφῶν αὐτῶν περὶ τῆς πάλαι διαφορᾶς τῆς πρὸς Πλαταιέας, ἣν ααά. τὴν ἀρχὴν ἀποφαίνουσι. §. 2.)

ξα'. „Τοὺς μὲν λόγους οὐκ ἂν ἠτησάμεθα εἰπεῖν, 206.
εἰ καὶ αὐτοὶ βραχέως τὸ ἐρωτηθὲν ἀπεκρίναντο, καὶ μὴ, ἐπὶ ἡμᾶς τραπόμενοι, κατηγορίαν ἐποιήσαντο, καὶ περὶ

ξ'. 4. Ἐκείνοις] τοῖς Πλαταιεῦσι. (λ. Ἀὐγ.) — Αὐτῶν] τῶν Θηβαίων. (λ. Ἀὐγ.) — 6. Ὡς δ' ἐκέλευσαν] οἱ Λακεδαιμόνιοι.

ξα'. 7. Τοὺς μὲν λόγους] οὓς μέλλομεν ἐρεῖν δηλονότι. (λ. Ἀὐγ.) — 8. Αὐτοί] οἱ Πλαταιεῖς. — 9. Ἐπὶ ἡμᾶς] καθ' ἡμῶν (λ. Ἀὐγ.) — ** Ἐπ' ἡμᾶς]

Ποίει ἐφ' ἡμᾶς; ὡς ἀνορθοῖς τὴν βίβλον.
§. Μηδεὶς ἐπ' ἡμᾶς τῶν σοφῶν ἀποξέσῃ,
Ὡς τις τὸ πρὶν ὥρθωσε τὴν τοῦ Ἡροδότου.
Τοὺς Αἰολεῖς, Ἴωνας ὁ Τζέτζης λέγει
Ψιλοῦν τὰ πάντα ὥςπερ τό γε . . . .
Ἡ † Θηβαῖς δ' αὖ Αἰολὶς † γλῶσσα λόγοις.
Τεθεικέναι λέγει † τὸν Θουκυδίδην
Λέξιν μίαν γράψαντα Θηβαίων γένους,
Ἔχοντα πολλὰς τῇ γραφῇ παραφέρειν,
Τμῆσες λέγοντα, καὶ νόμους δὲ τοὺς νόμους,
Καὶ λοιδορεῦντες, καὶ βιάσδεν, καὶ πόσα.
(Παλ.)

Cap. LX. Παρελθόντες. Reg. (G.) προελθ. At illud proprium est verbum de hac re. Cf. Ind. De Πλαταιῆς vid. 59, 4.

Γνώμην τήν. Τὴν s. v. al. man. B.

Τῆς πρός. Τῆς om. It. H. Reg. (G.)

Δὲ ἐκέλευσαν Cass. Reg. Gr. et haud dubie plures pro vulg. (Haack. Bekk.) δ' ἐκέλ. Cf. Farr. discr. script. (In simili tamen loco I, 72. οἱ δ' ἐκέλευον meliores libri.)

Cap. LXI. Ἐπὶ ἡμᾶς] Pal. ἐπ' ἡμᾶς, quod ridicule defendit alter Schol.

Digitized by Google

αὐτῶν, ἔξω τῶν προκειμένων, καὶ ἅμα οὐδὲ ἠτιαμένων πολλὴν τὴν ἀπολογίαν, καὶ ἔπαινον ὧν οὐδεὶς ἐμέμψατο. νῦν δὲ πρὸς μὲν τὰ ἀντεικεῖν δεῖ, τῶν δὲ ἔλεγχον ποιήσασθαι, ἵνα μήτε ἡ ἡμετέρα αὐτοὺς κακία ὠφελῇ, μήτε
5 ἡ τούτων δόξα, τὸ δ' ἀληθὲς περὶ ἀμφοτέρων ἀκούσαντες, κρίνητε."

2. „Ἡμεῖς δὲ αὐτοῖς διάφοροι ἐγενόμεθα πρῶτον, ὅτι, ἡμῶν κτισάντων Πλάταιαν ὕστερον τῆς ἄλλης Βοιωτίας καὶ ἄλλα χωρία μετ' αὐτῆς, ἃ ξυμμίκτους ἀνθρώ-

1. *Αὐτῶν*] [ἑαυτῶν, (λ. Αὐγ.)] *τῶν Πλαταιέων.* — ** *Ἠτιασμένων*] *δεδρασμένων, ἠτιασμένων, ὡς τὸ † ἠναγκασμένων. καὶ † τὸ γνοῶντες, γνοάζοντες, αἰτιῶντες, αἰτιάζοντες· οὕτω καὶ ταῦτα, αἰτιῶ, αἰτιάζω, δρῶ, δράζω.* (Αὐγ.) — 3. *Πρὸς μὲν τά*] *πρός τινα.* (λ. Αὐγ.) — *Πρὸς μὲν τά*] *πρὸς τὰ ἡμῶν κατηγορηθέντα.* — 4. *Ἡ ἡμετέρα — κακία —*] *ταῦτα εἰρωνικῶς λέγει ὁ Θηβαῖος· οὐ γὰρ ἔχει τοιοῦτον φρόνημα, ὡς ἐκ τῶν ἑπομένων ἐστὶ δῆλον· ὡς καὶ Ὅμηρος ποιεῖ τὸν Ἕκτορα λέγειν τὰ πρὸς τὸν Ἀχιλλέα· Οἶδα δ' ὅτι σὺ μὲν ἐσθλὸς, ἐγὼ δὲ σέθεν πολὺ χείρων. — Ἡ ἡμετέρα — κακία*] *ἡ δοκοῦσα παρ' αὐτοῖς κακία.* (λ. Αὐγ.) — 7. *Αὐτοῖς*] *τοῖς Πλαταιεῦσιν.* (λ. Αὐγ.) — 8. *Ὕστερον τῆς ἄλλης Βοιωτίας*] *μετὰ τὴν συνοίκισιν τῆς ἄλλης Βοιωτίας.* (λ. Αὐγ.)

Αὐτῶν Cass. Cl. Reg. Gr. Mosqu. m. Ar. Bar. et sine dubio plures, etiam unus Schol., ut videtur, cum Haack. pro vulg. (et Bekk.) *αὐτῶν*. Cf. Farr. discr. script.

Ἠτιαμένων C. F. cod. Bas. Gr. E. Dan. Bekk., E. tamen cum σ̄ s. v., quod minio scriptum. Vulgo (et Haack.) *ἠτιασμένων*, contra regulas de formatione temporum. (*αἰτιαθείς* VI, 53. VIII, 68.) Vid. tamen ad *δέδρασμαι* c. 53. adnot. sed lepida est Schol. Aug. adnotatio. Mosqu. *ἠτιωμένων*. „Commata post *ἠτιμένων* et *ἔπαινον* sustuli, ne, quae arcte coniungenda sunt, inepte divellantur." HAACK. Bekkerus tamen comma post *ἠτιαμ.* servavit, et id, quod post *αὐτ.* est, delevit. At vid. adnot.

Τὴν ἀπολογίαν. Τήν om. D. At vid. III, 23. 80. al.

Τῶν δέ. It. Vat. Gr. Ar. *τὸν δέ* vel *τὸν δ'*.

Μήτε ἡ ἡμετέρα. E. *μήτ' ἡμετ.*

Αὐτούς. Chr. Dan. *αὐτοῖς.* Ar. quidem *αὐτούς*, sed ex alicuius emendat. Dativus si maiore auctoritate niteretur, non esset damnandus. Vid. VIII, 96. et Matth. Gr. §. 384. 7.

Ὠφελῇ. C. *ὠφελεῖ.*

Ἀκούσαντες. G. *ἀκούσαντας*, ε̄ s. ᾱ al. man.

2. *Αὐτοῖς.* D. E. Vind. marg. Steph. *αὐτοί.*

Πρῶτον Cass. Aug. Cl. Pal. Vat. Reg. (G.) B. Bar. Ald. Flor. Bas. Haack. Bekk. Vulgo *τοπρῶτον*. Articulus „videtur ex proximis verbis *ἐτάχθη τὸ πρῶτον* adiectus esse." HAACK.

Αὐτῆς. Chr. *αὐτήν.* Statim pro *ἃ ξυμμίκτους* cod. Bas. ex emend. *ἅπερ ξυμμ.* Vind. *ἀξυμμ.*

Digitized by Google

πους ἐξελάσαντες ἔσχομεν, οὐκ ἠξίουν οὗτοι, ὥσπερ ἐτάχθη τὸ πρῶτον, ἡγεμονεύεσθαι ὑφ' ἡμῶν, ἔξω δὲ τῶν ἄλλων Βοιωτῶν παραβαίνοντες τὰ πάτρια, ἐπειδὴ προσηναγκάζοντο, προσεχώρησαν πρὸς Ἀθηναίους, καὶ μετ' αὐτῶν πολλὰ ἡμᾶς ἔβλαπτον, ἀνθ' ὧν καὶ ἀντέπασχον." 5

(βββ'. Τὰ ἐς τὸν σφῶν μηδισμὸν ἀπολογοῦνται.)

κεφ. νδ' § γ'. ξβ'. „Ἐπειδὴ δὲ [καὶ] ὁ βάρβαρος ἦλθεν ἐπὶ τὴν Ἑλλάδα, φασὶ μόνοι Βοιωτῶν οὐ μηδίσαι, καὶ τούτῳ μάλιστα αὐτοί τε ἀγάλλονται, καὶ ἡμᾶς λοιδοροῦσιν. 2. ἡμεῖς δὲ μηδίσαι μὲν αὐτοὺς οὐ φαμὲν, διότι οὐδ' Ἀθηναίους, τῇ μέντοι αὐτῇ ἰδέᾳ ὕστερον, ἰόντων Ἀθηναίων ἐπὶ τοὺς Ἕλληνας, μόνους αὖ Βοιωτῶν ἀττικίσαι. 3. καίτοι σκέψασθε ἐν οἵῳ εἶδει ἑκάτεροι ἡμῶν τοῦτο ἔπραξαν. ἡμῖν μὲν γὰρ ἡ πόλις τότε ἐτύγχανεν οὔτε κατ' ὀλιγαρχίαν ἰσόνομον πολιτεύουσα, οὔτε κατὰ δημοκρατίαν· ὅπερ δέ ἐστι νόμοις μὲν καὶ τῷ σωφρονε- 10 15

1. Οὗτοι] οἱ Πλαταιεῖς. — 2. Ἔξω] ἀντὶ τοῦ ἄνευ. (λ. Αὐγ.) — 3. Προσηναγκάζοντο] ἐμμένειν τοῖς πατρίοις ἔθεσι. (λ. Αὐγ.)

ξβ'. 8. Ἡμᾶς λοιδοροῦσι] μηδίσαντας δηλονότι. (λ. Αὐγ.) — 9. ** Ἡμεῖς δὲ μηδίσαι — —] ἀπὸ τῆς γνώμης καὶ αἰτίας ἡ λύσις τοῦ εὐεργετήματος. (Αὐγ.) — 10. Τῇ αὐτῇ ἰδέᾳ] τῇ αὐτῇ ὑποθέσει. — 11. Ἀττικίσαι] [τὰ τῶν Ἀττικῶν φρονῆσαι. (λ. Αὐγ.)] ὥσπερ ἡμεῖς μόνοι ἐμηδίσαμεν, οὕτω καὶ οὗτοι μόνοι ἠττίκισαν. — 13. ** Ἡμῖν μὲν γάρ] ἡ λύσις τοῦ ἁμαρτήματος συγγνωμονική. (Αὐγ.) — 14. Κατ' ὀλιγαρχίαν] τουτέστι κατὰ ἀριστοκρατίαν. — 15. Τῷ σωφρονεστάτῳ] τουτέστι τοῖς σώφροσιν ἀνδράσιν.

Ἔσχομεν. Cl. G. ἔχομεν, G. cum σ s. εχ.

Τὸ πρῶτον. Ar. Chr. τὸ πρότερον.

Ἡγεμονεύεσθαι. „Θουκυδ. τρίτῳ." Bekk. Anecdd. p. 98.

Ἀθηναίους. Mosqu. τοὺς Ἀθην.

Cap. LXII. Δὲ καί. Καί om. I. Ar. Dan. Vid. adnot.

Οὐ μηδίσαι. Proxima ad alterum μηδίσαι in uno Par. exciderant, sed al. man. suppl. Quales lacunas ex ὁμοιοτελεύτοις manifesto ortas Gail. postea non amplius indicavit.

Αὐτοί τε. Τέ om. E.

2. Μέντοι αὐτῇ. D. μὲν τῇ αὐτῇ.

Ἰόντων Ἀθηναίων Cass. F. Pal. It. Vat. H. Reg. (G.) cod. Bas. Gr. I. E. m. Ar. Chr. Dan. Haack. Bekk. Vulgo Ἀθηναίων ἰόντων, quod sane magis placet, quum haec opponantur verbis ἐπειδὴ ὁ βάρβαρος ἦλθεν.

Αὖ. G. ἄν.

3. Σκέψασθε. H. σκέψασθαι.

Μὲν γάρ. Μέν om. F. Reg. (G.)

Δέ ἐστι. Δέ de. Reg. Ante ὅπερ

στάτῳ ἐναντιώτατον, ἐγγυτάτω δὲ τυράννου, δυναστεία ὀλίγων ἀνδρῶν εἶχε τὰ πράγματα. 4. καὶ οὗτοι ἰδίας δυνάμεις ἐλπίσαντες ἔτι μᾶλλον σχήσειν, εἰ τὰ τοῦ Μήδου κρατήσειε, κατέχοντες ἰσχύϊ τὸ πλῆθος, ἐπηγάγοντο αὐτόν· καὶ ἡ ξύμπασα πόλις οὐκ αὐτοκράτωρ οὖσα ἑαυτῆς τοῦτ' ἔπραξεν, οὐδ' ἄξιον αὐτῇ ὀνειδίσαι ὧν μὴ μετὰ νόμων ἤμαρτεν. 5. ἐπειδὴ γοῦν ὅ τε Μῆδος ἀπῆλθε, καὶ τοὺς νόμους ἔλαβε, σκέψασθαι χρὴ, Ἀθηναίων ὕστερον ἐπιόντων, τήν τε ἄλλην Ἑλλάδα καὶ τὴν ἡμετέραν χώραν πειρωμένων ὑφ' αὐτοῖς ποιεῖσθαι, καὶ κατὰ στάσιν ἤδη ἐχόντων αὐτῆς τὰ πολλὰ, εἰ μαχόμενοι ἐν Κορωνείᾳ, καὶ νικήσαντες αὐτοὺς, ἠλευθερώσαμεν τὴν Βοιωτίαν, καὶ τοὺς ἄλλους νῦν προθύμως ξυνελευθεροῦμεν, ἵππους τε παρέχοντες καὶ παρασκευὴν ὅσην οὐκ ἄλλοι τῶν ξυμμάχων. 6. καὶ τὰ μὲν ἐς τὸν μηδισμὸν τοσαῦτα ἀπολογούμεθα."

id. 207. Βιβλ. ά. Κεφ. ριγ'.

2. Ὀλίγων ἀνδρῶν] Ἀτταγίνου καὶ τῶν ἄλλων ἀνδρῶν τῶν μηδισάντων μάλιστα. — 4. Ἰσχύϊ] βίᾳ. (λ. Λύγ.) — 5. Αὐτόν] τὸν βάρβαρον. — 6. ** Οὐδ' ἄξιον αὐτῇ ὀνειδίσαι] μετάθεσις αἰτίας τοῦ μηδισμοῦ. μεθίστα γὰρ τὴν αἰτίαν εἰς τοὺς τῶν Θηβαίων δυνατωτέρους. (Βασ.) — 8. Ἔλαβεν] ἡ πόλις ἡμῶν. — Σκέψασθαι χρὴ] τὸ ἐξῆς, σκέψασθαι χρὴ, εἰ μαχόμενοι ἠλευθερώσαμεν, [καὶ] νῦν προθύμως συνελευθεροῦμεν. — 12. Αὐτούς] τοὺς Ἀθηναίους. — 13. Τοὺς ἄλλους] Ἕλληνας δηλονότι. (λ. Λύγ.)

autem pro puncto colon primus posuit Haack. Pro *νόμοις* Vind. *νόμος*.

4. *Ἐλπίσαντες*. Cod. Bas. *ὀπλίσαντες*.

Σχήσειν. Cod. Bas. (Cam.) *ἰσχύσειν*, post quod corrector addidit *ὑπολαβόντες*.

Μήδου. Chr. Dan. *δήμου*. Quem errorem iam I, 18. et alibi deprehendimus. Cf. infra 75, 2.

Ἰσχύϊ. D. I. *ἰσχύει*.

Αὐτῇ ὀνειδίσαι. m. *ὀνειδίσαι αὐτῇ*.

5. *Ἐπιόντων*. Pal. It. Vat. H. *εἰπόντων*, sed in H. erasum, et s. v. al. man. *ἐπιόντ*.

Ἡμετέραν. Cass. *ὑμετ*.

Αὐτοῖς. D. I. *αὐτῆς*, sed *οις* al. man. adscr.

Καὶ κατά. *Καί* in marg. habet Mosqu.

Αὐτῆς de. Mosqu. In Dan. *αὐτοῖς*.

Κορωνείᾳ. Pal. *Κορωνίᾳ*. Cf. Schol. I, 113. et I. 2. p. 290. sq. Mox H. *Βιωτίαν*.

Ξυνελευθεροῦμεν. E. *ἐξελευθ*., cum *ξυν* s. v., quod minio scriptum.

Ἄλλοι. Cod. Bas. *ἄλλη*. E. *ἄλλην*.

Digitized by Google

(ββ'. Ἔλεγχος τῶν πάλαι Πλαταιεῦσι πεπραγμένων. αα'. Ὅτι οὐκ ἐπὶ τῇ σφῶν τιμωρίᾳ, ἀλλ' ἐπὶ τῷ ξυνεπιέναι ἄλλοις Ἀθηναίων ξύμμαχοι ἐγένοντο, καὶ οὐκ ἴσην αὐτοῖς τὴν χάριν ἀντεκοδιδόασιν.)

ξγ'. „Ὡς δὲ ὑμεῖς μᾶλλόν τε ἠδικήκατε τοὺς Ἕλληνας, καὶ ἀξιώτεροί ἐστε πάσης ξημίας, πειρασόμεθα ἀπο-
Κεφ. νέ. φαίνειν. 2. ἐγένεσθε ἐπὶ τῇ ἡμετέρᾳ τιμωρίᾳ, ὡς φατὲ,
§. ά. Ἀθηναίων ξύμμαχοι καὶ πολῖται. οὐκοῦν χρῆν τὰ πρὸς ἡμᾶς μόνον ὑμᾶς ἐπάγεσθαι αὐτούς, καὶ μὴ ξυνεπιέναι μετ' αὐτῶν ἄλλοις, ὑπάρχον γε ὑμῖν, εἴ τι καὶ ἄκοντες προσήγεσθε ὑπ' Ἀθηναίων, τῆς τῶν Λακεδαιμονίων τῶνδε ἐπὶ τῷ Μήδῳ ξυμμαχίας γεγενημένης, ἣν αὐτοὶ μάλιστα προβάλλεσθε· ἱκανή γε ἦν ἡμᾶς τε ὑμῶν ἀπο-

ξγ'. 1. Μᾶλλον] ἡμῶν δηλονότι. (λ. Ἀὐγ.) — 2. Ἀξιώτεροι — ξημίας] ἄξιοι πᾶσαν ζημίαν παθεῖν. (λ. Ἀὐγ.) — 5. Αὐτούς] τοὺς Ἀθηναίους. — 6. Ἄλλοις] Ἕλλησι δηλονότι. (λ. Ἀὐγ.) — * * Ὑπάρχον] ἀντὶ τοῦ δυνατὸν ἦν ὑμῖν παραιτεῖσθαι. (Βασ.) — Εἴ τι καὶ ἄκοντες — —] ὁ νοῦς τοιοῦτος· εἰ ἀκουσίως τοῖς Ἀθηναίοις συνεμαχεῖτε καὶ κατεδουλοῦτε τοὺς Ἕλληνας, ἔδει ὑμᾶς προσδραμεῖν τοῖς Λακεδαιμονίοις· καὶ ἐκεῖνοι, διὰ τὴν ἐπὶ τῷ Μήδῳ συμμαχίαν ὑμῶν καὶ προθυμίαν, ἣν ἀεὶ προβάλλεσθε καὶ καυχᾶσθε, οὐκ ἂν ὑμᾶς παρεχώρησαν ὑφ' ἡμῶν τι παθεῖν. — 7. Προσήγεσθε] ἐδουλοῦσθε. (λ. Ἀὐγ.)

Cap. LXIII. Ἠδικήκατε. D. I. Ar. Chr. Dan. ἠδικήσατε.

2. Χρῆν. I. ἐχρῆν. At vid. script. discr. ad I, 39. et III, 89. Mosqu. χρή.

Ἐπάγεσθαι Chr. Bekk., quod iam in Obss. critt. p. 188. cum Reisk. restituendum diximus. Nam vulgatum (et Haack.) ὑπάγεσθαι aut *subigere* significat aut *pellicere*, non *advocare*. cf. §. 4., Ind. et de Art. crit. p. 60. atque de similibus confusionibus Schaef. Melett. critt. p. 104. sq.

Ὑπάρχον γε I. Haack. Bekk. Vulgo male ὑπάρχον τε. In tantilla re librum I. secure nos sequi posse apparet ex disp. de Art. crit. p. 49. (Male enim Vind. pro I. memoravimus p. 50.) Pal. ὑπάρχοντες.

Τμῖν. Reg. (G.) ἡμ.

Καὶ ἄκοντες. Καί om. Ar.

Τῶνδε. I. τῶν τε, sed τῶν δε marg. al. man.

Ξυμμαχίας. Ar. Chr. Dan. ξυγγενείας. Cod. Bas. ex emend. ξυμμαχία et deinde γεγενημένη.

Μάλιστα προβάλλεσθε. C. F. προβάλλ. μάλ.

Ἱκανή γε. Gr. marg. Steph. ἱκανὴ γάρ, quod γάρ in Cass. rec. man. super γέ script. Exspectaverit fortasse quispiam cum Reisk: ἦ ἱκανή γε. At non sine vi scriptor hic ante γέ, sicut alibi ante μέν γε (vid. adnot. ad I, 40.), ἀσυνδέτως locutus est.

Τμῶν ἀποστέρειν. C. ἀποστ. ὑμ.

Digitized by Google

τρέπειν, καὶ, τὸ μέγιστον, ἀδεῶς παρέχειν βουλεύεσθαι. ἀλλ' ἑκόντες, καὶ οὐ βιαζόμενοι ἔτι, εἵλεσθε μᾶλλον τὰ Ἀθηναίων. 3. καὶ λέγετε ὡς αἰσχρὸν ἦν προδοῦναι τοὺς εὐεργέτας· πολὺ δέ γε αἴσχιον καὶ ἀδικώτερον τοὺς πάντας Ἕλληνας καταπροδοῦναι, οἷς ξυνωμόσατε, ἢ Ἀθηναίους μόνους, τοὺς μὲν, καταδουλουμένους τὴν Ἑλλάδα, τοὺς δὲ, ἐλευθεροῦντας. 4. καὶ οὐκ ἴσην αὐτοῖς τὴν χάριν ἀντικέδοτε, οὐδὲ αἰσχύνης ἀπηλλαγμένην. ὑμεῖς μὲν γὰρ ἀδικούμενοι αὐτοὺς, ὡς φατὲ, ἐπηγάγεσθε, τοῖς δὲ ἀδικοῦσιν ἄλλους ξυνεργοὶ κατέστητε. καίτοι τὰς ὁμοίας χάριτας μὴ ἀντιδιδόναι αἰσχρὸν μᾶλλον, ἢ τὰς μετὰ δικαιοσύνης μὲν ὀφειληθείσας, ἐς ἀδικίαν δὲ ἀποδιδομένας."

Κεφ. νέ. §. γ'.

(βββ'. Ὅτι οἱ Πλαταιῆς πάντα, ἃ χρηστοὶ ἐγένοντο, δι' ἀπιστιαμὸν ἔπραξαν.)

ξδ'. „Δῆλόν τε ἐποιήσατε οὐδὲ τότε τῶν Ἑλλήνων ἕνεκα μόνοι οὐ μηδίσαντες, ἀλλ' ὅτι οὐδ' Ἀθηναῖοι,

4. *Πολὺ δέ γε αἴσχιον* —] *δευτέρα λύσις τοῦ ἀπρεποῦς. ἀντίστροφον κῶλον* — 6. *Τοὺς μέν*] *τοὺς Ἀθηναίους.* — 7. *Τοὺς δέ*] *τοὺς ἄλλους Ἕλληνας.* (*λ. Κασσ.*) — *Αὐτοῖς*] *τοῖς Ἀθηναίοις.* — 8. *Τμεῖς*] *οἱ Πλαταιεῖς.* (*λ. Αὐγ.*) — 9. *Ἐπηγάγεσθε*] *ἐφειλκύσατε, εἰς τὸ βοηθῆσαι* [*ὑμῖν*] *δηλονότι.* (*λ. Αὐγ.*) — 11. *Αἰσχρὸν μᾶλλον* — —] *αἰσχρὸν μᾶλλον τὰς ὀφειληθείσας χάριτας ἀντιδιδόναι. λείπει ἢ οὖ, ἵν' ᾖ οὕτω, καίτοι τὰς ὁμοίας χάριτας μὴ ἀντιδιδόναι οὐκ αἰσχρὸν μᾶλλον ἢ τὰς μετὰ, καὶ ἑξῆς.*

Βουλεύεσθαι. E. *βούλεσθαι.*

Εἵλεσθε. H. *εἵλεσθαι*, sed corr.

Τὰ Ἀθηναίων Cass. Aug. Cl. F. Pal. It. Vat. H. Reg. (G.) cod. Bas. Gr. Mosqu. Ar. Chr. Dan. Haack. Bekk. In D. I. *τε Ἀθην.*, et D. s. v. addit *εἶναι.* E. *τ' Ἀθην.* Vulgo *τὰ τῶν Ἀθην.*

3. Δὲ γε. Γε male om. E. Cf. Ind. in *δέ.*

Καταδουλουμένους. D. *καταδουλομένους.*

4. Ἀπηλλαγμένην. G. *ἀπηλαγμ.*

Μὲν γάρ. Μέν om. Mosqu.

Ἀδικουμένους αὐτούς. Mosqu. *αὐτ. ἀδικ.*

Κατέστητε. Gr. *καθέστ.*

Αἰσχρόν. D. *οὐκ αἰσχρόν.* Valla: „*Et sane minus turpe est similem gratiam non reddere.*" etc. Vid. Schol. Negationem addi voluerunt complures viri docti. At vid. adnot.

Cap. LXIV. *Ἀλλ' ὅτι.* Pal. *ἀλλότι.*

Ἀθηναῖοι. Post hoc vocabulum Bekk., qui in *καὶ* ante *νῦν* collocato, quod utique offendit, haesisse videtur, cum Valla comma posuit, post *τἀναντία* autem punctum. Vulgo res in-

Digitized by Google

ὑμεῖς δὲ, τοῖς μὲν ταὐτὰ βουλόμενοι ποιεῖν, τοῖς δὲ τἀναντία. 2. καὶ νῦν ἀξιοῦτε, ἀφ' ὧν δι' ἑτέρους ἐγένεσθε ἀγαθοὶ, ἀπὸ τούτων ὠφελεῖσθαι. ἀλλ' οὐκ εἰκός· ὥςπερ δὲ Ἀθηναίους εἵλεσθε, τούτοις ξυναγωνίζεσθε. 3. καὶ μὴ προφέρετε τὴν τότε γενομένην ξυνωμοσίαν, ὡς χρὴ ἀπ' αὐτῆς νῦν σώζεσθαι. ἀπελίπετε γὰρ αὐτὴν, καὶ παραβάντες, ξυγκατεδουλοῦσθε μᾶλλον Αἰγινήτας καὶ ἄλλους τινὰς τῶν ξυνομοσάντων, ἢ διεκωλύετε, καὶ ταῦτα οὔτε ἄκοντες, ἔχοντές τε τοὺς νόμους οὕςπερ μέχρι τοῦ δεῦρο, καὶ οὐδενὸς ὑμᾶς βιασαμένου, ὥςπερ

Κεφ. νή. §. ά. νθ'. §. β'. καὶ ἄλλοθι.

ξδ'. 1. Ὑμεῖς δέ] οἱ Πλαταιεῖς. (λ. Αὐγ.) — Τοῖς δέ] τοῖς Ἕλλησιν. (λ. Αὐγ.) — 2. Ἀφ' ὧν] πραγμάτων, οἷον προθυμίας καὶ ἀνδρείας. — ** Ἀφ' ὧν] τῶν ἔργων, τῶν ἀπὸ τούτων κινδύνων. (Βασ.) — Δι' ἑτέρους] τοὺς Ἀθηναίους. (λ. Αὐγ.) — 4. Εἵλεσθε] προτιμοτέρους ἐποιήσατε εἰς τὸ ξυμμαχεῖν αὐτοῖς. (λ. Αὐγ.) — 10. Μέχρι τοῦ δεῦρο] ἔχετε δηλονότι. (λ. Αὐγ.) — Καὶ οὐδενὸς ὑμᾶς βιασαμένου, ὥςπερ ἡμᾶς] προεῖπε γὰρ ὅτι ὑπὸ ὀλίγων αὐτοκρατόρων ἐτυραννούμεθα. — Ὥςπερ ἡμᾶς] ἐβιάσατο δηλονότι. (λ. Αὐγ.)

vertitur. Supple οὐκ ἐμηδίσατε.

2. Ὑμεῖς. Aug. Pal. Vat. H. G. Mosqu. ἡμεῖς, in Aug. tamen ὑ superscr. al. man.

Ἀφ' ὧν. D. καθ' ὧν. Mox in H. fuerat ἐγένεσθαι.

Ὥςπερ δέ. Cl. Gr. ὥςπερ οὐδέ.

Ἀθηναίους. H. Ἀθηναίοις.

3. Καὶ μή. Ante haec virgulam posuerunt Haack. et in minn. exempll. Bekk. Sed quum orator nunc ad aliud adversariorum argumentum refutandum accedat, cum Bekk. in maiorr. exempll. plenam interpunctionem servavimus. Caeterum G. verba καὶ μὴ προφέρετε bis scripta habet.

Προφέρετε. Προφέρεσθε fortasse cuipiam placeat ob 59, 2., sed nec hoc opus est, nec τότε in ποτέ ut mutetur. Vid. script. discr. ad I, 101.

Ξυνωμοσίαν. D. ξυνωμοτίαν, male.

Ἀπελίπετε It. Vat. H. I. D. E. m. Mosqu. Ar. Chr. Bekk. Vulgo (et Haack.) ἀπελείπετε. Sed alius generis sunt loci, in quibus ἔλειπον pro ἔλιπον dictum videtur. Cf. quae ad Lucian. D. D. II, 4. in tert. edit. disputavimus.

Ξυγκαταδουλοῦσθε. D. ξυγκαταδουλ.

Μᾶλλον om. Ar. Chr. Dan.

Αἰγινήτας. D. E. m. Αἰγινίτας, sicut E. paene constanter.

Ἄλλους. Gr. ἄλλους Ἀθηναίους, sed Ἀθηναίους linea subducta notatum est, e quo intelligitur delendum esse. Statim Pal. ξυνωμοσάντων.

Ἔχοντες. Reg. (G.) σχόντες. Pro proximo τέ Pal. δέ.

Οὕςπερ. „Hoc in edit. Oxon. inter errata relatum erat, et pro eo iubebatur legi ὥςπερ, quod etiam Wasse hic in marg. posuerat. Sed credo eum, qui indicem illum erratorum confecit, festinatione aliave quadam causa lapsum fuisse, quum voluis-

Digitized by Google

208. ἡμᾶς· τὴν τελευταίαν τε, πρὶν περιτειχίζεσθαι, πρόκλη- lb.
σιν ἐς ἡσυχίαν · ὑμῶν ·, ὥστε μηδ' ἑτέροις ἀμύνειν, Βιβλ.β'. κεφ.οβ'.
οὐκ ἐδέχεσθε. 4. τίνες ἂν [οὖν] ὑμῶν δικαιότερον πᾶσι τοῖς Ἕλλησι μισοῖντο, οἵτινες ἐπὶ τῷ ἐκείνων κακῷ ἀν-
5 δραγαθίαν προὔθεσθε; καὶ ἃ μέν ποτε χρηστοὶ ἐγένεσθε, ὡς φατὲ, οὐ προσήκοντα νῦν ἐπεδείξατε· ἃ δὲ ἡ φύσις ἀεὶ ἐβούλετο, ἐξηλέγχθη ἐς τὸ ἀληθές· μετὰ γὰρ Ἀθηναίων ἄδικον ὁδὸν ἰόντων ἐχωρήσατε. 6. τὰ μὲν

2. *Μηδετέροις*] τοῖς Ἀθηναίοις καὶ Λακεδαιμονίοις. (λ. Ἀὺγ.) — 3. *Τίνες ἂν οὖν ὑμῶν*] ἐνεὶ τοῦ οὐδεὶς δηλονότι. — *Πᾶσι τοῖς Ἕλλησι*] λείπει ἡ ὑπό. (λ. Ἀὺγ.) — 4. *Ἐπὶ τῷ ἐκείνων κακῷ*] τουτέστι τῶν Ἑλλήνων τῇ δουλώσει. — 5. *Ποτέ*] ἐπὶ τῶν Μηδικῶν. — 6. *Οὐ προσήκοντα*] τῇ αὐτῶν φύσει δηλονότι. (λ. Ἀὺγ.) — *Ἡ φύσις*] ἡ ὑμετέρα.

set scribere pro *οὔσπερ*, quod in edit. Oxon. est, legendum esse *οὕσπερ*. Nam et scripti et editi omnes, quos vidi, vulgatam scripturam. habent, quae cur mutari debeat, nulla probabilis ratio est." DUK. Post *ἡμᾶς* autem colon pro puncto posuimus, quum in proximis altera causa afferatur, ob quam non liceat Plataeensibus ad vetera foedera provocare.

Περιτειχίζεσθαι. Gr. *περιτειχίσθαι*.

Ὑμῶν. Cass. H. Reg. (G.) D. I. (qui postremus proxima ad *δικαιότ.* om. sed al. man suppl.) E. m. Dan. *ἡμῶν*, ut si genitivus subiective, non obiective intelligendus sit. Fortasse recte, quanquam infinit. *περιτειχίζ.* et *ἀμύνειν* ita minus bene subiecto carebunt.

Μηδ' ἑτέροις Cass. Gr. eodemque ducunt Bar. Ald. Flor. Bas. et haud dubie plures. Supra II, 72. *Δέχεσθε δὲ ἀμφοτέρους φίλους, ἐπὶ πολέμῳ δὲ μηδ' ἑτέρους*, et antea *καὶ ἔστε μηδὲ μεθ' ἑτέρων*. Vulgo (Haack. Bekk.) hic *μηδετέροις*.

Ἀμύνειν. Mosqu. *ἀμήνειν* hic et alibi. Mox *ἐδέχεσθε* in imperfecto positum videtur, quoniam saepius legati ultro citroque missi sunt. Saltem libri in eo conspirant.

4. *Οὖν* om. Cass. (in quo rec. man. adscr.) Aug. Cl. It. Vat. H. (in quo et ipso s. v. al. man. adscr.) Reg. (G.) Ar. Chr. Dan. Bekk. Sed quo iure hic deesse possit, non intelligimus; nam vix similia nostro exempla huius omissionis iudicabuntur quae ad I, 62. proferentur. Post *ἄν* autem saepe excidisse constat.

Δικαιότερον. Cl. E. *δικαιότεροι*.

Ἐπεδείξατε. Mosqu. *ἐδείξατε*.

Ἀεί Cass. Reg. Gr. D. E. m. Ar. Chr. Dan. Haack. Bekk. Vulgo *αἰεί*. „*Ἀεί* hic non modo plerique mss., sed etiam ed. Vasc. habent, unde suspicor etiam ita in vetustioribus edd. esse." DUK. Add. I. 1. p. 211.

Ἐβούλετο. Gr. *ἐβουλεύετο*.

Ἐξηλέγχθη. F. G. Vind. *ἐξηλίχθη*, G. cum *γ* s. v. Gr. *ἐξαλέγχθη*.

5. *Μὲν οὖν*. *Οὖν* de. Ar. Chr. Dan.

Digitized by Google

οὖν ἐς τὸν ἡμέτερόν τε ἀκούσιον μηδισμὸν καὶ τὸν ὑμέτερον ἑκούσιον ἀτυχισμὸν τοιαῦτα ἀποφαίνομεν."

(γγ'. Ἀπολογία ὑπὲρ ὧν τὰ τελευταῖα Πλαταιῆς φασὶν ἀδικηθῆναι.)

κεφ. νέ. §. ά. β'. ξέ. „Ἃ δὲ τελευταῖά φατε ἀδικηθῆναι, (παρανόμως γὰρ ἐλθεῖν ἡμᾶς ἐν σπονδαῖς καὶ ἱερομηνίαις ἐπὶ τὴν ὑμετέραν πόλιν,) οὐ νομίζομεν οὐδ' ἐν τούτοις ὑμῶν μᾶλλον ἁμαρτεῖν. 2. εἰ μὲν γὰρ ἡμεῖς αὐτοὶ πρός τε τὴν πόλιν ἐλθόντες ἐμαχόμεθα, καὶ τὴν γῆν ἐδηοῦμεν ὡς πολέμιοι, ἀδικοῦμεν· εἰ δὲ ἄνδρες ὑμῶν οἱ πρῶτοι καὶ χρήμασι καὶ γένει, βουλόμενοι τῆς μὲν ἔξω ξυμμαχίας ὑμᾶς παῦσαι, ἐς δὲ τὰ κοινὰ τῶν πάντων Βοιωτῶν πάτρια καταστῆσαι, ἐπεκαλέσαντο ἑκόντες, τί ἀδικοῦμεν; οἱ γὰρ ἄγοντες παρανομοῦσι μᾶλλον τῶν ἑπομένων. 3. ἀλλ' οὔτ' ἐκεῖνοι, ὡς ἡμεῖς κρίνομεν, οὔθ' ἡμεῖς· πο-

id. Βιβλ. β'. κεφ. β'.

ξέ'. 3. Ἃ δὲ τελευταῖα] τὸ δεύτερον ἀντιληπτικὸν τῶν Πλαταιέων ἐντεῦθεν λύει. — ** Παρανόμως γὰρ —] ὁριστικόν. (Αὐγ.) — 5. Οὐ νομίζομεν] οὐ βεβαίως δοξάζομεν. (λ. Αὐγ.) — 6. Πρός τε τὴν ὑμετέραν πόλιν] κατὰ τῆς ὑμετέρας πόλεως. (λ. Αὐγ.) — 8. Εἰ δέ] μεταστατικόν. — Ἄνδρες ὑμῶν] οἱ περὶ Ναυκλείδην. — 11. Ἐπεκαλέσαντο] προσήγαγον, ἐφελκύσαντο. (λ. Αὐγ.) — 12. Οἱ γὰρ ἄγοντες] οἱ ἄξαντες. (λ. Αὐγ.) — 13. Ἀλλ' οὔτ' ἐκεῖνοι —] τὸ ἑξῆς, ἀλλ' οὔτε ἐκεῖνοι, οὔτε ἡμεῖς, ἀδικοῦμεν δηλονότι. τὸ δὲ ὡς ἡμεῖς κρίνομεν διὰ μέσου. (λ. Αὐγ.)

Ἡμέτερόν τε. Τέ om. Gr. D.

Καὶ τὸν — ἄττικ. om. Cass. Reg. (G.), sed Cass. in marg. adscr. Mosqu. tantum ὑμέτ. ἀκούσιον ἄττικ. praebet, media a μηδ. — ad ἑκούσ. de. At vid. adnot. Ἀκούσιον pro ἑκούσ. habet etiam It.

Cap. LXV. Ἱερομηνίαις. Marg. Steph. ἱερομηνία, quae coniectura est ex 56, 1. ducta. Mox G. ἡμετέραν, sed corr.

Τμῶν μᾶλλον. Cass. G. Mosqu. μᾶλλ. ὑμ.

Ἁμαρτεῖν Cass. Aug. Pal. It. Vat. H. Reg. (G.) D. I. E. Vind. Ar. Chr. Dan. marg. Steph. Haack. Bekk. Vulgo ἁμαρτάνειν.

2. Τὴν πόλιν. D. E. Vind. Ar. Chr. Dan. marg. Steph. Schol. τὴν ὑμετέραν πόλιν, ex interpr. Vind. Mosqu. τὴν ἡμετέραν πόλιν, quod ex illo corruptum.

Ἐδῃοῦμεν. It. Vat. ἀδικοῦμεν, cuius scripturae vestigia fortasse etiam in H. insunt, de quo haec narrat Gail. „ἐδῄ corr. (et s. v. εδῃ ad correctionem melius indicandam) ουμεν." Ἀδικοῦμεν. Cf. I. 1. p. 152. Ἠδικοῦμεν fortasse cuipiam placeat ob I. 1. p. 136. sq.

Ἐς δέ. Vat. H. om. δέ. Gr. εἶτε dat.

3. Ὡς ἡμεῖς. E. ὡς ὑμεῖς.

Οὔθ' ἡμεῖς. Pro ἡμ. D. E. ὑμ. Statim Mosqu. πολῖται.

Digitized by Google

λῖται δὲ ὄντες, ὥςπερ ὑμεῖς, καὶ πλείω παραβαλλόμενοι, τὸ ἑαυτῶν τεῖχος ἀνοίξαντες, καὶ ἐς τὴν αὐτῶν πόλιν φιλίως, οὐ πολεμίως κομίσαντες, ἐβούλοντο τούς τε ὑμῶν χείρους μηκέτι μᾶλλον γενέσθαι, τούς τε ἀμείνους τὰ ἄξια ἔχειν, σωφρονισταὶ ὄντες τῆς γνώμης, καὶ τῶν σωμάτων τὴν πόλιν οὐκ ἀλλοτριοῦντες, ἀλλ' ἐς τὴν ξυγγένειαν οἰκειοῦντες, ἐχθροὺς οὐδενὶ καθιστάντες, ἅπασι δ' ὁμοίως ἐνσπόνδους."

(δδ'. Ἀντικατηγορία τῶν Πλαταιεῦσι νεωστὶ δεδραμένων.)

ξς'. „Τεκμήριον δὲ ὡς οὐ πολεμίως ἐπράσσομεν· οὔτε γὰρ ἠδικήσαμεν οὐδένα, προείπομέν τε τὸν βουλόμενον κατὰ τὰ πάντων Βοιωτῶν πάτρια πολιτεύειν εἶναι πρὸς ἡμᾶς. 2. καὶ ὑμεῖς ἄσμενοι χωρήσαντες, καὶ ξύμβασιν ποιησάμενοι, τὸ μὲν πρῶτον ἡσυχάζετε· ὕστερον δὲ κατανοήσαντες ἡμᾶς ὀλίγους ὄντας, εἰ ἄρα καὶ ἐδοκοῦμέν τι ἀνεπιεικέστερον πρᾶξαι οὐ μετὰ τοῦ πλήθους

Ιδ. Βιβλ. β. κεφ. β. §. δ'. Ιδ. Βιβλ. β. κεφ. γ'.

1. Πλείω] περισσοτέρως. (λ. Ἀὐγ.) — Παραβαλλόμενοι] ῥιψοκινδυνοῦντες. (λ. Ἀὐγ.) — 4. Μᾶλλον γεν.] ἀδίκους μᾶλλον γενέσθαι. (λ. Ἀὐγ.) — **Μᾶλλον γεν.] χείρους δηλονότι. (Κασὸ.) — 5. Σωφρονισταὶ ὄντες τῆς γνώμης —] ὠφελοῦντες καὶ τὰς γνώμας καὶ τὰ σώματα, τὰς μὲν γνώμας, ἵνα μὴ κακῶς βουλεύωνται, τὰ δὲ σώματα, ἵνα μὴ διαπράξωσιν ἀλλήλους, μηδ' ἐξελαύνωσι, μηδὲ κακῶς ποιῶσι πολῖται πολίτας· ἵνα λάβωμεν τὸ σωφρονεῖν ἀντὶ τῆς ὠφελείας. — 6. Τὴν ξυγγένειαν] τὴν τῶν Βοιωτῶν. — 7. Οὐδενὶ] τῶν Ἑλλήνων. (λ. Ἀὐγ.)

ξς'. 9. Τεκμήριον] τὸ ῥηθησόμενον. (λ. Ἀὐγ.) — 14. Κατανοήσαντες] καταμαθόντες. (λ. Ἀὐγ.) — 15. Ἀνεπιεικέστερον] ἀπανθρωπότερον. (λ. Ἀὐγ.)

Ὥςπερ ὑμεῖς. Reg. (G.) ὥςπερ ἡμ.

Ἀνοίξαντες. Ed. Bas. ἀνοίξαντας et mox κομίσαντας

Αὐτῶν. Cass. Cl. Pal. Reg. Gr. m. Ar. Chr. Dan. Ald. Flor. Bas. αὐτῶν. Modo ne antea ἑαυτῶν legeretur, idemque hic H. suppeditaret.

Τούς τε — τούς τε. Mosqu. τοὺς μὲν — τοὺς δέ.

Cap. LXVI. Τὰ πάντων Cass. C. F. Pal. It. Vat. H. Reg. (G.) D. m. Ar. Chr. Dan. Bekk. In Gr. B. E. Bar. Ald. Flor. τῶν πάντων. Mosqu. πάντων sine τά et τῶν. Vulgo (et Haack.) τὰ τῶν πάντ., ac II, 2. et III, 65. τῶν additum est, neque vero necessarium.

Πολιτεύειν. „Ἀντὶ τοῦ πολιτεύεσθαι· Θουκυδ. τρίτῳ." Bekk. Anecdd. p. 111. Cf. Ind. verb.

2. Τμεῖς. E. ὑμᾶς, sed corr. al. man. ὑμεῖς. Tum G. ξύμβασι.

Τὶ ἀνεπιεικέστερον. Pro τί Reg. τοί.

Digitized by Google

* ὑμῶν * ἐξελθόντες; τὰ μὲν ὅμοια οὐκ ἀνταπέδοτε ἡμῖν, 209.
μήτε νεωτερίσαι ἔργῳ, λόγοις τε † πείσειν † ὥστε ἐξελ-
θεῖν· ἐπιθέμενοι δὲ παρὰ τὴν ξύμβασιν, οὓς μὲν ἐν
χερσὶν ἀπεκτείνατε, οὐχ ὁμοίως ἀλγοῦμεν· (κατὰ νόμον
γὰρ δή τινα ἔπασχον·) οὓς δὲ χεῖρας προϊσχομένους, καὶ 5
ἰδ. Βιβλ. β κεφ. δ. §. ζ. ξωγρήσαντες, ὑποσχόμενοί τε ἡμῖν ὕστερον μὴ κτενεῖν,
καὶ παρανόμως διεφθείρατε, πῶς οὐ δεινὰ εἴργασθε; 3. καὶ
κεφ. ε. §. ε. ταῦτα τρεῖς ἀδικίας ἐν ὀλίγῳ πράξαντες, τήν τε λῃθεῖ-
σαν ὁμολογίαν, καὶ τῶν ἀνδρῶν τὸν ὕστερον θάνατον,
καὶ τὴν περὶ αὐτῶν ἡμῖν μὴ κτείνειν ψευσθεῖσαν ὑπό- 10
σχεσιν, ἣν τὰ ἐν τοῖς ἀγροῖς ὑμῖν μὴ ἀδικῶμεν, ὅμως
φατὲ ἡμᾶς παρανομῆσαι, καὶ αὐτοὶ ἀξιοῦτε μὴ ἀντιδοῦ-
ναι δίκην. 4. οὔκ, ἤν γε οὗτοι τὰ ὀρθὰ γιγνώσκωσι·
πάντων δὲ αὐτῶν ἕνεκα κολασθήσεσθε."

5. *Χεῖρας προϊσχομένους*] ἤγουν ἱκέτας γενομένους. (λ. *Ἀνγ.*) — 18. *Οὗτοι*] οἱ *Λακεδαιμόνιοι*. (λ. *Ἀνγ.*)

Τμῶν. Cass. (hic cum emendat. man. rec. int. vers. *ὑμῶν*,) Cl. Pal. H. Reg. (G.) Gr. et fortasse plures *ἡμῶν*, quod recepit Haack. et aliquantum commendat praecedens *ὀλίγους ὄντας*. Vid. adnot.

Ἐξελθόντες Haack. pro librorum (et Bekk.) scriptura *εἰςελθ*. Vid. I. 1. p. 212. cum Farr. discr. script.

Ὅμοια. *Ὁμοῖα* hic editt. praeter Vind. et Haack. Cf. I. 1. p. 213. sq.

Νεωτερίσαι Cass. C. F. Pal. It. Vat. H. Reg. (G.) Gr. B. E. Vind. Bar. Ald. Flor. Bas. Haack. Bekk. Vulgo *νεωτερίσειν*, cuius ipsa forma non Attica est. Neque obstare proximum *πείσειν* docet I. 1. p. 275. Quid, quod pro eo ipso *πεῖσαι* malis, quum futuri infinitivi notio non apta sit.

Ἐξελθεῖν. Vind. *εἰςελθ*.

Γὰρ δή. *Γάρ* om. D. I.

Μὴ κτενεῖν. Reg. *τείνειν* cum *μή* int. vers. scripto habere perhibetur, sed id ad inferius *μὴ κτείνειν* (ubi D. *κτήνειν*,) pertinere ex G. docet Gail. Praecedens *ὕστερον* E. s. v. minio scrip. habet.

Τπόσχεσιν. Cass. Aug. It. Vat. G. *ὑπόθεσιν*, quod pessime recepit Bekk., quum respiciatur ad *ὑποσχόμενοι* et ea, quae II, 5. narrata sunt. Neque iniuriae accusari possent Plataeenses, si *opinionem* aliquam (quid enim aliud esset hic *ὑπόθεσις*) Thebanorum fefellissent? Recte igitur in Cass. et Aug. *ὑπόσχεσιν* rec. man. superscr.

Ἀδικῶμεν. Post hoc verbum ante Gottl. male puncto interpungebatur.

Ἀξιοῦτε. Pal. *ἀξιοῦται*, sed in marg. corr.

4. *Οὔκ, ἤν γε*] „Si grammaticorum praecepta sequimur, potius scribendum est *οὔκ* cum Cass. [Olim *οὐκ* sine acc.] Vid. Bud. Commentar. p. 938. Nec male distinctio maior poneretur post *οὔκ*. Stephanus supplet,

Digitized by Google

(εἰ. Τοῦ προτρεπτικοῦ μέρους τοῦ Πλαταικὸν λόγου ἀνασκευή.)

ξζ'. „Καὶ ταῦτα, ὦ Λακεδαιμόνιοι, τούτου ἕνεκα ἐπεξήλθομεν, καὶ ὑπὲρ ὑμῶν καὶ ἡμῶν, ἵνα ὑμεῖς μὲν εἰδῆτε δικαίως αὐτῶν καταγνωσόμενοι, ἡμεῖς δὲ ἔτι ὁσιώτερον τετιμωρημένοι. 2. καὶ μὴ παλαιὰς ἀρετὰς, εἴ τις ἄρα καὶ ἐγένετο, ἀκούοντες ἐπικλασθῆτε, ἃς χρὴ τοῖς μὲν ἀδικουμένοις ἐπικούρους εἶναι, τοῖς δὲ αἰσχρόν τι δρῶσι διπλασίας ζημίας, ὅτι οὐκ ἐκ προσηκόντων ἁμαρτάνουσι· μηδὲ ὀλοφυρμῷ καὶ οἴκτῳ ὠφελείσθωσαν, πατέρων τε τάφους τῶν ὑμετέρων ἐπιβοώμενοι, καὶ τὴν σφετέραν ἐρημίαν. 3. καὶ γὰρ ἡμεῖς ἀνταποφαίνομεν πολλῷ δεινότερα παθοῦσαν τὴν ὑπὸ τούτων ἡλικίαν ἡμῶν

κεφ. νθ'. §. β'.

ξζ. 2. Ἵνα ὑμεῖς μὲν—] κεφάλαιον τὸ δίκαιον· ᾧ ἐπήγαγε τὴν ἐκβολὴν τῆς αἰδοῦς, ἧς ἡ ἀρχὴ „καὶ μὴ παλαιὰς ἀρετάς." — 4. Τετιμωρημένοι] κολάσαντες αὐτούς. (λ. Αὐγ.) — 5. Ἐπικλασθῆτε] χαυνωθῆτε. (λ. Αὐγ.) — Ἃς] τὰς ἀρετάς. (λ. Αὐγ.) — 7. Οὐκ ἐκ προσηκόντων ἁμαρτάνουσι] ὅτι ἀντ' ἀγαθῶν κακοὶ γεγένηνται, οὐ προσηκοντος αὐτοῖς τοῦ ἁμαρτάνειν διὰ τὴν ἐξ ἀρχῆς ἀνδραγαθίαν. — 8. ** Μηδὲ ὀλοφυρμῷ —] ἐλέου ἐκβολή. (Αὐγ.)

Minime vero impunitatem consequemini. Puto sufficere *Non ita*, ut in Virg. II. Aen. 583, ubi Germanus observat Euripidem et Sophoclem hoc dicere οὐ δῆτα." DUK. Secuti sunt Gottl. et recentt. Dion. Hal. p. 1165. οὔκ, ἐὰν τά γε δίκαια καὶ προσήκοντα τοῖς ὑμετέροις ἤθεσι βούλησθε πράττειν καὶ χωρὶς ὀργῆς κρίνησθε τὸ συμφέρον.

Αὐτῶν ἕνεκα. Ed. Bas. τῶν ἕνεκα. (Secus cod. Bas.)

Cap. LXVII. Τμῶν καὶ ἡμῶν. E. ἡμ. καὶ ὑμ. Mosqu. om. καὶ ἡμ. Tum. I. ὑμᾶς pro ὑμεῖς.

Δικαίως. Cod. Bas. Gr. καὶ δικ.

Αὐτῶν. I. Ar. Chr. Dan. marg. Steph. τούτων.

Καταγνωσόμενοι. Pal. καταγνωσάμ.

2. *Καὶ μή.* Ante haec verba vulgo (et apud Bekk.) virgula collocatur, sed nos cum Haack. plene distinximus; μὴ ἐπικλασθῆτε enim cum μηδὲ ὠφελείσθωσαν proxime cohaerent, non cum antecedd.

Εἴ τις — ἐγένετο Cass. Aug. Cl. C. F. Pal. It. Vat. Reg. (G.) Gr. B. E. Ar. Chr. Dan. Bar. Ald. Haack. Bekk. et ἐγένητο etiam Vind. Vulgo εἴ τινες — ἐγένοντο, quod corrector in Cass. intulit, sed nostrum longe exquisitius.

Ἀκούοντες ἐπικλασθῆτε. E. ἀκούοντας ἐπικλασθῆναι.

Αἰσχρόν τι. Τί om. Vind.

Οὐκ ἐκ προσηκόντων. Ar. Chr. Dan. ἐξ οὐ προσηκόντων. At vid. I. 1. p. 303. C. ante προσηκ. addit τῶν, quo non magis opus quam in ἐκ δυσελπίστων et similibus.

Πατέρων τε. Τέ om. Gr.

3 *Ἀνταποφαίνομεν.* Gr. ἀποφαίν.

Digitized by Google

διεφθαρμένην, ὧν πατέρες οἱ μὲν, πρὸς ὑμᾶς τὴν Βοιω-
ἰδ. Βιβλ. ά. κεφ. ριγ'. τίαν ἄγοντες, ἀπέθανον ἐν Κορωνείᾳ, οἱ δὲ, πρεσβῦται
λελειμμένοι, καὶ οἰκίαι ἔρημοι πολλῷ δικαιοτέραν ὑμῶν
ἱκετείαν ποιοῦνται τούςδε τιμωρήσασθαι. 4. οἴκτου τε
ἀξιώτεροι τυγχάνειν οἱ ἀπρεπές τι πάσχοντες τῶν ἀν- 5
θρώπων· οἱ δὲ δικαίως, ὥςπερ οἵδε, τὰ ἐναντία, ἐπί-
χαρτοι εἶναι. 5. καὶ τὴν νῦν ἐρημίαν δι' ἑαυτοὺς ἔχουσι.
τοὺς γὰρ ἀμείνους ξυμμάχους ἑκόντες ἀπεώσαντο, παρη-
νόμησάν τε, οὐ προπαθόντες ὑφ' ἡμῶν, μίσει δὲ πλέον
ἢ δίκῃ κρίναντες, καὶ οὐκ † ἀνταποδόντες † νῦν τὴν 10
ἴσην τιμωρίαν· ἔννομα γὰρ πείσονται, καὶ οὐχὶ ἐκ μά- 210.
χης χεῖρας προϊσχόμενοι, ὥςπερ φασὶν, ἀλλ' ἀπὸ ξυμ-
βάσεως ἐς δίκην σφᾶς αὐτοὺς παραδόντες."

6. Οἱ δὲ δικαίως —] ἐπανάληψις τοῦ ἀντεγκλήματος. — Ἐπίχαρτοι εἶναι] ὧν τῷ ὀλέθρῳ ὀφείλει πάντας ἀνθρώπους ἐπιχαρῆναι. (λ. Αὐγ.) — ** 7. Τὴν νῦν ἐρημίαν] τοῦτο πρὸς τὸν λόγον τῶν Πλαταιέων ὃν εἶπον, „καὶ περιεώσμεθα ἐκ πάντων ἔρημοι καὶ ἀτιμώρητοι." (Βασ.) — 12. Ξυμβάσεως] φιλίας. (λ. Αὐγ.)

ἰδ. κεφ. νζ'. §. δ'.

Πατέρες. E. οἱ πατέρες.

Ἄγοντες. Cass. Aug. Reg. (G.) ἔχοντες. Gr. ἀγόντες.

Κορωνείᾳ. Pal. Κορωνίᾳ. Cf. I, 62, 5.

Πρεσβῦται. Accentum cum Bekk. correximus. Vulgo (et Haack.) πρεσβύται. Chr. πρεσβύτεροι.

Ὑμῶν. Cam. marg. Steph. ὑμῖν. At vid. Intt. Isocr. Paneg. c. 15. D. ἡμῶν.

Ἱκετείαν. „Ἀντὶ τοῦ ἱκεσίαν· Θουκυδίδης τρίτῳ." Bekk. Anecdd. p. 100. Cf. I. 1. p. 482.

4. Οἴκτου τε. Mosqu. Ar. Chr. οἴκτου δέ, quod placebat Reisk. et Gottleb. Cf. tamen I. 1. p. 291. Dan. pro τε ἀξιώτ. habet διαξιώτ.

Οἵδε. E. οὗτοι, ex interpr.

Ἐπίχαρτοι. Affert Pollux. Vid. adnot.

5. Δι' ἑαυτούς. Mosqu. δι' ἑαυτοῦ.

Ἀπεώσαντο. Cod. Bas. ἀπηρνήσαντο.

Παρηνόμησαν. Gr. παρενόμησαν. Vulgatam corruptam putat Bekk. in min. edit. praefat. p. IV., defendunt Buttm. Gr. max. I. p. 345. et Matth. Gr. §. 170. Ante hoc verbum autem vulgo colon collocatur, pro quo Bekk. punctum, nos comma admisimus.

Μίσει δέ. G. μίσει τε, δ̄ s. τ̄. Idem statim πλέω.

Δίκῃ κρίναντες. D. I. διακρίν.

Ἀνταποδόντες. Imo ἀνταποδίδοντες vel ἀνταποδώσοντες. Vid. adnot. Valla: *minores quam pro merito nunc poenas dabunt*; unde tamen ἀνταποδώσοντες ab eo inventum esse certo non colliges. Post hoc participium autem Bekk. comma posuit, et verba ἔννομα γὰρ πείσονται in parenthesim redegit. At vid. not.

Οὐχί. I. m. Ar. Chr. Dan. οὐκ.

Ὥςπερ. Dan. ὡς.

Σφᾶς αὐτούς. Gr. σφ. αὐτ., de quo vitio cf. adnot. ad I, 5.

Digitized by Google

(*Δηήσεις καὶ ἐπίλογοι.*)

6. „*Ἀμύνατε οὖν, ὦ Λακεδαιμόνιοι, καὶ τῷ τῶν Ἑλλήνων νόμῳ ὑπὸ τῶνδε παραβαθέντι, καὶ ἡμῖν ἄνομα παθοῦσιν ἀντιπάθοτε χάριν δικαίαν ὧν πρόθυμοι γεγενήμεθα, καὶ μὴ τοῖς τῶνδε λόγοις περιωσθῶμεν ἐν ὑμῖν, ποιήσατε δὲ τοῖς Ἕλλησι παράδειγμα οὐ λόγων τοὺς ἀγῶνας προθήσοντες, ἀλλ' ἔργων· ὧν ἀγαθῶν μὲν ὄντων, βραχεῖα ἡ ἀπαγγελία ἀρκεῖ, ἁμαρτανομένων δὲ, λόγοι ἔπεσι κοσμηθέντες προκαλύμματα γίγνονται. 7. ἀλλ' ἦν οἱ ἡγεμόνες ὥσπερ νῦν ὑμεῖς κεφαλαιώσαντες πρὸς τοὺς ξύμπαντας διαγνώμας ποιήσησθε, ἧσσόν τις ἐπ' ἀδίκοις ἔργοις λόγους καλοὺς ζητήσει.*“

1. ** *Ἀμύνατε οὖν*] ἐπίλογοι. (*Ανγ.*) — *Τῷ τῶν Ἑλλήνων νόμῳ*] τῷ κελεύοντι παρὰ τὰς σπονδὰς μηδένα ἀναιρεῖν. — 2. *Παραβαθέντι*] ἀθετηθέντι. (λ. *Ανγ.*) — 4. *Περιωσθῶμεν*] ἀπωσθῶμεν περιυβρισμένοι. (λ. *Ανγ.*) — 5. *Τοὺς ἀγῶνας*] περιττεύει τὸ τούς ἄρθρον κατὰ Ἀττικὴν συνήθειαν· οἷον, οὐ προθήσετε λόγων ἀγῶνας, τοῖς Πλαταιεῦσι δηλονότι, ἀλλ' ἔργων. (*Κασσ.*) — 6. ** *Προθήσοντες*] προθέμενοι. (*Βασ.*) — 7. *Ἁμαρτανομένων δέ*] ἐσφαλμένων δὲ τῶν ἔργων. (λ. *Ανγ.*) — 9. ** *Κεφαλαιώσαντες πρὸς τοὺς ξύμπ.* —] ἀντὶ τοῦ κεφαλαιώσαντες πρὸς τοὺς συμμάχους, προθέντες καὶ ὁρίσαντες κρίσεις καὶ δηλώσεις ποιήσεσθε. (*Ανγ.*)

6. *Τῶνδε.* Cod. Bas. *τούτων.*

Ὧν. Marg. Steph. *εἰς ἅ*, ex interpr.

Καὶ μή. Vulgo ante haec verba colon est, ante *ποιήσ.* punctum, quae signa Haack. invertit, nos cum Bekk. in virgulas mutavimus.

Τοὺς ἀγῶνας Cass. (cuius confer Schol.,) Aug. Cl. Pal. It. Vat. Reg. D. E. m. Ar. Chr. Dan. Haack. Bekk. Vulgo *τούτοις ἀγῶσιν*, quod *τούτ.* in Cass. inter *ἀγῶν.* et *προθήσ.* adscriptum erat, sed a Valla non expressum est. „Futurum *προθήσ.* hanc generalem esse sententiam et ad omnes Graecos in posterum pertinere demonstrat.“ HAACK.

Ὧν om. Pal. It. Vat. et s. v. ead. man. habet H.

Ὄντων. Dan. *ἔν τε.*

Ἀπαγγελία. E. Ar. Chr. Dan. Bar. Ald. Flor. Bas. *ἐπαγγ.*, E. cum *ᾱ* s. *ε̄* al. man.

Προκαλύμματα. E. *προκάλυμμα.*

7. *Οἱ ἡγεμόνες.* *Οἱ* om. D. E. Ar. Chr. Dan., quod male probat aliaque hic sollicitat Bened.

Διαγνώμας. E. Vind. *διαγνώμονας.* Dan. *διὰ γνώμης.*

Ποιήσησθε. „Ita vertit Valla, quasi legeretur *ποιήσωνται.*“ HUDS. At vid. I. 1. p. 161. et de Art. crit. ap. Thuc. p. 74.

Digitized by Google

(f. Πλαταιῶν ξημία ἡ ὠμοτάτη.)

ξη'. Τοιαῦτα δὲ οἱ Θηβαῖοι εἶπον. οἱ δὲ Λακεδαιμόνιοι δικασταὶ, νομίζοντες τὸ ἐπερώτημα σφίσιν ὀρθῶς ἕξειν, εἴ τι ἐν τῷ πολέμῳ ὑπ' αὐτῶν ἀγαθὸν πεπόνθασι, διότι τόν τε ἄλλον χρόνον ἠξίουν δῆθεν αὐτοὺς κατὰ τὰς παλαιὰς Παυσανίου μετὰ τὸν Μῆδον σπονδὰς ἡσυχάζειν, καὶ ὅτε ὕστερον, ἃ πρὸ τοῦ περιτειχίζεσθαι προείχοντο αὐτοῖς, κοινοὺς εἶναι κατ' ἐκεῖνα, ὡς οὐκ ἐδέ-

Βιβλ. β'. κεφ. οά'. §. β'.

Βιβλ. β'. κεφ. οβ'. §. ά.

ξη'. ** 4. Τόν τε ἄλλον χρόνον] πρὸ τοῦ πολέμου τούτου. (Λύγ.) — 5. Μετὰ τὸν Μῆδον] μετὰ τὸν πόλεμον τοῦ Μήδου. (λ. Λύγ.) — 6. Προὔσχοντο] προεβάλλοντο. (λ. Λύγ.) — 7. Κοινοὺς εἶναι] τουτέστιν Ἀθηναίων καὶ Λακεδαιμονίων, κατὰ τὸν Ἀρχιδάμου πρὸς αὐτοὺς ἐν τῇ δευτέρᾳ λόγον. — Κατ' ἐκεῖνα] τὰ τοῦ Παυσανίου δηλονότι.

Cap. LXVIII. *Τοιαῦτα δέ* Cass. Aug. Cl. F. Pal. It. Vat. Reg. (G.) cod. Bas. Gr. E. Mosqu. Ald. Flor. ed. Bas. Haack. Bekk. Vulgo *τοιαῦτα μέν*. Vid. script. discr. ad I, 43. fin.

Θηβαῖοι. Vat. *Ἀθηναῖοι*, quae vocabula passim confundi VI, 95. intelligemus. Mox *δέ* ante *Λακεδ.* de, ed. Bas.

Σφίσιν ὀρθῶς. C. *σφίσι καλῶς*.

Ἀγαθόν. Vulgo *ἀγαθόν τι*, sed *τί* om. Cass. Aug. Cl. Pal. It. Vat. H. Reg. (G.) Gr. B. D. I. E. Ar. Chr. Dan. Ald. Flor. Bas. Steph. 1. Haack. Bekk. Vid. script. discr. ad c. 52. §. 4. (Etiam Valla hic non, ut illic, *numquid — quidquam*, sed simpliciter *numquid* scripsit.)

Πεπόνθασι. „In Gr. post *πεπόνθασι* ac deinde post *πεποιῆσθαι* sunt distinctiones maximae, in Cass. mediae, notae scilicet *παρεμβολῆς*, in qua et structura et sententia intricatissima atque obscurissima est. Nec multum iuvant ad utramque expediendam conversiones interpretum, e quibus satis apparet eos hic haesisse." DUK. Vid. adnot.

Μετά. Ar. Chr. Dan. *καὶ μετά*.

Τὸν Μῆδον. Cod. Bas. *τὸν Μηδισμόν*. E. Vind. marg. 2. Steph. *τῶν Μήδων*. Marg. 1. Steph. *τὰ τῶν Μήδων*, ex interpr. *Post Medum* (*Xerxem*) quin recte dicatur pro *post expeditionem Xerxis* nemo dubitabit.

Καὶ ὅτε. E. *καὶ τε τότε*.

Ἃ πρό. *Ἃ* a nonnullis impugnatum est, alii alia hic sollicitarunt. At vid. not.

Προείχοντο Cass. (in quo deinde factum *προὔσχοντο*,) Aug. Cl. F. Pal. It. Vat. Reg. (G.) Bas. Gr. marg. Steph. Bekk. Vulgo (et Haack.) *προὔσχοντο*, cuius quanquam nostrum vocabulum interpretationem existimes, et *προὔσχεσθαι* IV, 87. cum hac significatione legitur, a libris tamen optt. nolumus recedere. E. *παρείχοντο*, cum *προ* s. *παρ*.

Αὐτοῖς. G. (?) Mosqu. *αὐτούς*.

Κατ' ἐκεῖνα ὡς οὐκ ἐδέξαντο, ἡγούμενοι. „Ita distinguunt Steph. 2. et Ae. Port. [cum recentt. au-

Digitized by Google

ξαντο, ἡγούμενοι τῇ ἑαυτῶν δικαίᾳ βουλήσει ἐκσπονδοι ἤδη ὑπ' αὐτῶν κακῶς πεπονθέναι, αὖθις τὸ αὐτὸ ἕνα ἕκαστον παραγαγόντες καὶ ἐρωτῶντες, εἴ τι Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους ἀγαθὸν ἐν τῷ πολέμῳ δεδρακότες εἰσὶν, ὁπότε μὴ φαῖεν, ἀπάγοντες ἀπέκτεινον, καὶ ἑξαίρετον ἐποιήσαντο οὐδένα. 2. διέφθειραν δὲ Πλαταιῶν μὲν αὐτῶν οὐκ ἐλάσσους διακοσίων, Ἀθηναίων δὲ πέντε καὶ εἴκοσιν, οἳ ξυνεπολιορκοῦντο· γυναῖκας δὲ ἠνδραπόδισαν. 3. τὴν δὲ πόλιν ἐνιαυτὸν μέν τινα Θηβαῖοι Μεγαρέων ἀνδράσι κατὰ στάσιν ἐκπεπωκόσι, καὶ ὅσοι τὰ σφέτερα φρονοῦντες Πλαταιῶν περιῆσαν, ἔδοσαν ἐνοικεῖν· ὕστερον δὲ, καθελόντες αὐτὴν ἐς ἔδαφος πᾶσαν ἐκ τῶν θεμελίων, ᾠκοδόμησαν πρὸς τῷ Ἡραίῳ καταγώγιον διακοσίων ποδῶν, πανταχῇ κύκλῳ οἰκήματα

1. ** Ἐκσπονδοι ἤδη] γενόμενοι. (Βασ.) — 2. Τὸ αὐτό] ἐρώτημα δηλονότι. (λ. Ἀύγ.) — 6. Ἐξαίρετον] ἐκβεβλημένον τοῦ φόνου. (λ. Ἀύγ.) — 11. Τὰ σφέτερα] τὰ τῶν Θηβαίων. (λ. Ἀύγ.) — 13. Πρὸς τῷ Ἡραίῳ] πλησίον τοῦ ναοῦ τῆς Ἥρας. (λ. Ἀύγ.)

te Bekk.] Alii tam editi quam manu exarati in hunc modum: *κατ' ἐκεῖνα, ὡς οὐκ ἐδέξαντο, ἡγούμ.*" HUDS. „Cum Steph. 2. et Port. facit Cass., in quo tamen deinde corrector e distinctione media minimam fecerat. [Ita recte Bekk. Vid. adnot.] *Κατ' ἐκεῖνα, ὡς οὐκ ἐδέξαντο· ἡγούμ.* Bas." DUK. Pro ipso *ἐκεῖνα* Reisk. temere *ἐκείνας* malebat. Goeller circumspectionis, qua alibi utitur, plane immemor, deleto illo *ἅ*, quod ante *πρό* legitur, hic scripsit *κατ' ἐκεῖνα, ἃ οὐκ ἐδέξαντο, ὡς τῇ ἑ. ἑ. β. ἕ. ἤδη, ἡγούμενοι ὑπ' αὐτῶν* — Vid. adnot.

Ἑαυτῶν. Fortasse *αὐτῶν* quispiam malit; sed sententia verborum dubia est. Vid. adnot.

Κακῶς. Dan. *κακῶν.*

Τὸ αὐτὸ ἕνα. Reg. (G.) *τὸ αὐτὸ καὶ ἕνα.* Dan. *τὸ αὐτὸ ἕν.*

Παραγαγόντες. Cass. Aug. (sed hic a corr.) Reg. (G.) I. Vind. m. Ar. Chr. Dan. marg. Steph. *παράγοντες.* Sed c. 52. de eadem re *ἠρώτων δὲ αὐτοὺς ἐπικαλεσάμενοι.* Proximum *καί* Reisk. deleturus erat. At vid. adnot.

Ἀπάγοντες. Cod. Bas. *ἀπαγόντες.*

2. *Πλαταιῶν* Cass. C. F. Pal. G. Gr. m. Bekk. hic et iidem, ut videtur, (saltem Pal.) §. 3. Vulgo (et Haack.) *Πλαταιέων.* Vid. ad II, 2. (et 6.)

3. *Κατὰ στάσιν.* Mosqu. *κατάστασιν.*

Ἐνοικεῖν. Cod. Bas. *οἰκεῖν.*

Ἐκ τῶν θεμελίων. Τῶν om. Mosqu. Chr. Omnia haec verba autem si quis aut cum seqq. iungat aut aliter impugnet, nos non habet assentientes. Vid. I. 1. p. 198.

Ἡραίῳ. Gr. *ἡρῴῳ.* At vid. Herodot. IX, 52. Pausan. IX, 2, 5. Plut. Arist. 18. al.

Πανταχῇ κύκλῳ. Ad antecedd.

Digitized by Google

ἔχον κάτωθεν καὶ ἄνωθεν, καὶ ὀροφαῖς καὶ θυρώμασι τοῖς τῶν Πλαταιῶν ἐχρήσαντο· καὶ τοῖς ἄλλοις ἃ ἦν ἐν τῷ τείχει ἔκπλα, χαλκὸς καὶ σίδηρος, κλίνας κατασκευάσαντες, ἀνέθεσαν τῇ Ἥρᾳ, καὶ νεὼν ἑκατόμπεδον λίθινον ᾠκοδόμησαν αὐτῇ. τὴν δὲ γῆν δημοσιώσαντες, ἀπεμίσθωσαν ἐπὶ δέκα ἔτη, καὶ ἐνέμοντο Θηβαῖοι. 4. σχεδὸν δέ τι καὶ τὸ ξύμπαν περὶ Πλαταιῶν οἱ Λακεδαιμόνιοι οὕτως ἀποτετραμμένοι ἐγένοντο Θηβαίων ἕνεκα, νομίζοντες ἐς τὸν πόλεμον αὐτοὺς ἄρτι τότε καθιστάμενον ὠφελίμους εἶναι. 5. καὶ τὰ μὲν κατὰ Πλάταιαν, ἔτει τρίτῳ καὶ ἐνενηκοστῷ ἐπειδὴ Ἀθηναίων ξύμμαχοι ἐγένοντο, οὕτως ἐτελεύτησεν. 211. 5 10

Ξύμμαχοι οὖν ἐγένοντο πρὸ Χρ. φκ'. ἢ φιθ'.

6. Ἀπεμίσθωσαν] ἐπὶ μισθῷ ἐδεδώκασιν. (λ. Ἀνγ.) — 8. Ἀποτετραμμένοι ἐγένοντο] ἀπὸ τῆς φιλίας ἐκείνων ἀπέστησαν. (λ. Ἀνγ.) — 11. Ἐπειδὴ] ἀφ' οὗ. (λ. Ἀνγ.)

referunt Vallae et Porti interpretationes, ad seqq. libri edd. omnes praeter Bekk., qui cum Levesqu. παντεχῆ a κύκλῳ virgula divulsum ad praecedd. retulit. Reg. (G.) om. κύκλῳ, sicut Xen. Anab. III, 1, 2. κύκλῳ δ' αὐτοῖς πάντη πολλὰ καὶ ἔθνη καὶ πόλεις πολέμιαι ἦσαν ms. Et om. πάντη. At vid. ibi not.

Ὀροφαῖς. „Pollux VII, 121. ὀρόφοις καὶ θυρώμασι· Θουκυδίδης. Sed mss. et edd. omnes hic ὀροφαῖς exhibent. Utrumque est apud Aristoph. Vid. Schol. ad Nub. 173." DUK. Ὀροφή Thuc. IV, 48., ὄροφος I, 134.

Τῶν Πλαταιῶν. Τῶν om. Ar. Dan. Caeterum cf. c. 2.

Τοῖς ἄλλοις. Τοῖς om. Ar. Chr. Dan.

Ἃ — ἔκπλα. „Thom. Mag. in ἔκπλα." WASS. Pro ἦν F. male ἦσαν.

Ἑκατόμπεδον. Gr. Ald. Flor. Bas. marg. Steph. ἑκατόμπεδον. „Atque ita Hesych. Suid. et Harpocr. [de Parthenone]." HUDS. At vid. Lob. ad Phryn. p. 546. F. ἑκατον πεδον.

Δημοσιώσαντες. „Δημοσιεύειν τὸ δημεύειν· Θουκυδίδης τρίτῳ." Bekk. Anecdd. p. 90. Sed hic grammaticus aut fallitur, aut verba eius corrupta sunt.

Θηβαῖοι. Gr. οἱ Θηβ.

4. Δέ τι. Gr. δ' ἔτι.

Περί. „Abresch. p. 345. malit legi πέρι, ut sit ordo περὶ τὸ ξύμπαν." GOTTL. „Abreschii ratio durior est; nec vero περί accusativo postponi memini, sed tantum genitivo." BAUER.

Πλαταιῶν. D. I. Πλαταιέων. At vid. ad §. 2.

5. Ἔτει. E. ἔτι.

Ἐνενηκοστῷ Cass. C. Pal. It. Vat. H. Reg. I. Bekk. Vulgo (et Haack.) ἐννενηκ. Vid. script. discr. I, 46.

Οὕτως om. D.

Ἐτελεύτησεν Cass. (sed hic a man. rec.) Aug. C. F. Pal. It. Vat. Reg. (G.) Gr. B. D. E. Haack. Bekk. Vulgo ἐτελεύτησαν. Cf. I. 1. p. 97.

Digitized by Google

(8. *Τὰ περὶ Κέρκυραν γενόμενα. ξθ' — πέ. α'*) *Λακεδαιμόνιοι ὡς ἐς τὴν Κέρκυραν πλευσούμενοι παρασκευάζονται.*)

ξθ'. Αἱ δὲ τεσσαράκοντα νῆες τῶν Πελοποννησίων, αἱ Λεσβίοις βοηθοὶ ἐλθοῦσαι, ὡς τότε φεύγουσαι διὰ τοῦ πελάγους, ἔκ τε τῶν Ἀθηναίων ἐπιδιωχθεῖσαι, καὶ πρὸς τῇ Κρήτῃ χειμασθεῖσαι, καὶ ἀπ' αὐτῆς σποράδες, πρὸς τὴν Πελοπόννησον κατηνέχθησαν, καταλαμβάνουσιν ἐν τῇ Κυλλήνῃ τριςκαίδεκα τριήρεις Λευκαδίων καὶ Ἀμπρακιωτῶν, καὶ Βρασίδαν τὸν Τέλλιδος ξύμβουλον Ἀλκίδᾳ ἐπελθόντα. 2. ἐβούλοντο γὰρ οἱ Λακεδαιμόνιοι, ὡς τῆς Λέσβου ἡμαρτήκεσαν, πλέον τὸ ναυτικὸν ποιήσαντες, ἐς τὴν Κέρκυραν πλεῦσαι στασιάζουσαν, δώδεκα μὲν ναυσὶ μόναις παρόντων Ἀθηναίων περὶ Ναύπακτον, πρὶν δὲ πλέον τι ἐπιβοηθῆσαι ἐκ τῶν Ἀθηνῶν ναυτικὸν, ὅπως προφθάσωσι· καὶ παρεσκευάζοντο ὅ τε Βρασίδας καὶ ὁ Ἀλκίδας πρὸς ταῦτα. ιβ. κεφ. πθ'. καὶ λγ'.

ξθ'. 4. *Χειμασθεῖσαι*] *τὸν χειμῶνα διαβιβάσασαι.* (λ. *Ἀνγ.*) — *Καὶ ἀπ' αὐτῆς*] *περιττὸς ὁ καί.* — 14. *Πρὸς ταῦτα*] *πρὸς τὸ ἐπιπλεῦσαι κατὰ τῶν Κερκυραίων στασιαζόντων.* (λ. *Ἀνγ.*)

Cap. LXIX. *Ἀθηναίων* Cass. Aug. Cl. C. F. Pal. It. Vat. H. Reg. (G.) Cam. Gr. I. B. Ar. Chr. Dan. Haack. Bekk. Vulgo *Ἀθηνῶν*. „Lectionem *Ἀθηναίων* ipsa narratio a Thucydide c. 33. prolata defendit, quia Paches, Atheniensium dux, non ex Athenarum, sed ex Mitylenes urbe navibus profectus Peloponnesios persequebatur." BENED.

Ἐπιδιωχθεῖσαι. Gr. *διωχθ.*

Καὶ ἀπ' αὐτῆς. *Καί*, quod Schol. abundare dicit, vulgo uncis includitur, quos iure sustulit Haack. Vid. adnot. Post *σποράδες* autem inde a Gottl. recte virgula distinctum.

Κατηνέχθησαν, καταλαμβ. In Cass. fuerat *κατηνέχθησαν καὶ καταλ.*, deinde rec. man. fecit *κατενεχθῆσαι*, et in marg. quoque scriptum erat *γρ. κατενεχθῆσαι*. Quod saltem *κατενεχθεῖσαι* esse debebat, quanquam vel sic oratio efficeretur *ἀνακόλουθος*. Add. not.

Τριςκαίδεκα om. Cass. Pal. Reg. (G.) *Τριςκαίδεκα* exarant Mosqu. Bekk. Quod saltem *τρεῖς καὶ δέκα* esse debebat. At vid. I. 1. p. 471.

Ἀμπρακιωτῶν. C. Gr. *Ἀμβρακ.* At vid. I. 2. p. 140. Cf. ad Xen. Anab. I, 7, 18.

Ἀλκίδᾳ. H. *Ἀλκίδαν*. Gr. *Ἀλκείδᾳ*.

2. *Παρόντων*. „Perperam vulgo virgula distinguitur ante *παρόντων*, quasi verba *δώδεκα ναυσὶ μόναις* ad *πλεῦσαι*, non ad *παρόντων* (cf. c. 75. init.) pertineant. Item post *Ναύπακτον* colon mutavi in comma." HAACK.

Ἀθηνῶν. Gr. D. I. *Ἀθηναίων*. *Ὅ τε Βρασίδας καὶ ὁ Ἀλκίδας*. E. *ὅ τε Ἀλκίδας καὶ ὁ Βρασ.* C.

Digitized by Google

(β. *Στάσις Κερκυραίων.* ο' — οέ. *Οἱ ἐν Κορίνθῳ αἰχμάλωτοι γενόμενοι τῶν Κερκυραίων κατελθόντες Πειθίαν πρῶτον μὲν ἐς δίκην ὑπάγουσιν, ἔπειτα κτείνουσιν.*)

ιδ. Βιβλ. ά. κεφ. νδ'. νέ.

ο'. Οἱ γὰρ Κερκυραῖοι ἐστασίαζον, ἐπειδὴ οἱ αἰχμάλωτοι ἦλθον αὐτοῖς οἱ ἐκ τῶν περὶ Ἐπίδαμνον ναυμαχιῶν ὑπὸ Κορινθίων ἀφεθέντες, τῷ μὲν λόγῳ * ὀκτακοσίων * ταλάντων τοῖς προξένοις διηγγυημένοι, ἔργῳ δὲ πεπεισμένοι Κορινθίοις Κέρκυραν προσποιῆσαι. καὶ ἔπρασσον οὗτοι, ἕκαστον τῶν πολιτῶν μετιόντες, ὅπως ἀποστήσωσιν Ἀθηναίων τὴν πόλιν. 2. καὶ ἀφικομένης Ἀττικῆς τε νεὼς καὶ Κορινθίας, πρέσβεις ἀγουσῶν, καὶ ἐς λόγους καταστάντων, ἐψηφίσαντο Κερκυραῖοι Ἀθηναίοις μὲν ξύμμαχοι εἶναι κατὰ τὰ ξυγκείμενα, Πελοποννησίοις δὲ φίλοι, ὥσπερ καὶ πρότερον. 3. καὶ — ἦν γὰρ Πειθίας

ο'. 2. *Ναυμαχιῶν*] οὐχ ὅτι γέγονεν ἐν Ἐπιδάμνῳ ναυμαχία, ἀλλὰ διὰ τὴν αἰτίαν τῆς Ἐπιδάμνου ἐν τοῖς Συβότοις, ὅτε ἐξώγρησαν Κορίνθιοι οὐκ ἐλάσσους χιλίων Κερκυραίων. — 4. *Τοῖς προξένοις διηγγυημένοι*] διηγγύα τῶν προξένων. (λ. *Αὐγ.*) — 6. *Μετιόντες*] ὑποποιούμενοι. (λ. *Αὐγ.*) — 10. *Τὰ ξυγκείμενα*] τὰ συμπεφωνημένα. (λ. *Αὐγ.*)

B. vulgatum ordinem retinentes *Ἀλκίδας* exarant.

Cap. LXX. *Περί* om. Mosqu.

Ἐπίδαμνον. B. *Ἐπιδάμνον.* G. quidem *Ἐπίδαμνον*, sed *υ s. ν.*

Ἀφεθέντες in Cass. recens correct. ex *ἀφέντες.*

Ὀκτακοσίων ταλάντων. I. *ὀκτακοσίοις ταλάντοις.* At vid. Matth. §. 342. „*Octoginta* vertit Valla.“ HUDS. „Budaeus in Commentar. p. 79. et Stephanus in Thesaur. hunc locum citantes retinent *ὀκτακοσίων*, et tamen vertunt *octaginta*.“ DUK. Numerum vulgatum corruptum esse paene certum est et fortasse *ὀγδοήκοντα* reponendum. Vid. adnot.

Διηγγυημένοι. Pal. teste Bekk. *διηγγυώμενοι*, teste Frommel. *διεγγυώμενοι.* E. *διηγγυομένων*, *οι s. ων* al. man.

Κορινθίοις Κέρκυραν προσποιῆσαι. „Apud Thom. M. v. *βούλομαι* perperam legitur *Κερκυραίοις Κόρινθον προσποιῆσαι.*“ DUK. Cf. de Art. crit. p. 82.

Μετιόντες. Reg. (G.) *ἐπιόντες.* Sed nostrum de iis, qui precibus aliquem adeunt, dicitur.

2. *Ἀττικῆς τε.* *Τέ* om. Chr.

Πρότερον. Mosqu. *τὸ πρότ.*

3. *Καὶ ἦν.* Perspicuitatis causa post *καί* et *προεστήκει* nos lineolas posuimus, Haackius parenthesis signa. Structuram satis illustrat Matth. §. 613. VII. Cf. nos I. 1. p. 306. sq. *Ἦν* om. Dan.

Πειθίας. E. Mosqu. *Πυθίας.*

Digitized by Google

ἐθελοπρόξενός τε τῶν Ἀθηναίων, καὶ τοῦ δήμου προεστήκει — ὑπάγουσιν αὐτὸν οὗτοι οἱ ἄνδρες ἐς δίκην,
212. λέγοντες Ἀθηναίοις τὴν Κέρκυραν καταδουλοῦν. 4. ὁ δὲ, ἀποφυγὼν, ἀνθυπάγει αὐτῶν τοὺς πλουσιωτάτους
5 πέντε ἄνδρας, φάσκων τέμνειν χάρακας ἐκ τοῦ τε Διὸς τοῦ τεμένους καὶ τοῦ Ἀλκίνου. ζημία δὲ καθ' ἑκάστην χάρακα ἐκέκειτο στατήρ. 5. ὀφλόντων δὲ αὐτῶν, καὶ πρὸς τὰ ἱερὰ ἱκετῶν καθεζομένων διὰ τὸ πλῆθος τῆς ζημίας, ὅπως ταξάμενοι ἀποδῶσιν, ὁ Πειθίας (ἐτύγχανε
10 γὰρ καὶ βουλῆς ὤν) πείθει ὥστε τῷ νόμῳ χρήσασθαι. 6. οἱ δ' ἐπειδὴ τῷ τε νόμῳ ἐξείργοντο, καὶ ἅμα ἐπυνθάνοντο τὸν Πειθίαν, ἕως ἔτι βουλῆς ἐστὶ, μέλλειν τὸ πλῆθος ἀναπείσειν τοὺς αὐτοὺς Ἀθηναίοις φίλους τε καὶ

1. *Ἐθελοπρόξενος*] ἀφ' ἑαυτοῦ γενόμενος, καὶ μὴ κελευσθεὶς ἐκ τῆς πόλεως. οἱ γὰρ πρόξενοι κελευόμενοι ἐκ τῆς ἑαυτῶν πόλεως ἐγένοντο. — 2. *Οὗτοι οἱ ἄνδρες*] οἱ ἀπὸ Κορίνθου ἐπανελθόντες, οἱ προδόται. — 10. *Βουλῆς*] σημείωσαι βουλῆς ὁ βουλευτής· καὶ ἡ γενικὴ τοῦ βουλήντος. — *Πείθει*] τοὺς Κερκυραίους. — 11. *Οἱ δέ*] οἱ πέντε ἄνδρες. — *Ἐξείργοντο*] ἐξέπιπτον τῆς βουλήσεως αὐτῶν. (λ. Ἀὐγ.)

Ἐθελοπρόξενος. Hinc memorant Bekk. Anecdd. p. 95. et Poll. III, 59. Cf. not.

Ἐς Cass. C. F. Pal. H. Reg. (G.) cod. Bas. Mosqu. et haud dubie plures libri cum Haack. Bekk. pro vulg. *εἰς*. Cf. I. 1. p. 212. Photius: „Τπάγειν εἰς δίκην (apud Herm. δίκειν) τὸ ἄγειν καὶ Θουκυδίδης." Cf. Timaei Lex. Plat. p. 263.

4. *Τοῦ τεμένους* Cass. Aug. Cl. F. Pal. It. H. Reg. (G.) Gr. D. E. Ar. Chr. Dan. Haack. „Sic c. 81. *ἐν τοῦ Διονύσου τῷ ἱερῷ*." DUK. cf. c. 96. Vulgo (et apud Bekk.) de. *τοῦ*.

Τοῦ Ἀλκίνου. *Τοῦ* om. Ar. Chr. Dan. (neque vero, ut Bekk. vult, Cass.)

5. *Ὀφλόντων*. Cl. in marg., It. H. *ὀφειλόντων*. Pal. *ὀφειλόντων* et rec. man. *ὀφειλόντ*. Hoc significaret *quum deberent* (*pecuniam illam*), nostrum *quum damnati essent*. Vid. Buttm. Gr. Ind. verb. anom.

Αὐτῶν. Gr. *καὶ αὐτῶν*.

Διὰ πλῆθος Cass. Aug. (nisi quod hic *διαπλ.* coniunctim exarat,) Cl. C. F. Pal. It. Vat. H. Reg. (G.) Gr. D. I. E. Mosqu. m. Ar. Chr. Dan. Haack. Bekk. Vulgo *διὰ τὸ πλ.* Cf. adnot. ad I, 12.

Τῆς ζημίας. Pro *τῆς*, quod G. s. v. habet, H. *τέ*.

Πειθίας. Unus Par., ut videtur E., *Πυθίας*.

Βουλῆς. „Suidas habet *βουλής*. [*Βουλὴς, βουλῆτος, ἁλίνετος παρὰ Θουκυδίδῃ· σημαίνει δὲ τὸν βουλευτήν.*] Sed male." WASS. Vid. Matth. Gr. §. 355.

6. *Πειθίαν*. Gr. et unus Par., ut videtur E., hic etiam paulo post, *Πυθίαν*. Mox *ἔτι* om. ed. Bas.

Ἀθηναίοις. „Pro *Ἀθηναίους*, quod sine dubio vitio operarum

ἐς τοὺς ἀγροὺς περιέπεμπον ἀμφότεροι, τοὺς δούλους παρακαλοῦντές τε, καὶ ἐλευθερίαν ὑπισχνούμενοι. καὶ τῷ μὲν δήμῳ πῶν οἰκετῶν τὸ πλῆθος παρεγένετο ξύμμαχον, τοῖς δ' ἑτέροις ἐκ τῆς ἠπείρου ἐπίκουροι ὀκτακόσιοι. 5

(*Δευτέρα μάχη καὶ νίκη τοῦ δήμου. Ἐμπρησμὸς τῆς πόλεως.*)

οδ'. Διαλιπούσης δ' ἡμέρας, μάχη αὖθις γίγνεται· καὶ νικᾷ ὁ δῆμος, χωρίων τε ἰσχύϊ καὶ πλήθει προέχων· αἵ τε γυναῖκες αὐτοῖς τολμηρῶς ξυνεπελάβοντο, βάλλουσαι ἀπὸ τῶν οἰκιῶν τῷ κεράμῳ, καὶ παρὰ φύσιν ὑπομένουσαι τὸν θόρυβον. 2. γενομένης δὲ τῆς τροπῆς περὶ 10 δείλην ὀψίαν, δείσαντες οἱ ὀλίγοι μὴ αὐτοβοεὶ ὁ δῆμος τοῦ τε νεωρίου κρατήσειεν ἐπελθὼν, καὶ σφᾶς διαφθείρειεν, ἐμπιπρᾶσι τὰς οἰκίας τὰς ἐν κύκλῳ τῆς ἀγορᾶς καὶ τὰς ξυνοικίας, ὅπως μὴ ᾖ ἔφοδος, φειδόμενοι οὔτε

ογ'. 4. Τοῖς δ' ἑτέροις] τοῖς πλουσίοις. (λ. Αὐγ.)

οδ'. 6. Διαλιπούσης δ' ἡμέρας] παρελθούσης ἡμέρας μιᾶς. (λ. Αὐγ.) — 7. Πλήθει] ἀσῷ δηλονότι. (λ. Αὐγ.) — 8. ** Αἵ τε γυναῖκες] Ὅμηρος· Ἠὲ γυναικὸς, ἣ οὐκ οἶδε πολεμήϊα ἔργα. (Αὐγ.) — Ξυνεπελάβοντο] ἐβοήθησαν, συνεφήψαντο. (λ. Αὐγ.) — 9. Τῷ κεράμῳ] ἤγουν ταῖς κεραμίσι. (λ. Αὐγ.) — Παρὰ φύσιν ὑπομένουσαι] ἤγουν τολμῶσαι παρὰ φύσιν. (λ. Αὐγ.) — 10. Περὶ δείλην ὀψίαν] ἤγουν τοῦ ἡλίου περὶ δυσμὰς ὄντος. (λ. Αὐγ.) — 11. ** Οἱ ὀλίγοι] οἱ μὲν γὰρ προισταμένοι τῶν Κερκυραίων ἠροῦντο τὴν τῶν Ἀθηναίων συμμαχίαν, οἱ δὲ λοιποὶ, ἐλάττους ὄντες, τοὺς Λάκωνας. ὀλίγους γὰρ ἐνταῦθα λέγει οὐ τὸ πλῆθος ὄντας ὀλίγους, ἀλλὰ τῇ δυνάμει, ὡς ἂν εἶποι τις, οὐ τῷ πόσῳ, ἀλλὰ τῇ ποιότητι. (Βασ.) — Αὐτοβοεί] ἤγουν ἀπὸ μιᾶς βοῆς. (λ. Αὐγ.) — 12. Ἐπελθών] ἐπιθετικῶς κινηθείς. (λ. Αὐγ.) — Καὶ σφᾶς] τοὺς ὀλίγους. (λ. Αὐγ.) — 14. Ἔφοδος] ἐπέλευσις τῶν δημοτῶν κατὰ τῶν ὀλίγων. (λ. Αὐγ.) — Φειδόμενοι οὔτε] οὐκ ἀπεχόμενοι. (λ. Αὐγ.)

Τοὺς δούλους παρακαλοῦντές τε. m. Ar. Chr. παρακαλ. τε τοὺς δούλ., nec aliter Dan., nisi quod τέ om.

Τῷ μὲν. Μέν om. Mosqu.

Οἰκετῶν. It. G. οἰκητῶν.

Cap. LXXIV. Διαλιπούσης. Reg. διαλειπούσης.

Μάχη αὖθις. G. αὖθ. μάχ.

Γίγνεται. Mosqu. ἐγίγνετο.

Ἰσχύϊ. D. I. ἰσχύν, hic cum ἰσχύει in marg. al. man.

Ξυνεπελάβοντο. C. ξυνελάβοντο.

2. Τῆς τροπῆς. Τῆς om. B.

Ὀψίαν. Dan. ὀψείαν.

Διαφθείρειεν. Gr. διέφθειρεν.

Τὰς ξυνοικίας. Cod. Bas. τῆς ξυνοικίας.

Digitized by Google

οἰκείας οὔτε ἀλλοτρίας· ὥστε καὶ χρήματα πολλὰ ἐμπόρων κατεκαύθη, καὶ ἡ πόλις ἐκινδύνευσε πᾶσα διαφθαρῆναι, εἰ ἄνεμος ἐπεγένετο τῇ φλογὶ ἐπίφορος ἐς αὐτήν. 3. καὶ οἱ μὲν, παυσάμενοι τῆς μάχης, ὡς ἑκάτεροι ἡσυχάσαντες, τὴν νύκτα ἐν φυλακῇ ἦσαν· καὶ ἡ Κορινθία ναῦς, τοῦ δήμου κεκρατηκότος, ὑπεξενήγετο, καὶ τῶν ἐπικούρων οἱ πολλοὶ ἐς τὴν ἤπειρον λαθόντες διεκομίσθησαν.

(*Νικόστρατος Ἀθηναῖος παραγίγνεται, καὶ ξύμβασιν πράσσει, ἣ οὐ πιστεύοντες οἱ ὀλίγοι ἐς νησίδιον διακομίζονται.*)

οε'. Τῇ δ' ἐπιγιγνομένῃ ἡμέρᾳ Νικόστρατος ὁ Διϊτρέφους, Ἀθηναίων στρατηγὸς, παραγίγνεται βοηθῶν ἐκ Ναυπάκτου δώδεκα ναυσὶ καὶ Μεσσηνίων πεντακοσίοις ὁπλίταις· ξύμβασίν τε ἔπρασσε, καὶ πείθει ὥστε ξυγχωρῆσαι ἀλλήλοις δέκα μὲν ἄνδρας τοὺς αἰτιωτάτους κρῖναι, οἳ οὐκέτι ἔμειναν, τοὺς δ' ἄλλους οἰκεῖν, σπονδὰς πρὸς ἀλλήλους ποιησαμένους καὶ πρὸς Ἀθηναίους, ὥστε

2. Ἐκινδύνευσε] *ἐν χρῷ τοῦ κινδύνου ἐγένετο.* (λ. *Αὐγ.*)

Οἰκείας. Pal. Mosqu. *οἰκίας*, sed Pal. corr. rec. man.

Καὶ ἡ πόλ. — *διαφθαρῆναι.* „Thom. Mag. in *βούλομαι.*" DUK.

Ἐπεγένετο. D. Ar. *ἐγένετο.* „Male. Supra II, 77. *πνεῦμά τε εἰ ἐπεγένετο αὐτῇ* (nempe *φλογί*, ut bene Schol.) *ἐπίφορον, οὐκ ἂν διέφυγον.*" DUK.

Ἐς αὐτήν. E. Vind. m. Ar. Chr. Dan. *ἐπ' αὐτ.*

3. *Ἡσυχάσαντες.* C. *ἡσυχάσοντες.* Reiskius virgulam ante hoc verb. poni vult.

Ἐς τὴν ἤπειρον λαθόντες. m. *λαθόντες ἐς τὴν ἤπ.*

Διεκομίσθησαν. B. *ἐκομίσθ.*

Cap. LXXV. *Διϊτρέφους.* Pal. *Διϊτρεφεύς.* Vulgo *Διϊτρεφοῦς*, sed accentum cum Bekk. retraximus ad nomen proprium ab appellativo distinguendum, ut in *διογενής* et *Διογένης.* Cui similior etiam forma *Διοτρεφοῦς* (*Διοτρέφους*) in D. et Mosqu., sed D. cum *ῑ* s. *ō.* „*Διοτρεφοῦς* etiam infra IV, 119. Mosqu. et IV, 129. D. Et VIII, 64. omnes aut *Διοτρέφη* habent, aut *Διοτρεφῆ*, aut *Διοτρεφῆν.*" BEKK. Valla quoque hic: *Nicostratus Diotrephis.*

Μεσσηνίων. D. E. Ar. Chr. *Μεσηνίων.* At vid. I. 2. p. 531. (cf. Bekk. ad I, 101.)

Ξύμβασίν τε. „Minus plene interpungendum erat ante haec verba." HAACK., qui comma posuit. Vulgo punctum collocatur.

Ἔπρασσε καὶ πείθει in Cass. ex emend. man. rec. In *ἔπρασσε* erat spatium vacuum ante postremam syllabam erasa vetere scriptura, et duae ultimae literae in *πείθει* aliae fuerant.

Πρὸς Ἀθηναίους. D. *παρ' Ἀθ.*

Digitized by Google

τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους νομίζειν. 2. καὶ ὁ μὲν, ταῦτα πράξας, ἔμελλεν ἀποπλεύσεσθαι. οἱ δὲ τοῦ δήμου προστάται πείθουσιν αὐτὸν πέντε μὲν ναῦς τῶν αὐτοῦ σφίσι καταλιπεῖν, ὅπως ἧσσόν τι ἐν αἰτήσει ὦσιν οἱ ἐναντίοι, ὅσας δὲ αὐτοὶ πληρώσαντες ἐκ σφῶν αὐτῶν ξυμπέμψειν. 3. καὶ ὁ μὲν ξυνεχώρησεν, οἱ δὲ τοὺς ἐχθροὺς κατέλεγον ἐς τὰς ναῦς. δείσαντες δὲ ἐκεῖνοι μὴ ἐς τὰς Ἀθήνας ἀποπεμφθῶσι, καθίζουσιν ἐς τὸ τῶν * Διοσκούρων * ἱερόν. 4. Νικόστρατος δὲ αὐτοὺς ἀνίστη τε καὶ παρεμυθεῖτο. ὡς δ' οὐκ ἔπειθεν, ὁ δῆμος ὁπλισθεὶς ἐπὶ τῇ προφάσει ταύτῃ, ὡς οὐδὲν αὐτῶν ὑγιὲς διανοουμένων τῇ τοῦ μὴ ξυμπλεῖν ἀπιστίᾳ, τά τε ὅπλα αὐτῶν ἐκ τῶν οἰκιῶν ἔλαβε, καὶ αὐτῶν τινὰς, οἷς ἐπέτυχον, εἰ μὴ Νικόστρατος ἐκώλυσε, διέφθειραν ἄν. 5. ὁρῶντες δὲ οἱ ἄλλοι τὰ γιγνόμενα, καθίζουσιν ἐς τὸ

οι'. 2. Ἀποπλεύσεσθαι] ἀποχωρήσειν τῆς Κερκύρας. (λ. Ἀὐγ.)- 3. Τῶν αὐτοῦ] ἀπὸ τῶν νεῶν. (λ. Ἀὐγ.) — 4. Ἧσσόν τι] ἀντὶ τοῦ οὐδ' ὅλως· ἢ ἥττον. (λ. Ἀὐγ.) — 7. Κατέλεγον] καταλέγοντες ἐνέβαλλον. (λ. Ἀὐγ.) — 8. Καθίζουσιν] ἱκέται δηλονότι. (λ. Ἀὐγ.) — 10. Οὐκ ἔπειθεν] ἀνίστασθαι. (λ. Ἀὐγ.) — 11. Ὑγιές] ὀρθὸν, ἀληθές. (λ. Ἀὐγ.)

2. Ἀποπλεύσεσθαι. D. I. ἀποπλεύσασθαι, pessime.

Δήμου. G. Μήδου, quem errorem iam saepius notavimus.

Αὐτοῦ Cass. Pal. Reg. Gr. Ar. Chr. Dan. Ald. Flor. Bas. et sine dubio plures. Vulgo (Haack. Bekk.) αὐτοῦ Cf. Farr. discr. script.

Αὐτοὶ om C. F.

Ξυμπέμψειν. Vind. m. Ar. Chr. Dan. ξυμπέμπειν. Sed ex πείθουσιν nunc non amplius persuadendi, verum dicendi et promittendi notio repetenda.

3. Τοὺς ἐχθρούς. Chr. Dan. κατ' ἐχθρούς.

Δὲ ἐκεῖνοι om. D.

Διοσκούρων. Chr. (pro quo Bekk., nescio quo iure, It. memorat,) Διοσκόρων, quod placet Lobeckio ad Phryn. p. 235., cui apud Xenoph. nuper obsecutus est Bornem. ad Symp. VIII, 29. Sed etiam infra IV, 110. ov omnes libri tuentur. I. hic Διοσκουρίων, sed marg. al. man. Διοσκούρων.

4. Νικόστρατος δέ. Cass. Νικόστρατός τε.

Παρεμυθεῖτο. Mosqu. παραμυθ.

Αὐτῶν om. cod. Bas.

Μὴ ξυμπλεῖν. Μή de. Reg. (G.), sed man. rec. int. vers. script. Cf. Matth. Gr. §. 533. adnot. 3. 6.

Διέφθειραν. In Cass. abrasa canda τοῦ ᾱ factum διέφθειρον. Gr. D. E. Dan. διέφθειρον.

5. Δὲ οἱ plene C. F. Pal. G. Gr. B. m. Ar. Chr. Dan. Ald. Flor. Bas. et haud dubie plures pro vulg. δ' οἱ.

Γιγνόμενα. Cod. Bas. ἐγγεγ.

Digitized by Google

Ἡραῖον ἱκέται, καὶ γίγνονται οὐκ ἐλάσσους τετρακοσίων. ὁ δὲ δῆμος, δείσας μή τι νεωτερίσωσιν, ἀνίστησί τε αὐτοὺς πείσας, καὶ διακομίζει ἐς τὴν πρὸ τοῦ Ἡραίου νῆσον, καὶ τὰ ἐπιτήδεια ἐκεῖσε αὐτοῖς διεπέμπετο.

(γ΄. Πελοποννησίων Ἀλκίδου καὶ Βρασίδου στρατηγούντων ἄφιξις, νίκη καὶ πάλιν ἀπόπλους. οϵ΄ — κ΄. Οἱ Πελοποννήσιοι παραγίγνονται.)

οϵ΄. Τῆς δὲ στάσεως ἐν τούτῳ οὔσης, τετάρτῃ ἢ πέμπτῃ ἡμέρᾳ μετὰ τὴν τῶν ἀνδρῶν ἐς τὴν νῆσον διακομιδήν, αἱ ἐκ τῆς Κυλλήνης Πελοποννησίων νῆες, μετὰ τὸν ἐκ τῆς Ἰωνίας πλοῦν ἔφορμοι οὖσαι, παραγίγνονται τρεῖς καὶ πεντήκοντα. ἦρχε δὲ αὐτῶν Ἀλκίδας, ὥσπερ καὶ πρότερον, καὶ Βρασίδας αὐτῷ ξύμβουλος ἐπέπλει. ὁρμισάμενοι δὲ ἐς Σύβοτα λιμένα τῆς ἠπείρου, ἅμα ἕῳ ἐπέπλεον τῇ Κερκύρᾳ. ιϐ. κεφ. ξϑ΄.

(Πελοποννησίοις ἀντιπλεόντων Κερκυραίων δύο νῆες αὐτομολοῦσιν, ἐν ἑτέραις δὲ οἱ ἐμπλέοντες ἀλλήλοις μάχονται.)

οζ΄. Οἱ δὲ πολλῷ θορύβῳ, καὶ πεφοβημένοι τά τ'

3. *Διακομίζει*] διαπερᾷ. (λ. *Ἀνγ.*) — 4. *Ἐκεῖσε*] εἰς τὴν νῆσον. (λ. *Ἀνγ.*)

οϵ΄. 5. *Τῆς δὲ στάσεως ἐν τούτῳ οὔσης*] οὔπω καταλλαγῆς γενομένης. (λ. *Ἀνγ.*) — *Ἐν τούτῳ*] τῷ πράγματι, τῷ δεινῷ. (λ. *Κασσ. Ἀνγ.*) — 6. *Διακομιδήν*] διακεραίωσιν. (λ. *Κασσ. Ἀνγ.*) — 7. *Πελοποννησίων νῆες*] αἱ τεσσαράκοντα, ὧν Ἀλκίδας ἐστρατήγει, καὶ αἱ λοιπαὶ Λευκάδιαι, ἃς εἵρηκεν. — 11. *Ἐς Σύβοτα λιμένα τῆς ἠπείρου*] τὸν ἔρημον, οὗ μέμνηται ἐν τῇ πρώτῃ. — 12. *Ἐκπλέον τῇ Κερκύρᾳ*] κατὰ τῆς Κερκύρας ἔπλεον. (λ. *Ἀνγ.*) ιϐ. Βιβλ. ά. κεφ. νέ.

οζ΄. 13. *Οἱ δέ*] οἱ Κερκυραῖοι. (λ. *Ἀνγ.*)

Τετρακοσίων. Cl. τριακοσ.

Μή τι. I. *μή τε*, cum *τί s. τέ* ead. man. Mosqu. om. *τί*.

Διεπέμπετο. D. Ar. Chr. Dan. *διεπέμποντο*.

Cap. LXXVI. *Πέμπτῃ*. Mosqu. *πέμπῃ*.

Κυλλήνης. D. I. *Μεσυλήνης*. At vid. c. 69. Mox virgulam post *πλοῦν* primus delevit Haack.

Ἀλκίδας. Gr. et Par. nescio quis *Ἀλκείδας*.

Ὥσπερ. Cass. Pal. Reg. Gr. m. Dan. ed. Vind. *ὅπερ*, forsitan recte. Placebat etiam Kistemakero. (De Parr. tacet Gail.)

Λιμένα τῆς ἠπείρου. m. *τῆς ἠπείρου λιμένα*.

Ἕῳ. Dan. *ἕως*.

Cap. LXXVII. *Οἱ δὲ — ναῦς*. Greg. Cor. de dial. p. 107.

Digitized by Google

ἐν τῇ πόλει καὶ τὸν ἐπίπλουν, παρεσκευάζοντό τε ἅμα ἑξήκοντα ναῦς, καὶ τὰς ἀεὶ πληρουμένας ἐξέπεμπον πρὸς τοὺς ἐναντίους, παραινούντων Ἀθηναίων σφᾶς τε ἐᾶσαι πρῶτον ἐκπλεῦσαι, καὶ ὕστερον πάσαις ἅμα ἐκείνους ἐπιγενέσθαι. 2. ὡς δὲ αὐτοῖς πρὸς τοῖς πολεμίοις ἦσαν σποράδες αἱ νῆες, δύο μὲν εὐθὺς ἠὐτομόλησαν, ἐν ἑτέραις δὲ ἀλλήλοις οἱ ἐμπλέοντες ἐμάχοντο· ἦν δὲ οὐδεὶς κόσμος τῶν ποιουμένων. 3. ἰδόντες δὲ οἱ Πελοποννήσιοι τὴν ταραχήν, εἴκοσι μὲν ναυσὶ πρὸς τοὺς Κερκυραίους ἐτάξαντο, ταῖς δὲ λοιπαῖς πρὸς τὰς δώδεκα ναῦς τῶν Ἀθηναίων, ὧν ἦσαν αἱ δύο Σαλαμινία καὶ Πάραλος.

(Πελοποννησίων ἀθρόων ἐπιπλεόντων καὶ Ἀθηναῖοι ὑποχωροῦσι.)

οή. Καὶ οἱ μὲν Κερκυραῖοι, κακῶς τε καὶ κατ' ὀλίγας προσπίπτοντες, ἐταλαιπωροῦντο καθ' αὑτούς. οἱ δ' Ἀθηναῖοι, φοβούμενοι τὸ πλῆθος καὶ τὴν περικύ-

3. Σφᾶς] τοὺς Ἀθηναίους. (λ. Αὐγ.) — 5. Πρὸς τοῖς πολεμίοις] πλησίον τῶν πολεμίων. (λ. Αὐγ.) — 6. Ἠὐτομόλησαν] πρὸς τοὺς ἐναντίους. (λ. Αὐγ.) — 7. Ἀλλήλοις] οὐχὶ τοῖς ἐναντίοις. — 8. Τῶν ποιουμένων] τῶν γιγομένων πραγμάτων. (λ. Αὐγ.) — 9. Τὴν ταραχήν] τῶν Κερκυραίων τὴν ἀσυνταξίαν. (λ. Αὐγ.) — Πρὸς τοὺς Κερκυραίους ἐτάξαντο] κατὰ τῶν Κερκυραίων παρετάξαντο. (λ. Αὐγ.) — 10. Πρὸς τὰς δώδεκα ναῦς] παρετάξαντο δηλονότι. (λ. Αὐγ.)

οή. 12. Κακῶς τε καὶ κατ' ὀλίγας] ἀτάκτως καὶ μετὰ ὀλίγων νεῶν. (λ. Αὐγ.) — 13.** Ἐταλαιπωροῦντο] ἔπασχον κακῶς οἱ Κερκυραῖοι. (Βασ.) — 14. Τὸ πλῆθος] τῶν νεῶν τῶν † Κερκυραίων. † (λ. Αὐγ.) — Τὴν περικύκλωσιν] τὸ περικυκλωθῆναι ὑπὸ τῶν Πελοποννησίων. (λ. Αὐγ.)

Τῇ πόλει. Τῇ om. E.

Ἐπίπλουν. Apud Greg. Cor. vulgo ἀπόπλουν, sed codd. A. B. ἐπίπλ.

Ἅμα. Greg. Cor. codd. A. B. ἀνά.

Ναῦς. Apud Greg. Cor. nonnulli libri νῆες.

Ἀεί. Pal., ut solet, αἰεί. Cf. I. 1. p. 211.

Παραινούντων — ἐκπλεῦσαι. „Citat Thom. Mag. in βούλομαι omissa particula τέ." DUK.

Ἐκείνους. E. ἐκείναις. Mox post ἐπιγενέσθαι plenam distinctionem pro dimidia primus posuit Haack.

2. Ἦσαν σποράδες. πα. σκορ. ἦσ. Ἑτέραις. E. ἑτέροις, cum αις s. οις al. man.

3. Ναυσί. C. ναῦς. Modo ταῖς λοιπαῖς consentiret! Mox post δύο virgulam delevit Haack., servavit Bekk. Vid. not.

Cap. LXXVIII. Τὴν περικύκλωσιν. Τήν de. Reg. (G.)

Digitized by Google

πλωσιν, ἀθρόαις μὲν οὐ προσέπιπτον, οὐδὲ κατὰ μέσον ταῖς ἐφ' ἑαυτοὺς τεταγμέναις· προσβαλόντες δὲ κατὰ κέρας, κατεδύουσι μίαν ναῦν. καὶ μετὰ ταῦτα κύκλον τα-
215. ξαμένων αὐτῶν, περιέπλεον, καὶ ἐπειρῶντο θορυβεῖν. 2.
5 γνόντες δὲ οἱ πρὸς τοῖς Κερκυραίοις, καὶ δείσαντες μὴ, ὅπερ ἐν Ναυπάκτῳ, γένοιτο, ἐπιβοηθοῦσι· καὶ γενόμε- id.
νοι ἀθρόαι αἱ νῆες, ἅμα τὸν ἐπίπλουν τοῖς Ἀθηναίοις Βιβλ.β΄. κεφ.πγ΄.
ἐποιοῦντο. 3. οἱ δ' ὑπεχώρουν ἤδη, πρύμναν προυόμε- πδ΄.
νοι· καὶ ἅμα τὰς τῶν Κερκυραίων ἐβούλοντο προκατα-
10 φυγεῖν, ὅτι μάλιστα ἑαυτῶν σχολῇ τε ὑποχωρούντων, καὶ πρὸς σφᾶς τεταγμένων τῶν ἐναντίων. 4. ἡ μὲν οὖν ναυμαχία, τοιαύτη γενομένη, ἐτελεύτα ἐς ἡλίου δύσιν.

(Οἱ μὲν Κερκυραῖοι τοὺς ἐκ τῆς νήσου πάλιν διακομίζουσι, καὶ τὴν πόλιν φυλάσσουσιν, οἱ δὲ Πελοποννήσιοι ἐπὶ Δυσίμαχην ἀποβαίνουσι.)

οθ΄. Καὶ οἱ Κερκυραῖοι, δείσαντες μὴ σφίσιν ἐπιπλεύσαντες ἐπὶ τὴν πόλιν ὡς κρατοῦντες οἱ πολέμιοι ἢ τοὺς ἐκ τῆς νήσου ἀναλάβωσιν, ἢ καὶ ἄλλο τι νεωτε-

1. Ἀθρόαις μέν] ταῖς ἐναντίαις ναυσί. — 5. Οἱ πρὸς τοῖς Κερκ.] οἱ Πελοποννήσιοι. — 8. Οἱ δ'] οἱ Ἀθηναῖοι. (λ. Δύγ.) οθ΄. 14. Κρατοῦντες οἱ πολ.] τῇ ναυμαχίᾳ οἱ Πελοποννήσιοι. (λ. Δύγ.)

Ἑαυτούς. Pal. B. Ald. Flor. Bas. (ed. non cod. Bas.) marg. Steph. ἑαυτοῖς. C. F. αὐτούς.

Προσβαλόντες. I. προσβαλόντων. Ar. Chr. Dan. προσβάλλοντες, nisi quod postremus errore scribae habet προσβάλλονταις. Paulo post G. μητα pro μετά.

Αὐτῶν de. Reg. (s. v. al. man. G.)

2. Αἱ νῆες. Αἱ om. Mosqu.

3. Ἤδη. Virgulam, quae vulgo ante hoc vocab. invenitur, cum Reisk. post id retraximus. (Bekk. om.)

Κρουόμενοι. C. F. προυσάμενοι.

Ἅμα τάς. Chr. ἅμα ταῖς. Mox B. προκαταφυγεῖν.

Ἑαυτῶν ante ὅτι ponit Vat., post ὅτι M., om. Gr., unde suspectum fieret, si commode abesse posset.

Τεταγμένων. C. τετυγμένους.

CAP. LXXIX. Σφίσιν ἐπιπλεύσαντες. Reg. Mosqu. σφίσι πλεύσαντες.

Τοὺς ἐκ. E. τὰς ἐκ, sed οὺς s. υ.

Ἢ καί. Gr. εἰ καί. E. om. καί.

Digitized by Google

ρίσωσι, τούς τε ἐκ τῆς νήσου πάλιν ἐς τὸ Ἡραῖον διεκόμισαν, καὶ τὴν πόλιν ἐφύλασσον. 2. οἱ δ' ἐπὶ μὲν τὴν πόλιν οὐκ ἐτόλμησαν πλεῦσαι, κρατοῦντες τῇ ναυμαχίᾳ, τρισκαίδεκα δὲ ναῦς ἔχοντες τῶν Κερκυραίων, ἀπέπλευσαν ἐς τὴν ἤπειρον, ὅθενπερ ἀνηγάγοντο. 3. τῇ δ' ὑστεραίᾳ ἐπὶ μὲν τὴν πόλιν οὐδὲν μᾶλλον ἐπέπλεον, καίπερ ἐν πολλῇ ταραχῇ καὶ φόβῳ ὄντας, καὶ Βρασίδου παραινοῦντος, ὡς λέγεται, Ἀλκίδᾳ, ἰσοψήφου δὲ οὐκ ὄντος· ἐπὶ δὲ τὴν Λευκίμμην τὸ ἀκρωτήριον ἀποβάντες, ἐπόρθουν τοὺς ἀγρούς.

(Ὁ δῆμος τῶν Κερκυραίων ἐς λόγους ἔρχεται τοῖς ἐναντίοις. Οἱ δὲ Πελοποννήσιοι, αἰσθόμενοι ναυτικὸν Ἀθηναίων παραγιγνόμενον, ἀποπλέουσιν.)

κ'. Ὁ δὲ δῆμος τῶν Κερκυραίων ἐν τούτῳ, περιδεὴς γενόμενος μὴ ἐπιπλεύσωσιν αἱ νῆες, τοῖς τε ἱκέταις ἦσαν ἐς λόγους, καὶ τοῖς ἄλλοις, ὅπως σωθήσεται ἡ πόλις. καί τινας αὐτῶν ἔπεισαν ἐς τὰς ναῦς ἐσβῆναι·

5. ** Ἐς τὴν ἤπειρον] εἰς τὰ Σύβοτα. (Ἀγγ.) — 6. Ἐπὶ μὲν τὴν πόλιν] κατὰ τῆς πόλεως· ἦγον τῶν πολιτῶν. (λ. Ἀγγ.) — Οὐδὲν μᾶλλον] ἦγον οὐδ' ὅλως. (λ. Ἀγγ.)

Τούς τε. C., ut videtur, τοῦ τε, ex corr. parum perspic.

Πάλιν Mosqu. Ar. Chr. Dan. ed. Vind. Reisk. Bened. Bekk. Idem in Reg. rec. man. super πάλαι script. m. πάλιν adscripto ν, nam prius erat παι. Valla: *reportant iterum in templum Junonis.* Vulgo (et Haack.) πάλαι. Vid. adnot.

Ἡραῖον. Pal. Vat. Ἥραιον. At vid. script. discr. ad 81, 2.

2. Τῇ ναυμαχίᾳ. Τῇ om. Mosqu.

Τρισκαίδεκα (s. τρὶς καὶ δέκα) δὲ Cass. Cl. C. F. Pal. It. Reg. (G.) Gr. E. Mosqu. Ar. Chr. Dan. Haack. In D. τρὶς κ. δ. γάρ. Vulgo (et Bekk.) τρεῖς καὶ δέκα δέ, non deterius. Cf. I. 1. p. 471. Omisso δέ Vat. τρεῖς κ. δ., I. (? H.?) τρὶς κ. δ.

Ἀνηγάγοντο. Mosqu. ἀνήγοντο.

3. Ἐπέπλεον om. D.

Βρασίδου. C. F. Βρασίδα. Cf. I. 1. p. 231.

Ἀλκίδᾳ. C. Ἀλκάδα.

Λευκίμμην Cass. C. Pal. H. Vat. Vulgo (Haack. et Bekk.) Λευκίμνην. At vid. I. 2. p. 138. „Ptolemaeus Λεύκιμμα et in ms. Coisl. etiam corruptius Λεύκιμα.“ WASS.

Ἀκρωτήριον. Mosqu. ἀκροτήρ. Cap. LXXX. Ἰκέταις. m. Ar. Chr. Dan. οἰκέταις. Mosqu. ad marg. οἰκότοις.

Ναῦς. Reg. (G.) male νῆας. Cf. Lob. ad Phryn. p. 170.

Ἐσβῆναι Cass. Aug. Cl. F. Pal. Vat. H. Reg. (G.) Gr. D. I. E. Vind. m. Ar. Chr. Dan. Haack. Bekk. Vulgo ἐμβῆναι. „Vid. Thom. Mag.“ DUK. „Iterum sic c. 81. legitur ὅσους ἐπει-

Digitized by Google

ἐπλήρωσαν γὰρ ὅμως τριάκοντα. 2. οἱ δὲ Πελοποννήσιοι μέχρι μέσου ἡμέρας ἡγώσαντες τὴν γῆν, ἀπέπλευσαν· καὶ ὑπὸ νύκτα αὐτοῖς ἐφρυκτωρήθησαν ἑξήκοντα νῆες Ἀθηναίων, προσπλέουσαι ἀπὸ Λευκάδος· ἃς οἱ Ἀθηναῖοι, πυνθανόμενοι τὴν στάσιν καὶ τὰς μετ' Ἀλκιδου ναῦς ἐπὶ Κέρκυραν μελλούσας πλεῖν, ἀπέστειλαν, καὶ Εὐρυμέδοντα τὸν Θουκλέους στρατηγόν.

(δ΄. Κερκυραίων ἐς τοὺς ἐχθροὺς ὠμότης, ὧν τοὺς πολλοὺς ἀποκτείνουσιν, ἢ ἑαυτοὺς φονεῦσαι ἀναγκάζουσιν, οὐδὲ τὰ ἱερὰ αἰδούμενοι.)

πά. Οἱ μὲν οὖν Πελοποννήσιοι τῆς νυκτὸς εὐθὺς κατὰ τάχος ἐκομίζοντο ἐπ' οἴκου παρὰ τὴν γῆν· καὶ ὑπερενεγκόντες τὸν Λευκαδίων ἰσθμὸν τὰς ναῦς, ὅπως μὴ περιπλέοντες ὀφθῶσιν, ἀποκομίζονται. 2. Κερκυραῖοι δὲ, αἰσθόμενοι τάς τε Ἀττικὰς ναῦς προσπλεούσας,

π΄. 3. Τὸ νύκτα αὐτοῖς ἐφρυκτωρήθησαν] [διὰ φρυκτοῦ ἐμηνύθησαν. (λ. Κασσ. Ἀνῳ.)] ἀντὶ τοῦ ἀρχομένης ἡμέρας διὰ πυρσῶν ἐμηνύθησαν.

πα΄. 9. Ἐκομίζοντο ἐπ' οἶκον] ἐπειγαιοῦντο. (λ. Ἀνῳ.) — 10. Ὑπερενεγκόντες] ὑπερβιβάσαντες (λ. Ἀνῳ.) ** τὸ ἔργον ἠρωϊκόν. (Ἀνῳ.) — Ὅπως μὴ περιπλέοντες ὀφθῶσιν] ἵνα μὴ περιπλέοντες ἔξωθεν τὴν Λευκάδα καὶ τὸν ἰσθμὸν φωραθῶσιν ὑπὸ τῶν Ἀθηναίων. — 11. Ἀποκομίζονται] ἀποπλέουσιν. (λ. Ἀνῳ.)

σαν ἐρρῆναι." HAACK. Add. ad IV, 25.

Τριάκοντα. Post hoc vocab. vulgo adduntur προσδεχόμενοι τὸν ἐπίλοιπον, quae om. Cass. Aug. It. Vat. H. Reg. (G.), ex quibus Aug. Vat. H. G. in marg. ponunt, H. ead. man. scripta, Aug. et G. al. man., et Aug. quidem ea, quae Scholia pinxit. Haack. vitio vel errore excidisse credit, Bekk. uncis inclusit. Ex Scholio enim e verbis c. 79. δείσαντες μὴ σφίσιν ἐπιπλεύσαντες ducto orta et secundum ea, quae de Art. crit. c. 11. disputavimus, delenda sunt.

2. *Μέσου ἡμέρας.* D. μέσης ἡμ. At vid. Lob. ad Phryn. p. 53. sq. et Thom. Mag. p. 609.

Καὶ ὑπό. Καί om. Ar. Dan. Ante καί autem vulgo (et apud Haack.) punctum, apud Bekk. comma collocatur.

Προσπλέουσαι. Vind. πλέουσαι.

Οἱ Ἀθηναῖοι. Οἱ om. cod. Bas.

Στάσιν. Vind. κατάστασιν.

Ἀλκίδου. C. F. Ἀλκείδου.

CAP. LXXXI. *Τὸν Λευκαδίων.* Cass. C. Pal. It. Vat. τῶν Λευκαδίων.

2. „*Κερκυραῖοι δὲ* — Λακεδαιμονίους [c. 82. init.] Dion. Hal. p. 150." [p. 883. R. p. 148. Kr.] WASS.

Αἰσθόμενοι. Dion. Hal. αἰσθανόμενοι.

Προσπλεούσας. E. ἐκπλ. cum προς s. ες. Statim Dion. scriptus liber τούς τε.

Digitized by Google

τάς τε τῶν πολεμίων οἰχομένας, λαβόντες τούς τε Μεσσηνίους ἐς τὴν πόλιν ἤγαγον, πρότερον ἔξω ὄντας, καὶ τὰς ναῦς περιπλεῦσαι κελεύσαντες, ἃς ἐπλήρωσαν, ἐς τὸν Ὑλλαϊκὸν λιμένα, ἐν ὅσῳ περιεκομίζοντο, τῶν ἐχθρῶν εἴ τινα λάβοιεν, ἀπέκτεινον· καὶ ἐκ τῶν νεῶν 5
ὅσους ἔπεισαν ἐςβῆναι ἐκβιβάζοντες, * ἀπεχρῶντο *· ἐς 216
τὸ Ἡραῖόν τε ἐλθόντες, τῶν ἱκετῶν ὡς πεντήκοντα ἄνδρας δίκην ὑποσχεῖν ἔπεισαν, καὶ κατέγνωσαν πάντων θάνατον. 3. οἱ δὲ πολλοὶ τῶν ἱκετῶν, ὅσοι οὐκ ἐπείσθησαν, ὡς ἑώρων τὰ γιγνόμενα, διέφθειραν αὐτοῦ ἐν 10
τῷ ἱερῷ ἀλλήλους· καὶ ἐκ τῶν δένδρων τινὲς ἀπήγχον-

1. Οἰχομένας] ἀποπλευσάσας. (λ. Αὐγ.) — Τούς τε Μεσσηνίους] οὓς ὁ Νικόστρατος * ἐκ Ναυπάκτου * πεντακοσίους ἤγαγεν. ἰδ. κεφ. οέ. — 3. Ἐπλήρωσαν] ἀνδρῶν δηλονότι. (λ. Αὐγ.) — 4. Ἐν ὅσῳ] χρόνῳ δηλονότι. (λ. Αὐγ.) — Περιεκομίζοντο] περιέπλεον. (λ. Κασσ. Αὐγ.) — 5. Λάβοιεν] ἀντὶ τοῦ ἔλαβον. (λ. Κασσ. Αὐγ.) — 11. Ἀλλήλους] νῦν ἀντὶ τοῦ ἑαυτούς. — Ἐκ τῶν δένδρων τινὲς] μετεωριζόμενοι δηλονότι. (λ. Κασσ. Αὐγ.)

Μεσσηνίους. Pal. Gr. D. Ar. Chr. Dion. Hal. *Μεσηνίους*. At vid. I. 2. p. 531. Dan. *Μισηνίους*. Mox cum Bekk. post *ὄντας* comma pro colo posuimus ob praeced. *τέ*.

Ὑλλαϊκόν. Mosqu. et Dion. Hal. p. 884. *Ὑλαϊκόν*. Cf. c. 72. §. 3. Ar. *Ὑλιακόν*.

Ἀπέκτεινον. F. E. *ἀπέκτειναν*.

Ἐκβιβάζοντες. It. Vat. *ἐκβιάζοντες*, quod activum ignorant aurei aevi scriptores. Cf. Schneid. Lex. Gr.

Ἀπεχρῶντο. Vulgo (Haack. Bekk.) *ἀπεχώρησαν*, quod (a Krüg. p. 149. excusatum.) sententiam pervertit. Aug. in marg. *γρ. ἀπεχρῶντο*. Non aliter Cl. in marg. (omissa tamen proxima distinctione) et E. s. v. al. man. „Non male.“ WASS. Et ita Suid., Zon. aliique lexicographi legisse videntur. Cf. adnot. Apud Dion. Hal. l. l. *ἀνεχώρησαν*. Hermannus *ἀπεχώρισαν* coniecit.

Ἡραῖον. Pal. It. Vat. Dion. Hal. *Ἥραιον*. „De varietate scripturae voc. *Ἡραῖον* agit Sylburg. ad Dion.“ DUK. Cf. 79, 1. et de Art. crit. p. 152.

Ἱκετῶν. Ar. *οἰκετῶν*, itidemque paulo infra (et iam c. 80. init.) Sic etiam scriptus liber Dion.

Ὡς πεντήκοντα. Valla: *circiter triginta*, quasi *τριάκοντα* legerit. Pro *ὡς* cod. Bas. *ἐς*.

Πάντων. „*Ἁπάντων* cum Dion. Hal. pro *πάντων* lego, quod et auribus facit, et huius vehementiae congruit, et ab eodem passim adhibetur. Valet *omnes omnino, universos*.“ WASS. „Ex auctoritate Wass., qui deleto in contextu *πάντων* pro eo in marg. *ἁπάντων* posuerat, hoc receptum est.“ DUK. Quum omnes libri refragentur, *πάντων* recte restituerunt Haack. et Bekk. Cf. de Art. crit. p. 85.

3. *Διέφθειραν*. D. Vind. *διέφθειρον*.

Ἐν τῷ ἱερῷ ἀλλήλους. E. *ἀλλήλ. ἐν τῷ ἱερῷ*. Post *ἀλλήλους*

Digitized by Google

το, οἱ δ', ὡς ἕκαστοι ἐδύναντο, ἀνηλοῦντο. 4. ἡμέρας τε ἑπτὰ, ἃς ἀφικόμενος ὁ Εὐρυμέδων ταῖς ἑξήκοντα ναυσὶ παρέμεινε, Κερκυραῖοι ἀρῶν αὐτῶν τοὺς ἐγθροὺς δοκοῦντας εἶναι ἐφόνευον, τὴν μὲν αἰτίαν ἐπιφέροντες τοῖς τὸν δῆμον καταλύουσιν· ἀπέθανον δέ τινες καὶ ἰδίας ἔχθρας ἕνεκα, καὶ ἄλλοι χρημάτων σφίσιν ὀφειλομένων ὑπὸ τῶν λαβόντων. 5. πᾶσά τε ἰδέα κατέστη θανάτου, καὶ οἷον φιλεῖ ἐν τῷ τοιούτῳ γίγνεσθαι, οὐδὲν ὅ τι οὐ ξυνέβη, καὶ ἔτι περαιτέρω. καὶ γὰρ πατὴρ παῖδα ἀπέκτεινε, καὶ ἀπὸ τῶν ἱερῶν ἀπεσπῶντο, καὶ

1. Ἡμέρας τε ἑπτά] ἦγον καθ' ἡμέρας τε ἑπτά. (λ. Κασσ. Ἀὐγ.) — 3. Σφῶν αὐτῶν] ἦγαγν ἑαυτῶν. (λ. Κασσ. Ἀὐγ.) — 4. Τὴν μὲν αἰτίαν ἐπιφέροντες] τὸ ἔγκλημα· ἦγουν ἐγκαλοῦντες ἔγκλημα κοινὸν τὴν κατάλυσιν τοῦ δήμου. (λ. Ἀὐγ.) — 6. Καὶ ἄλλοι] ἀπέθανον δηλονότι. (λ. Ἀὐγ.) — 7. Ὑπὸ τῶν λαβόντων] τὰ χρήματα. (λ. Ἀὐγ.) τῶν δανεισαμένων. (Βασ.) — 8. Καὶ οἷον φιλεῖ — —] πάντα [δηλαδὴ] τὰ εἰωθότα ἐν ταῖς στάσεσι γίνεσθαι τότε συνέβη, καὶ ἄλλα δὲ περισσότερα ἐν ταύτῃ τῇ στάσει. ὥςτε ὑπὲρ πάσας τὰς ἄλλας ἐγένετο. — Καὶ οἷον φιλεῖ ἐν τῷ τοιούτῳ] καὶ οἷον ἔθος ἐστὶν ἐν τοιαύτῃ στάσει. (λ. Ἀὐγ.) — Οὐδὲν ὅ τι οὐ] ἀντὶ τοῦ πᾶν. (λ. Κασσ. Ἀὐγ.)

autem vulgo (et apud Haack.) comma, post ἀπήγχ. colon legitur. Nos rem invertimus, quamquam etiam utroque loco cum Bekk. virgulam ponere licet.

Ἀνηλοῦντο. Mosqu. ἀνῃροῦντο, ex interpr. Cf. adnot.

4. Ἃς de. Gr. Antea G. ἑπτάς.

Ὁ Εὐρυμέδων Cass. Pal. Vat. H. Reg. (G.) Dion. Hal. Bekk. In Gr. τε Εὐρυμ. Vulgo (et apud Haack.) de. ὁ.

Παρέμεινε, Κερκυραῖοι. Vulgo παρέμειναν, οἱ Κερκυραῖοι. Sed οἱ om. Cass. Aug. Cl. C. F. Pal. It. Vat. H. Reg. (G.) cod. Bas. Gr. D. I. E. Mosqu. Ar. Chr. Dan. Haack. Bekk., et παρέμεινε (sine ν) dant Cass. C. F. G. Gr. B. D. E. Dan. Haack. Bekk. et fortasse etiam plures.

Δοκοῦντας. Cod. vet. Dion. Hal. teste Sylburg. δοκοῦντες.

Τοῖς τόν. Reisk. ὡς τόν coniecit. At vid. adnot. et interea Herm. ad Vig. p. 700. et Goell. ad h. l., a quo Krüg. explicatio (l. d. p. 150.) refutatur.

Δέ τινες. Gr. δὲ καί τινες.

Ὀφειλομένων ὑπὸ τῶν λαβόντων. D. I. ὑπολαβόντων τῶν ὀφ. Post λαβόντων autem cum Haack. pro colo plene interpunximus.

5. Ὅ τι οὔ. Gr. ὅ τι καί. I. ὅ τι μή. Vind. pro οὐ ξυνέβη scribit ἐξυνέβη.

Περαιτέρω. Pal. περαιοτέρω, nisi in ο subscr. falsus est Frommel.

Digitized by Google

πρὸς αὐτοῖς ἐκείνοντο· οἱ δέ τινες καὶ περιοικοδομηθέντες ἐν τοῦ Διονύσου τῷ ἱερῷ ἀπέθανον. 6. οὕτως ὠμὴ στάσις προὐχώρησε, καὶ ἔδοξε μᾶλλον, διότι ἐν τοῖς πρώτη ἐγένετο.

(ε'. Παρέκβασις περὶ τῆς πασῶν τῶν Ἑλληνικῶν στάσεων φύσεως καὶ αἰτιῶν. πβ' — πδ'. Ὁ πόλεμος καιρὸν παρέχει στάσεων.)

πβ'. Ἐπεὶ ὕστερόν γε καὶ πᾶν, ὡς εἰπεῖν, τὸ Ἑλληνικὸν ἐκινήθη, διαφορᾶν οὐσῶν ἑκασταχοῦ τοῖς τε τῶν δήμων προστάταις τοὺς Ἀθηναίους ἐπάγεσθαι, καὶ τοῖς ὀλίγοις τοὺς Λακεδαιμονίους, καὶ ἐν μὲν εἰρήνῃ οὐκ ἂν ἐχόντων πρόφασιν, οὐδ' ἑτοίμων παρακαλεῖν 217. αὐτούς· πολεμουμένων δὲ, καὶ ξυμμαχίας ἅμα ἑκατέροις

1. ** Πρός] ἀντὶ τοῦ ἐν. (Βασ.) — Περιοικοδομηθέντες] κτίσμασι περιληφθέντες. (λ. Κασσ. Ἀύγ.) — 2. ** Ἐν τοῦ —] τὸ ἐξῆς ἐν τῷ ἱερῷ τοῦ Διονύσου. (Ἀύγ.) — Οὕτως ὠμὴ στάσις — —] ἀντὶ τοῦ εἰς ὠμότητα πολλὴν ἡ στάσις προεχώρησε· καὶ μᾶλλον, φησὶν, ὠμὴ ἔδοξεν ἦπερ ἐγένετο, ἐπειδὴ πρώτη ἐν τῷ πολέμῳ γενομένη ἐξένισεν αὐτούς, παρὰ τὸ εἰωθὸς γενομένη. — 3. Ἐν τοῖς] ἦγουν τοῖς Κερκυραίοις. (λ. Ἀύγ.)

πβ'. 5. Ὕστερον] ἦγουν μετ' ἐκείνην. (λ. Ἀύγ.) — Πᾶν τὸ Ἑλληνικὸν] ἀντὶ τοῦ πάντες οἱ Ἕλληνες. (λ. Ἀύγ.) — 7. Τοὺς Ἀθηναίους ἐπάγεσθαι] λείπει τὸ ἀξιοῦντων. — 8. Τοὺς Λακεδαιμονίους] εἰκότως οἱ ὀλιγαρχικοὶ τοὺς Λακεδαιμονίους ἐπεκαλοῦντο, ἐσπουδακότας ὀλιγαρχεῖσθαι τὰς πόλεις. — 9. Οὐκ ἂν ἐχόντων πρόφασιν —] ἀντὶ τοῦ αἰτίαν οὐκ ἐχόντων πρὸ τοῦ πολέμου καλεῖν αὐτοὺς τῶν Ἑλλήνων, νῦν δὲ λαβόντων ἀφορμὴν διὰ τὸ ἐχθροὺς εἶναι ἀλλήλοις Λακεδαιμονίους καὶ Ἀθηναίους. — 10. Καὶ ξυμμαχίας ἅμα — —] ἡ διάνοια τοιαύτη· οἱ προστῶτες τῶν δήμων καὶ οἱ ὀλιγαρχικοὶ ῥᾳδίως ἑκάτεροι παρὰ Ἀθηναίων καὶ Λα-

Πρὸς αὐτοῖς. Πρός om. Vat., s. v. ead. man. habet H. Pro αὐτοῖς autem It. Vat. H. αὐτούς, Pal. teste Bekk. αὐτοῦ, teste Frommel. αὐτοῦς.

Ἐκτείνοντο. D. I. ἀπεκτείνοντο daturi erant, nam ille ἀπεκτείνοντα, hic ἀπεκτείνοντο habet.

Καὶ περιοικ. Dion. locum citans καὶ οἱ περιοικ., sed artic. expunxit Reisk.

Ἐν τοῦ. G. ἐκ τοῦ, cum ἐν s. ἐκ al. man.

Τῷ ἱερῷ. Mosqu. τὸ ἱερόν.

6. Ὠμὴ στάσις. Ὠμὴ ἡ στάσις non male coniicit Krüg. ad Dion. Histor. p. 151. et de Anab. Xen. p. 43.

Διότι. Reg. (G.) ὅτι.

Cap. LXXXII. Ἐπεί. Reg. (G.) ἐπειδή.

Τῶν δήμων. C. τῷ δήμῳ.

Ἑκατέροις. Post hoc vocab. virgula nonnulli distingui volunt. Vid. adnot.

Digitized by Google

τῇ τῶν ἐναντίων κακώσει καὶ σφίσιν αὐτοῖς ἐκ τοῦ αὐτοῦ προσποιήσει, ῥᾴδίως αἱ ἐπαγωγαὶ τοῖς νεωτερίζειν τι βουλομένοις ἐποιοῦντο. 2. καὶ ἐπέκεισε πολλὰ καὶ χαλεπὰ κατὰ στάσιν ταῖς πόλεσι, γιγνόμενα μὲν, καὶ ἀεὶ ἐσόμενα, ἕως ἂν ἡ αὐτὴ φύσις ἀνθρώπων ᾖ, μᾶλλον δὲ καὶ ἡσυχαίτερα καὶ τοῖς εἴδεσι διηλλαγμένα, ὡς ἂν ἕκασται αἱ μεταβολαὶ τῶν ξυντυχιῶν ἐφιστῶνται. ἐν μὲν

κεδαιμονίων ἐπήγοντο, διὰ προσποίησιν συμμαχίας, δύναμιν ἑαυτοῖς περιποιούμενοι, τῶν μὲν Ἀθηναίων ἑτοίμως ὑπακουόντων τοῖς δημοτικοῖς, ἵνα προσποιήσωνται συμμάχους αὐτούς, καὶ δι' αὐτῶν βλάψωσι Λακεδαιμονίους, τῶν δὲ Λακεδαιμονίων ὁμοίως τοῖς ὀλιγαρχικοῖς διὰ τὸ αὐτό. — 1. *Σφίσιν αὐτοῖς*] ἦγουν ἑαυτῶν. (λ. *Ἀὐγ.*) — 2. *Προσποιήσει*] κτήσει βοηθείας. (λ. *Ἀὐγ.*) — 3. *Καὶ ἐπέκεισε*] συνέβη. (λ. *Ἀὐγ.*) — *Πολλά*] κακὰ δηλονότι. (λ. *Ἀὐγ.*) — *Καὶ χαλεπά*] ἦγουν οὐ ῥᾴδια ἐνεγκεῖν τοὺς πάσχοντας. (λ. *Ἀὐγ.*) — 4. *Κατὰ στάσιν*] ἀντὶ τοῦ διὰ στάσιν. (λ. *Ἀὐγ.*) — *Γιγνόμενα μέν*] ὡς τῇ φύσει ἑπόμενα. (λ. *Ἀὐγ.*) — 5. *Ἡ αὐτὴ φύσις*] ἦγουν καθὸ τρεπτή. (λ. *Ἀὐγ.*) — *Μᾶλλον δέ*] μᾶλλον δὲ καὶ ἧττον. οἷον εἰπεῖν, ἐν ἄλλῃ πόλει μᾶλλον, ἐν ἄλλῃ δὲ ἧττον, πῇ μὲν πλέον, πῇ δὲ ἔλαττον, ὡς συνέβαινεν ἑκασταχοῦ. — 6. *Καὶ ἡσυχαίτερα*] ἦγουν ῥᾴρημα καὶ κατ' ὀλίγον ἐπερχόμενα. (λ. *Ἀὐγ.*) — *Τοῖς εἴδεσι*] τρόποις. (λ. *Ἀὐγ.*) — *Ὡς ἂν ἕκασται αἱ μεταβολαὶ* —] ὡς ἂν αἱ τύχαι καὶ αἱ μεταβολαὶ πίπτωσι.

Κακώσει. Hic in Cass. erasa scriptura inter *κακῶσαι* et *καὶ* relictum erat spatium vacuum, quod sex septemve literas capere posset.

Αὐτοῖς. Ald. Flor. Bas. *αὐτοῖς*, quem errorem I, 5. correximus.

Προσποιήσει. Reg. (G.) *προσποιήσειν.*

Αἱ ἐπαγωγαί. Artic. om. It.

Νεωτερίζειν τι. Τί om. D.

2. *Πολλὰ καὶ χαλ. Καί* om. C. F. „Vid. Steph. Append. ad script. de Dial. Att. p. 35." HUDS. Cf. Matth. §. 444. 4.

Ἀεί. Pal., ut solet, *αἰεί.* Cf. I. 1. p. 211.

Ἀνθρώπων. Vat. H. *τῶν ἀνθρ.* At vide locos imitatorum in adnott. prolatos et Bornem. de gemin. Cyr. discipl. recens. p. 65.

Μᾶλλον δέ. Post haec in ed. Lips. et apud Haack. perperam virgula conspicitur. Vid. adnot. Scholiastam *μᾶλλ. δὲ καὶ ἧσσον* legisse male suspicantur Abresch. et Gail. (t. IX. p. 172.)

Ἡσυχαίτερα. Gr. *ἡσυχώτερα*, sed „Thomas Mag. auctoritate huius loci reiicit comparativum *ἡσυχώτερος*, [apud alios Atticos non inauditum. Vid. Buttm. Gr. max. §. 65. adnot. 6.] Sed emendandum est apud eum vitium scripturae *διειλαγμένα*, quod etiam ed. Colin. obsidet. [Nunc emendatum est.]" DUK. E. *ἡσυχέστερα.*

Καὶ τοῖς. Καί om. I.

Εἴδεσι. C. *ἴδεσι.* It. *ἤθεσι.*

Διηλλαγμένα. E. *διηλαγμ.*

Ὡς. I. *ἕως.*

Ἕκασται. Pal. It. Vat. G. *ἕκαστα*, postremus cum *ι* s. v. al. man. D. *αι* (*ᾱ* s. *ᾱι* al. man.) *κασται.*

Τῶν ξυντυχιῶν. C. *τῶν ὡρῶν ξυντυχιῶν.*

Digitized by Google

γὰρ εἰρήνη καὶ ἀγαθοῖς πράγμασιν αἵ τε πόλεις καὶ οἱ ἰδιῶται ἀμείνους τὰς γνώμας ἔχουσι, διὰ τὸ μὴ ἐς ἀνουσίους ἀνάγκας πίπτειν· ὁ δὲ πόλεμος, ὑφελὼν τὴν εὐπορίαν τοῦ καθ' ἡμέραν, βίαιος διδάσκαλος, καὶ πρὸς τὰ παρόντα τὰς ὀργὰς τῶν πολλῶν ὁμοιοῖ. 5

(Οἱ τρόποι τῶν πόλεων μᾶλλον διεφθάρησαν, καὶ τόλμα, ἀπλότης, ἐπιβουλαί, ἀπιστία ἐκρατύνθησαν.)

3. Ἐστασίαζέ τε οὖν τὰ τῶν πόλεων, καὶ τὰ ἐφυστερίζοντά που πύστει τῶν προγενομένων πολὺ ἐπῆρε

1. *Καὶ οἱ ἰδιῶται ἀμείνους τὰς γνώμας ἔχουσιν*] οἱ ἰδιάζοντες ἀνειμένας ἔχουσι τὰς γνώμας. (λ. Κασσ. Ἀνγ.) — 2. ** *Διὰ τὸ μὴ* —] ἔκφρασις στάσεως. (Ἀνγ.) — *Διὰ τὸ μὴ ἐς ἀκουσ. ἀνάγκ. π.*] ἀκούσιον ἀνάγκην τὴν δι' ἀπορίαν γιγνομένην λέγει. [ἦγουν διὰ τὸ μὴ ἀναγκάζεσθαι περιπίπτειν ἀκουσίοις πράγμασι. (λ. Ἀνγ.)] — 4. *Τοῦ καθ' ἡμέραν*] βίον δηλονότι. — *Πρὸς τὰ παρόντα*] πρὸς τὴν παροῦσαν κατάστασιν. (λ. Ἀνγ.) — *Πρὸς τὰ παρόντα — ὁμοιοῖ*] τοῖς παροῦσιν ἐξομοιοῖ τὰς γνώμας. νῦν γὰρ ὀργὰς τὰς γνώμας καὶ τοὺς τρόπους ἐκάλεσεν. — 6. Ἐστασίαζέ τε οὖν τὰ τῶν πόλεων — —] ἐστασίαζον αἱ πόλεις, καὶ αἱ ὕστερον τῶν ἄλλων σασιάζουσαι, οἷα προπεπυσμέναι τὰς ἐτέρωθι συμφοράς, ἐπὶ τοῦτο ἐφέροντο καὶ ἔβλεπον ταῖς διανοίαις, ὥστε κατὰ πολὺ ὑπερβαλέσθαι τὰς ἀλλαχοῦ στάσεις γινομένας. — *Καὶ τὰ ἐφυστερίζοντά που*] τὰ ὕστερον γινόμενα. (λ. Ἀνγ.)

Οἱ ἰδιῶται. Οἱ om. cod. Bas.

Ἀνουσίους. Mosqu. ἀνοσίους.

Τὰ παρόντα. Ar. Chr. τὰ παρέν. Proximum τάς om. D.

Ὀργάς. D. Ar. Chr. Dan. marg. Steph. (fortasse etiam Valla, qui *impetum* vertit,) ὁρμάς, ex interpr. Nam ὀργαὶ nunc sunt *animorum affectiones*, *ingenia*. Cf. adnot. ad I, 140.

3. *Ἐστασίαζέ τε.* „De his et seqq. vid. Dion. Hal. περὶ τῶν τοῦ Θουκ. ἰδιωμάτων p. 151. ed. Francof. [p. 886. R.]" HUDS. „Corrupte Dion. Hal. ἐστασίαζον citat." WASS.

Ἐφυστερίζοντα. Reg. (G.) ὑφιστερίζ. Unus liber Dion. Hal. p. 953. ἄφυστ.

Πύστει. Apud Dion. Hal. p. 886. semel ἐπὶ πύστει, ex interpr., sine ἐπί idem p. 953. In m. rec. man. supra script. ἀπό, quod etiam in G. esse dicit Gail. Mosqu. πίστει exarat, ubi a pr. man. etiam cod. Bas.

Προγενομένων. C. προγεγενημένων, uti semel Dion. Hal. p. 886. Scriptura fluctuatur apud eund. p. 953. Eadem tempora in Xenophontis libris saepissime confunduntur. Ç. προσγενομένων.

Πολύ. Dion. Hal. p. 886. bis πολλήν, quod cod. Bas. ex emend. habet, non inepte, sed p. 953. πολύ.

Digitized by Google

τὴν ὑπερβολὴν τοῦ καινοῦσθαι τὰς διανοίας τῶν τ' ἐπιχειρήσεων περιτεχνήσει καὶ τῶν τιμωριῶν ἀτοπίᾳ. 4. καὶ τὴν εἰωθυῖαν ἀξίωσιν τῶν ὀνομάτων ἐς τὰ ἔργα ἀντήλλαξαν τῇ δικαιώσει. τόλμα μὲν γὰρ ἀλόγιστος, ἀν-
δρία φιλέταιρος ἐνομίσθη, μέλλησις δὲ προμηθὴς, δει-

1. *Καινοῦσθαι*] καινοτόμα εἶναι. (*λ. Κασσ. Αὐγ.*) — *Τῶν τε ἐπιχειρήσεων* —] τοῖς τρόποις τῶν ἐπιχειρήσεων καινοῖς εὑρισκομένοις καὶ τῇ δεινότητι τῶν τιμωριῶν. — 2. *Περιτεχνήσει*] τῇ κακουργίᾳ. (*Βασ.*) §. *περινοίᾳ*. — *Ἀτοπίᾳ*] τῷ δήθει. — 3. *Τὴν εἰωθυῖαν ἀξίωσιν* —] *τὴν κειμένην, φησὶ, τῶν ὀνομάτων χρῆσιν ἀντήλλαξαν. καὶ ἐκιφόρει εὐθὺς καθέκαστον.* — *Τὴν εἰωθυῖαν ἀξίωσιν* — —] *ἀξίωσιν μὲν τὴν σημασίαν εἶπε· περιφραστικῶς ἀντὶ τοῦ εἰπεῖν τὰ ὀνόματα εἰρηκε τὴν ἀξίωσιν τῶν ὀνομάτων·* (*Βασ.*)] *δικαιώσει δέ* [*ἀντὶ τοῦ τῇ*] *ἑαυτῶν δικαίᾳ κρίσει. βούλεται δὲ εἰπεῖν ὅτι μετέθεσαν τὰ ὀνόματα· οὐ γὰρ, ὡς νενόμιστο πρόσθεν, ἐχρῶντο κατὰ τῶν πραγμάτων, ἀλλὰ μεθηρμοσαν κατὰ τὴν ἑαυτῶν κρίσιν. τὴν μὲν γὰρ ἀλόγιστον τόλμαν,* (*ἥτις καὶ θρασύτης λέγεται,*) *ἀνδρείαν προσηγόρευσαν. τὸ δὲ φιλέταιρος παρελκόντως κεῖται. κέχρηται δὲ αὐτῷ διὰ τὸ προσθεῖναι τόλμαν ἀλόγιστον, ἵνα παρίσωσις γένηται.* — 4. *Τόλμα μὲν γὰρ ἀλόγιστος*] *τὸ τολμᾶν ἀλογίστως.* (*λ. Αὐγ.*) — 5. ** *Μέλλησις δὲ προμηθὴς*] *τὸ μέλλειν καὶ ἀναβάλλεσθαι μετὰ προμηθείας.* (*Κασσ.*) — *Μέλλησις δὲ* — —] *τὴν δ' εὐλάβειαν καὶ τὴν μέλλησιν τὴν διὰ πρόνοιαν γιγνομένην θειλίαν ὠνόμασαν εὐπρεπῆ· τὴν δὲ σωφροσύνην, φησὶν, ἀνανδρείας προκάλυμμα ὄντος· καὶ τὸ πρὸς πάντα συνιτὸν πρὸς πάντα ἀργὸν ἔλεγον· τὸ δὲ μανικῶς ὀξὺ ἀνδρεῖα παρ' αὐτοῖς ἐνομίζετο.* (*λ. Κασσ.*)

Καινοῦσθαι. Pal. It. Vat. H. (hic oum *αῑ s. ᾱ* al. man.) *καινοῦσθαι*, sicut *καινός* et *νεός* III, 80. confusa vidimus. Dion. Hal. p. 953. et semel etiam p. 886. *ἐς τὸ καινοῦσθ.*, ex interpr.

Τῶν τ' ἐπιχειρ. Τέ om Gr.

Περιτεχνήσει. Dion. Hal. p. 887. *ἐπιτεχνήσει*, sed p. 886. et 953. *περιτεχν.* Cf. nos I. 1. p. 253. Deinde Dion. Hal. p. 953. *καὶ τῇ*, sed artic. om. p. 886. 887.

4. *Τὴν εἰωθυῖαν — ἀργόν.* „Laudat Plutarch. de Adul. p. 56. [213. seq. Moral. ed. Wyttenb.]" WASS. „Dion. Hal. p. 150. [887.] *τὴν εἰωθυῖαν τῶν ὀνομάτων ἀξίωσιν* ordine paulo venustiore haud semel exhibet." *ID.* Sed vulgarem ordinem ipse servat p. 953. C. F. *εἰωθεῖαν.*

Ἀντήλλαξαν. D. *ἀντιλλαξαν.*

Τόλμα — ἀργόν. „Dion. Hal. p. 186. [p. 808. R.] *Τόλμα — πρόσχημα* Hermogen. I. *περὶ Ἰδεῶν.* 6. qui *ἀκρεκὴς*, hinc corrigendus." WASS.

Μὲν γάρ. Γάρ Dion. Hal. om. p. 954., sed habet p. 808. et 887. *Ἀνδρία.* C. F. Pal. D. E. m. Dan. *ἀνδρεία.* Ita Dion. Hal. p. 808., sed *ἀνδρίᾳ* p. 887. et 954. „*Ἀνδρεία* etiam Plutarch. l. d. et Aristid. de Dict. civ. p. 192." DUK. Cf. de Art. crit. p. 153.

Φιλέταιρος. Cass. It. H. Gr. (hic a pr. man.) D. (hic quoque cum aliis literis appictis,)

Digitized by Google

λία εὐπρεπής· τὸ δὲ σῶφρον, τοῦ ἀνάνδρου πρόσχημα, καὶ τὸ πρὸς ἅπαν ξυνετὸν, ἐπὶ πᾶν ἀργόν· τὸ δ' ἐμπλήκτως ὀξύ, ἀνδρὸς μοίρᾳ προσετέθη· * ἀσφαλείᾳ δὲ τὸ 218.
ἐπιβουλεύσασθαι,* ἀποτροπῆς πρόφασις εὔλογος. 5. καὶ ὁ μὲν χαλεπαίνων, πιστὸς ἀεὶ, ὁ δ' ἀντιλέγων αὐτῷ, ὕποπτος. ἐπιβουλεύσας δέ τις, τυχὼν, ξυνετὸς, καὶ ὑπονοήσας, ἔτι δεινότερος· προβουλεύσας δὲ ὅπως μηδὲν

2. Καὶ τὸ πρὸς ἅπαν ξυνετόν] καὶ τὸ μετὰ συνέσεως ἔρχεσθαι εἰς πᾶν ἔργον. (λ. Ἀνγ.) — Ἐμπλήκτως] μανιωδῶς. (λ. Ἀνγ.) — 3. Ἀνδρός] τῆς ἀνδρείας. (λ. Ἀνγ.) — Ἀσφάλεια δὲ τὸ ἐπιβουλεύσασθαι] τὸ ἐπικρυβδὴν βουλεύσασθαι δι' ἀσφάλειαν πρόφασις ἀποτροπῆς ἐνομίζετο. — 5. Αὐτῷ] τῷ χαλεπαίνοντι. (λ. Ἀνγ.) — 6. Καὶ ὑπονοήσας ἔτι δεινότερος] καὶ ὁ ὑπονοήσας ἐπιβουλεύσθαι [δηλονότι] ξυνετώτερος ἐνομίζετο. — 7. Προβουλεύσας δὲ —] ὁ δὲ προσκοπῶν, δηλονότι ὅπως μήτε ἐπιβουλεύειν μήτ' ἐπιβουλεύεσθαι ἀνάγκη τις αὐτῷ γένηται, διαλύειν τὴν ἑταιρίαν ὑπωπτεύετο.

I. E. m. (sed in hoc correct. φιλαιτέρος,) Dan. φιλαίτερος. (Bekk. pro Gr. male Mosqu. memorat.)

Εὐπρεπής. Puncta post hoc vocab. et post *πρόσχημα* in commata mutavit Bekk.

Τοῦ ἀνάνδρου πρόσχημα. Dion. Hal. p. 808. *πρόσχημα τοῦ ἀνάνδρου*, sed vulgarem ordinem servat p. 888. et 954. atque Thom. Mag. in *πρόσχημα*, qui „*πρόσχημα* hic exponit *πρόφασιν καὶ τὸ οἱονεὶ προκάλυμμα.*“ DUK.

Πρὸς ἅπαν. Ar. Chr. Dan. *παράπαν.* Dion. Hal. p. 808. *εἰς ἅπαξ*, sed p. 888. et 954. cum vulg. consentit. Post *ἀργόν* vulgo punctum legitur.

Ἐμπλήκτως. B. *ἐκπλήκτως.*

Μοίρᾳ. Reg. *μοῖρα.*

Ἀσφαλείᾳ. Vulgo (it. Bekk. et apud Dion. Hal. p. 954.) *ἀσφάλεια*, sed dativum et nominativum iuxta collocatos habet Dion. Hal. p. 888., et illum reponendum esse viderunt Sylburg. et Bredov., quibus paruit Haack. Cf. Schol. Krüg. l. l. p. 155. et adnot. Ante hoc nomen autem vulgo rursus punctum collocatur.

Τὸ ἐπιβουλεύσασθαι. Ar. Chr. Dan. *τοῦ ἐπιβουλεύσασθαι*, ex correctione ob vulg. *ἀσφάλεια* facta. Cf quae de his libris disputata sunt de Art. crit. c. 6. Male igitur Kistemak. hanc scripturam commendat, et Lindav. p. 6. *τοῦ ἔτι βουλεύσ.* inde eruit. Gr. *τὸ ἐπιβουλεύεσθαι.*

5. *Χαλεπαίνων.* B. *χαλεπαίνειν.* Coniecturas *πᾶν* (*πάντα*) *ἐπαινῶν*, et *κακὰ ἐπαινῶν* memorat Lindav. At vid. not.

Ἐπιβουλεύσας δέ. Proxima ad *προβουλεύσας δέ* ob similem vocabulorum exitum om. H. et suppl. al. man. In D. *εἰς τυχών* in marg. ead. man.

Τυχών. Dion. Hal. p. 889. et 954. non male *τυχὼν τε.* Pal. *τυχῶν.* Virgula autem ante hoc verbum ab edit. Lips. addita est

Digitized by Google

αὐτῶν δεήσει, τῆς τε ἑταιρίας διαλυτὴς, καὶ τοὺς ἐναντίους ἐκπεπληγμένος. ἁπλῶς δὲ, ὁ φθάσας τὸν μέλλοντα κακόν τι δρᾶν ἐπῃνεῖτο, καὶ ὁ ἐπικελεύσας τὸν μὴ διανοούμενον. 6. καὶ μὴν καὶ τὸ ξυγγενὲς τοῦ ἑταιρικοῦ ἀλλοτριώτερον ἐγένετο, διὰ τὸ ἑτοιμότερον εἶναι ἀπροφασίστως τολμᾶν. οὐ γὰρ μετὰ τῶν κειμένων νόμων ὠφέλειας αἱ τοιαῦται ξύνοδοι, ἀλλὰ παρὰ τοὺς καθεστῶτας πλεονεξίᾳ. καὶ τὰς ἐς σφᾶς αὐτοὺς πίστεις οὐ

2. Ἁπλῶς δέ] καθολικῶς φάναι. (λ. Ἀνγ.) ** Ἐκπεπληγμένος] φοβούμενος. (Βας.) — Ὁ φθάσας τὸν μέλλοντα — —] ἀντὶ τοῦ, ὁ πρὶν παθεῖν ὑπὸ τῶν πολεμίων αὐτὸς προλαβών, καὶ ποιήσας τοὺς πολεμίους, ἐθανμάζετο. [ἢ οὕτως ὁ τὴν, ἑαυτοῦ ἑταιρίαν καὶ πρῶτος τὸν πολέμιον δράσας κακῶς ἐπῃνεῖτο. (λ. Κασσ.)] — 3. Καὶ ὁ ἐπικελεύσας τὸν μὴ διανοούμενον] ὁ παρακελευσάμενος τοῖς μὴ διανοουμένοις κακόν τι δρᾶσαι ἐπῃνεῖτο. [ὁ παρακινήσας, φθάσαι δηλονότι, τὸν μὴ διανοούμενον. (λ. Ἀνγ.)] — 4. Καὶ μὴν καὶ τὸ ξυγγενὲς τοῦ ἑταιρικοῦ — —] καὶ μὴν καὶ οἱ ξυγγενεῖς, φησὶ, τῶν φίλων ἀλλοτριώτεροι ἐνομίζοντο, διὰ τὸ ἑτοιμότερον τολμᾶν ὑπὲρ τῶν φίλων τοὺς φίλους ἢ τοὺς συγγενεῖς. — 6. Οὐ γὰρ μετὰ τῶν κειμένων νόμων — —] οὐ γὰρ κατὰ τοὺς κειμένους, φησὶ, νόμους ὠφελεῖσθαι θέλοντες, τὰς τοιαύτας ἐποιοῦντο συστάσεις καὶ ἑταιρίας, ἀλλὰ παρὰ τοὺς ὑπάρχοντας νόμους διὰ πλεονεξίαν. — 7. Παρὰ τοὺς καθεστῶτας] νομους δηλονότι. (λ. Ἀνγ.) — 8. Καὶ τὰς ἐς σφᾶς αὐτοὺς πίστεις —] πιστοὶ, φησὶν, ἦσαν ἀλλήλοις, οὐχ ὅρκους διδόντες, ἀλλὰ κοινῶς τι παράνομον πράξαντες. (λ. Κασσ.)

Δεήσει Cass. C. F. Pal. It. Vat. H. Reg. (G.) cod. Bas. D. I. E. Vind. m. Dan. Dion. p. 889. et 954. Haack. Bekk. Vulgo *δεήσοι*. Antea cod. Bas. *αὐτῷ*.

Τῆς τε. *Τέ* om. D. I.

Ἑταιρίας. C. F. It. I. *ἑταιρείας*. Cf. quae de similibus nominibus dicta sunt de Art. crit. p. 153. sq. *Ἑταιρία* bis exaratur apud Xenoph. in Hist. Gr. Vid. tamen Pors. ad Eur. Or. v. 1070. Statim *διαλυτὴς*. Pal. *διαλύτης*.

Καὶ τούς. D. I. *τούς τε*.

„*Ἁπλῶς — τολμᾶν* et postea *οὐ γὰρ — πλεονεξίᾳ* Dion. Hal. p. 151. [890.]“ WASS.

Καὶ ὁ. D. *καὶ ὃς*, in marg. *ὁ*.

Ἐπικελεύσας τὸν μὴ διανοούμενον. D. *μὴ ἐπικελεύσαντος διανοούμενον*, sed *σαντος* lineola notatum et in marg. al. man. *σας τὸν μή*. Vat. *τοῦ μή*.

6. *Ἀλλοτριώτερον*. Gr. *τὸ ἀλλοτριώτερον*.

Ἀπροφασίστως. I. *διὰ τὸ ἀπροφ.*

Μετὰ τῶν. E. *μετὰ τῆς τῶν*, sicut cod. Bas. ex emend. Syllaba *τᾶ* (in *μετά*) s. v. al. man. in D.

Ὠφελείας. Pal. It. Vat. H. Bekk. *ὠφελίας*. Cf. de Art. crit. p. 153. Comparatis Vallae et Dion. Hal. interpretationibus conjicias *ὠφελεία*. Vid. tamen Krüg. l. l. p. 157. et not.

Ἐς σφᾶς. *Ἐς* om. Dan.

Digitized by Google

τῷ θείῳ νόμῳ μᾶλλον ἐκρατύνοντο ἢ τῇ κοινῇ τι παρανομῆσαι. 7. τά τε ἀπὸ τῶν ἐναντίων καλῶς λεγόμενα ἐνεδέχοντο ἔργων φυλακῇ, εἰ προὔχοιεν, καὶ οὐ γενναιότητι. ἀντιτιμωρήσασθαί τέ τινα περὶ πλείονος ἦν, ἢ αὐτὸν μὴ προπαθεῖν. καὶ ὅρκοι εἴ που ἄρα γένοιντο ξυναλλαγῆς, ἐν τῷ αὐτίκα, πρὸς τὸ ἄπορον ἑκατέρῳ διδόμενοι, ἴσχυον, οὐκ ἐχόντων ἄλλοθεν δύναμιν. ἐν δὲ

1. *Τῷ κοινῇ τι παρανομῆσαι*] τῇ κοινῇ παρανομίᾳ. (λ. Λύγ.) — 2. *Τά τε ἀπὸ τῶν ἐναντίων* —] τοῖς ὀρθῶς, φησὶν, ὑπὸ τῶν ἐξ ἐναντίας λεγομένοις ἐπείθοντο οὐ δι' εὐγνωμοσύνην, ἀλλὰ εἰ ἔργῳ κρείσσονες ἦσαν αὐτοὶ τῶν ἐναντίων, καὶ ἐν τῷ ἀσφαλεῖ καθεστήκεσαν. — 3. *Γενναιότητι*] ἀντὶ τοῦ χρηστότητι καὶ ἁπλότητι. (Βασ.) — 4. *Περὶ πλείονος* —] περὶ πλείονος ἐποιοῦντο δρᾶσαί τι κακὸν τοὺς ἐναντίους, ἢ αὐτοὺς μὴ παθεῖν. ἀντὶ τῶν ἁπλῶν γὰρ ἀντιτιμωρήσασθαι καὶ τὸ μὴ προπαθεῖν. (λ. Κασσ.) — 5. *Καὶ ὅρκοι εἴ που ἄρα γένοιντο* —] καὶ ὁπότε, φησὶν, ὅρκους παράσχοιεν ἀλλήλοις περὶ διαλλαγῆς, παραυτίκα μόνον ἴσχυον οἱ ὅρκοι, καὶ μέχρι τούτου ἐπίστευον αὐτοῖς, ἕως ἐν ἀπορίᾳ τοῦ ἄλλως πιστεῦσαι καθεστήκεσαν. ὡς ἂν εἰ ἔλεγεν, εἰ ἦσαν ἐν ἀπορίᾳ τοῦ πιστεῦσαι τῇ ἑαυτῶν δυνάμει, καὶ ἐπιθέσθαι τῇ ἑτέρων δυνάμει, ἴσχυον ἐν αὐτοῖς οἱ ὅρκοι· εἰ δὲ συνέβη τινὰ αὐτῶν δυνηθῆναι, παρ' οὐδὲν θέμενος τοὺς ὅρκους ἐπετίθετο. (λ. Κασσ.) — 7. *Ἐν δὲ τῷ παρατυχόντι* — —] ἐν δὲ τῷ συμβαίνοντι καὶ τῷ μετὰ ταῦτα χρόνῳ ὁ

Τῷ θείῳ νόμῳ. „Haec a Schol. Christiano introducta suspicor; verius Dion. Hal. [p. 955.] *τῷ θείῳ καὶ νομίμῳ.*“ WASS. Cui nemo facile assentietur. B. *θείῳ* s. v. ead. man. atque etiam cod. Bas. ex emend. *οὐ τῷ νόμῳ.*

Ἐκρατύνοντο. Vind. *ἐκρατοῦντο.*

Τῷ κοινῇ. Mosqu. *τὸ κοινῇ.*

7. *Καλῶς.* Post primam syllabam huius voc. in Cass. spatium vacuum duorum versuum usque ad *γένοιντο.*

Ἐνεδέχοντο. I. *ἀνεδέχοντο.* D. *ἀναδέχοντο.*

Φυλακῇ. Comma non hic, sed ante *ἔργων*, cogitavit esse Schol. Apud Duk. utroque loco virgula deest.

Τέ τινα. Τέ om. C. Pro *ἀντιτιμωρήσασθαι* in Schol. olim *ἀντιτιμωρήσεσθαι*, sed ex Aug. correctum.

Πλείονος. Vind. *πλείονας.*

Ἄρα. Pal. *ἄραι.*

Γένοιντο. „Dion. Hal. p. 151. [891.] *ἐγίγνοντο* et *γένοιντο*, [hoc etiam p. 892.,] et rursus p. 164. *γίνοιντο* [apud Reisk. p. 955. *γένοιντο*].“ WASS. „*Γένοιντο* etiam Thom. Mag. habet in *διηλλάγη*. Ita enim ibi legendum est [et nunc legitur], et *κατηλλάγη*, item *ἐνηλλάγη*, *διηλλάγη*, *συνηλλάγη*, quae omnia in ed. Franeq. perperam *ὀξυτονοῦνται.*“ DUK. Mox virgulae post *ξυναλλ.* et *αὐτίκα* vulgo (et apud Haack.) de.; sed post *ξυναλλ.* protasin finiri vidit iam Fr. Port. cum Dion. Hal.

Πρὸς τὸ ἄπορον. Aug. *πρὸ τὰ ἄπ.* Ar. Chr. *πρὸς τὸν ἄπορον.* Dan. *πρὸς τὴν ἄπορον.* Statim *ἑκατέρων* coniiciebat Reisk.

Ἐχόντων. D. *ἔχοντες.* Quod

Digitized by Google

τῷ παρατυχόντι ὁ φθάσας θαρσῆσαι, εἰ ἴδοι ἄφρακτον, ἥδιον διὰ τὴν πίστιν ἐτιμωρεῖτο ἢ ἀπὸ τοῦ προφανοῦς, καὶ τό τε ἀσφαλὲς ἐλογίζετο, καὶ ὅτι, ἀπάτῃ περιγενόμενος, ξυνέσεως ἀγώνισμα προσελάμβανε. ῥᾷον δ' οἱ πολλοὶ, καιρῶν ὄντες, δεξιοὶ κέκληνται, ἢ ἀμαθεῖς ἀγαθοί· καὶ τῷ μὲν αἰσχύνονται, ἐπὶ δὲ τῷ ἀγάλλονται.

(*Αἴτια τῶν στάσεων.*)

8. *Πάντων δ' αὐτῶν αἴτιον ἀρχὴ ἡ διὰ πλεονε-*

*ξίαν καὶ φιλοτιμίαν γενομένη, ἐκ τούτων δὲ ἡ ἐπιθυμία τοῦ βούλεσθαι ἄρχειν τῆς γῆς καὶ τὸ ἐπιτίθεσθαι, καὶ τὸ ἀπὸ τούτων δὲ ἡ στάσις ἀρχὴν λαμβάνουσα (φημὶ δὴ τοῦ ἄρχειν καὶ τῆς πλεονεξίας καὶ φιλοτιμίας) ὕστερον λαμβάνει ἑτέραν τῶν κακῶν αἰτίαν, τὴν τῶν σταδιαζόντων προθυμίαν, ὥσπερ εἰς * ἕξιν * ἐρχομένων αὐτῶν τοῦ περιγενέσθαι καὶ μὴ ἡττηθῆναι τῶν ἐναντίων.*

ὑπὸ τύχης ἐσχηκὼς πρῶτος τὸ θαρρῆσαι καὶ συνηθῆναι ἡδύτερον μᾶλλον διὰ τὴν πίστιν ἐπετίθετο, ἥπερ ἐκ τοῦ προφανοῦς μαχόμενος· καὶ τότε μάλιστα ἀσφαλὲς ἐνόμιζε τὸ ἐπιτίθεσθαι, διὰ τὸ ἄφρακτον ῥᾳδίᾳ τὸν ἐναντίον, τοῦ ὅρκου τῷ θάρρει. καὶ διὰ τοῦτο δὲ ἥδιον μετὰ τὸν ὅρκον ἐτιμωρεῖτο, ὅτι δόξαν φρονήσεως ἐλάμβανε, τῇ ἀπάτῃ τοῦ ὅρκου καὶ τῇ τέχνῃ περιγενόμενος. (λ. Κασσ.) — 5. ** *Ἀμαθεῖς*] κακῶν. μᾶλλον τοὺς κακούργους συντετοὺς καλοῦσιν ἥπερ τοὺς τῶν κακῶν ἀμαθεῖς ἀγαθούς· καὶ ἡδέως ἔχουσιν οἱ ἄνθρωποι κακοῦργοι εἶναι καὶ δεξιοὶ καλεῖσθαι, ἢ ἀμαθεῖς καὶ ἀγαθοί. (*Ἀνγ.*) — 6. *Τῷ μέν*] ἐπὶ τῷ ἀμαθεῖς καλεῖσθαι. — *Ἐπὶ δὲ τῷ*] ἐπὶ τῷ πανοῦργοι καλεῖσθαι. — 7. *Πάντων δ' αὐτῶν αἴτιον — —*] πάντων δὲ τῶν εἰρημένων κακῶν αἴτιον ἦν ἡ ἐπιθυμία τοῦ βούλεσθαι ἄρχειν τῆς γῆς διὰ πλεονεξίαν καὶ φιλοτιμίαν. ἐκ τούτων δὲ ἡ στάσις ἀρχὴν λαμβάνουσα (φημὶ δὴ τοῦ ἄρχειν καὶ τῆς πλεονεξίας καὶ φιλοτιμίας) ὕστερον λαμβάνει ἑτέραν τῶν κακῶν αἰτίαν, τὴν τῶν σταδιαζόντων προθυμίαν, ὥσπερ εἰς * ἕξιν * ἐρχομένων αὐτῶν τοῦ περιγενέσθαι καὶ μὴ ἡττηθῆναι τῶν ἐναντίων.

si cum Reisk. exspectes, vid. I. 1. p. 119. sq. Sed non est cur participium hic ad ὅρκοι referamus. Vid. adnot.

Εἰ ἴδοι. Cass. Pal. D. I. ἢ ἴδοι, sed in Cass. a correctore videbatur esse εἰ. Cl. Reg. (G.) εἰ ἴδῃ. C. F. εἰ ἥδει.

Ἥδιον. Post hoc voc. Aug. a man. 2. inserit ἤ. Vind. ἴδιον scribit.

Ἀπό. E. s. v. γρ. διά. Ita Ald. Flor. Bas. (ed., non cod. Bas.) marg. Steph. At „ἀπὸ τοῦ προφανοῦς est phrasis Thucydidi familiaris. Vid. I, 35. 66. et II, 93." DUK. Post προφ. autem ante Bekk. plene interpungebatur.

Τό τε. D. ὅτι. Schol. τότε. At vid. Goell.

Καὶ ὅτι. Inutilis Reisk. et Krüg. p. 168. coniectura καὶ ἔτι.

Ἀπάτῃ. Gr. ἀνάγκῃ, „sed ab editis stat Dion. Hal. Fort. codex, unde lectio Gr. profluxit, habuerat ἀγχινοίᾳ." WASS. Valla: *quia militia viceras.* Sed ἀπάτῃ unice aptum.

Περιγενόμενος. D. περιγενόμενον.

Ῥᾷον. Cass. Aug. It. H. Reg. (G.) ῥᾴδιον, sed H. s. v. al. man. ῥᾷον, quae formae saepius a librariis confunduntur.

Πολλοί in marg. habet C. Mox pro τῷ μέν Vind. τὸ μέν.

8. *Ἀρχή.* Vulgo (et Haack.) ἡ

Digitized by Google

ξίαν καὶ φιλοτιμίαν· ἐκ δ' αὐτῶν καὶ ἐς τὸ φιλονικεῖν καθίστατο τὸ πρόθυμον. οἱ γὰρ ἐν ταῖς πόλεσι προστάντες, μετὰ ὀνόματος ἑκάτεροι εὐπρεποῦς, πλήθους τε ἰσονομίας πολιτικῆς καὶ ἀριστοκρατίας σώφρονος προτιμήσει, τὰ μὲν κοινὰ λόγῳ θεραπεύοντες, ἆθλα ἐποιοῦντο, παντὶ δὲ τρόπῳ ἀγωνιζόμενοι ἀλλήλων περιγίγνεσθαι, ἐτόλμησάν τε τὰ δεινότατα, ἐκτίσαν τε, τὰς τιμωρίας ἔτι μείζους οὐ μέχρι τοῦ δικαίου καὶ τῇ πόλει ξυμφόρου προτιθέντες, ἐς δὲ τὸ ἑκατέροις κου ἀεὶ ἡδονὴν ἔχον ὁρίζοντες· καὶ ἢ μετὰ ψήφου ἀδίκου καταγνώσεως, ἢ χειρὶ κτώμενοι τὸ κρατεῖν, ἕτοιμοι ἦσαν τὴν

1. Ἐκ δ' αὐτῶν] ἦγον δὲ νυνά. (λ. Λύγ.) — 2. Οἱ γὰρ ἐν ταῖς πόλεσι προστάντες—] οἱ γὰρ ἐν ταῖς πόλεσι προϊστάμενοι τῆς δημοκρατίας καὶ τῆς ὀλιγαρχίας, μετὰ ὀνόματος ἑκάτεροι εὐπροσώπου καὶ πιθανοῦ, οἱ μὲν λέγοντες προΐστασθαι τῆς δημοκρατίας τῆς ἐλευθέρας, οἱ δὲ τῆς ἀριστοκρατίας λέγοντες ἀντιποιεῖσθαι τῆς σώφρονος, τὰ μὲν δημόσια νικήσαντες εἶχον, καὶ νὸ μέχρι τοῦ δικαίου καὶ τοῦ συμφέροντος τῇ πόλει τὰς τιμωρίας ἐποιοῦντο. ὑπερβιβάσαι δὲ χρὴ τὸ προτιθέντες καὶ συντάξαι πρὸς τῷ ἀνωτέρω τοῦ „τιμωρίας" προτιθέντες. — 3. Ἑκάτεροι] ἑκάτερος ὅταν ὦσι δύο μόνοι· ἑκάτεροι δὲ λέγονται, ὅταν ὦσι πολλοὶ εἰς δύο μεμερισμένοι. (Bas.) — Εὐπρεποῦς] πιθανοῦ, εὐσχήμονος. (λ. Λύγ.) — Πλήθους τε ἰσονομίας] ἦγον δημοκρατίας. (λ. Λύγ.) — 5. Ἆθλα] ἔπαθλα, ἀντὶ τοῦ κέρδη. (λ. Λύγ.) — 7. Τὰς τιμωρίας ἔτι μείζους] ἦγον τιμωρούμενοι ἐπιτεταμένας ἐποίουν. (λ. Λύγ.) — 10. ***Ἢ μετὰ ψήφου ἀδίκου — —] ἢ καταψηφιζόμενοι, φησὶν, ἀδίκως ἀλλήλων, ἢ τῇ χειρὶ καὶ τῇ δυνάμει καὶ τοῖς ὅπλοις κρατοῦντες, ἐξεπίμπλασαν τὰς φιλονικίας, τουτέστιν * ἐνεπίμπλαντο * καὶ ἥδοντο τιμωροῦμενοι τοὺς ἐχθρούς. (Καισ. Λύγ.)

ἀρχή, sed art. om. Cass. Aug. Cl. C. Pal. It. Vat. H. Reg. Gr. m. Ar. Chr. Dan. Bekk. In D. I. δ' ἀρχή, eorumque marg. δὴ ἀρχή.

Φιλονικεῖν. Mosqu. φιλονικεῖν.

Μετὰ ὀνόματος Cass. C. F. Pal. H. Reg. (Gr) Gr. D. I. E. Ar. Chr. Ald. Flor. Bas. Vulg. (Haack. Bekk.) μετ' ὀνόμ.

Πολιτικῆς. Ar. Chr. Dan. πολιτικῶν.

Περιγίγνεσθαι. I. περιγενέσθαι. Mox virgulam post ἐπεξῆσάν τε omissam post μείζους fixit Bekk. At vid. adnot.

Προτιθέντες. Gr. Schol. Aug. et Dion. Hal. p. 894. προστιθέντες, quod male commendat Krüg. ad Dion. Hal. p. 161. Vid. adnot. ad c. 44. I. τιθέντες, marg. al. man. προστιθ.

Ἀεί Cass. Aug. C. F. (qui duo post ἡδονὴν collocant) Reg. Mosqu. Haack. Bekk. Vulgo αἰεί. Cf. I. 1. p. 211.

Ἡδονήν. Pro hoc cod. Bas. τί.

Ἔχον. C. F., nisi fallit Gail., ἔχειν.

Ψήφου. G. φόφου, sed η s. o al. man.

Digitized by Google

αντίκα φιλονεικίαν ἐκπιμπλάναι. ὥςτε εὐσεβείᾳ μὲν οὐδέτεροι ἐνόμιζον, εὐκρεπείᾳ δὲ λόγου οἷς ξυμβαίη ἐπιφθόνως τι διαπράξασθαι, ἄμεινον ἤκουον. τὰ δὲ μέσα τῶν πολιτῶν ὑπ' ἀμφοτέρων, ἢ ὅτι οὐ ξυνηγωνίζοντο, ἢ φθόνῳ τοῦ περιεῖναι, διεφθείροντο.

(Τὰ ἐκ τούτων προβάντα.)

πγ'. Οὕτω πᾶσα ἰδία κατέστη κακοτροπίας διὰ τὰς στάσεις τῷ Ἑλληνικῷ· καὶ τὸ εὔηθες, οὗ τὸ γενναῖον

1. Ὥςτε εὐσεβείᾳ μὲν — —] ὥςτε μετ' εὐσεβείας μὲν πρᾶξαί τι οὐδετέροις φροντὶς ἦν οὐδὲ σπουδή· οἷςπερ δὲ συνέβαινεν ἐξαπατήσασι διὰ λόγου τινὸς εὐκρεποῦς πρᾶξαί τι γενναῖον, οὗτοι ἐπῃνοῦντο. — 2. ** Ἐνόμιζον] τὰ νόμιμα ἔπραττον. (Βασ.) — Ἐπιφθόνως τι διαπράξασθαι] ἀντὶ τοῦ ἐπίφθονον καὶ μέγα. τὰ γὰρ μεγάλα καὶ φθονεῖται. — 3. Ἄμεινον ἤκουον] ἤγουν ἐπῃνοῦντο. (λ. Ἀϋγ.) — Τὰ δὲ μέσα τῶν πολιτῶν] [ἤγουν οἱ μέσοι πολῖται· ἤγουν οἱ μετὰ τοὺς προστάτας. (λ. Ἀϋγ.)] οἱ δὲ μέσοι, φησὶ, τῶν πολιτῶν (τουτέστιν οἱ μηδετέρῳ μέρει προςτιθέμενοι, μήτε τῷ τῶν δημοκρατικῶν μήτε τῷ τῶν ὀλιγαρχικῶν, ἀλλ' ἡσυχάζοντες, καὶ μὴ θέλοντες στασιάζειν) ὑπ' ἀμφοτέρων ἐφθείροντο, ἢ ὅτι οὐ συνηγωνίζοντο τοῖς στασιώταις παρακαλοῦσιν, ἢ φθονούμενοι ὑπὸ τῶν στασιαζόντων, ὅτι μόνοι * ἀπαθεῖς * ἦσαν. — 4. ** Τπ' ἀμφοτέρων] τὸ ὑπ' ἀμφοτέρων εἶπεν οὐχ ὅτι εἰς δύο μεριςθέντες οἱ ἐν τῇ πόλει ἐμάχοντο ἀλλήλοις ἀμφότεροι, τοὺς δὲ ὄντας μέσους, ἤτοι τοὺς μηδετέροις ἀκολουθεῖν ἐθέλοντας, ἀμφότεροι ἀπέκτεινον· ἀλλ' ἐπειδὴ πάσας τὰς πόλεις εἰς δύο ἐμέρισεν . . . τοὺς προστάτας αὐτῶν, ὡς λέγει μικρὸν ἄνωθεν, διὰ τοῦτο εἶπε καὶ νῦν ὑπ' ἀμφοτέρων, εἰς δύο μεριςθέντα [τὰ] τῶν πόλεων βουλόμενος πασῶν ἐνδείξασθαι. (Βασ.)

πγ'. 7. Τὸ εὔηθες] ** τὴν χρηστότητα λέγει ἐνταῦθα εὔηθες. (Βασ.) — Τὸ εὔηθες] τὸ ἁπλοῦν, τὸ ἀπόνηρον· σημείωσαι [ὅτι]

Ἐκπιμπλάναι Cass. Aug. F. Pal. It. Vat. Gr. D. Ald. Flor. Bas. Steph. 1. Dion. Hal. p. 894. Bekk. In E. ἐκπιπλάναι. Vulg. (et Haack.) ἐμπιπλάναι, quod saltem ἐμπιπλάναι esse debebat, sicut Dan. et cum emendat. ead. man superscr. Reg. (G.)

Εὐσεβείᾳ. D. εὐσέβειαν, quod temere mavult Krüg. l. l. p. 161., qui Vallam, *neutri deorum religionem ullius momenti faciebant* interpretatum, eodem modo legisse coniicit. Vid. adnot. ad II, 38.

Λόγου. Cl. λόγων. Comma post hoc vocab. a Bredov. monitus primus sustulit Haack.

Τπ'. Reg. (G.) ἐπ', et a correct. int. vers. ὑπ'.

Cap. LXXXIII. Κακοτροπίας. F. D. κακοπραγίας. C. κακοπραγίαν.

„Καὶ τὸ εὔηθες — μετέχει. [Thom.] Magister: κατ' εὐφημισμόν." WASS. Εὐήθης, ὁ ἀγαθός· Θουκυδ. τρίτῳ. Bekk. Anecdd. p. 91. Cf. not. Ante haec verba autem vulgo pun-

Digitized by Google

πλεῖστον μετέχει, καταγελασθὲν ἠφανίσθη· τὸ δὲ ἀντιτετάχθαι ἀλλήλοις τῇ γνώμῃ ἀπίστως, ἐπιπολὺ διήνεγκεν. 2. οὐ γὰρ ἦν ὁ διαλύσων, οὔτε λόγος ἐχυρὸς, οὔτε ὅρκος φοβερός· κρείσσους δὲ ὄντες ἅπαντες λογισμῷ ἐς τὸ ἀνέλπιστον τοῦ βεβαίου, μὴ παθεῖν μᾶλλον προεσκόπουν, ἢ πιστεῦσαι ἐδύναντο. 3. καὶ οἱ φαυλότεροι γνώμην ὡς τὰ πλεῖω περιεγίγνοντο· τῷ γὰρ δεδιέναι τό τε αὑτῶν ἐνδὲς καὶ τὸ τῶν ἐναντίων ξυνετὸν, μὴ λόγοις τε ἧσσους ὦσι, καὶ ἐκ τοῦ πολυτρόπου αὐτῶν τῆς γνώμης φθάσωσι προεπιβουλευόμενοι, τολμηρῶς πρὸς τὰ

τὸ εὔηθες ἐπὶ πολύ. §. καὶ οἱ ἁπλοῖ τῶν ἀνθρώπων καὶ ἀπόνηροι (οὗτοι δέ εἰσιν οἱ μεγαλοψυχίας μάλιστα καὶ εὐγενείας μετέχοντες) καταγελώμενοι ὑπὸ τῶν στασιαζόντων ἀπώλλυντο· οἱ δὲ ἀπιστοῦντες ἀλλήλοις, καὶ παρατεταγμένοι δεινῶς κατ' ἀλλήλων, ὡς ἐπιπλεῖστον οὗτοι διεσώζοντο διὰ τῆς ἀπιστίας καὶ τῆς παρασκευῆς. — 1. Τὸ δὲ ἀντιτετάχθαι ἀλλήλοις τ. γν. ἀ.] τὸ ἀπιστεῖν ἀλλήλοις, (λ. Λύγ.) τὸ ἐντεῦθεν ἀντιτάσσεσθαι. (λ. Κασσ. Λύγ.) — 2. Ἐπιπολὺ διήνεγκε] κρεῖττον ἐγένετο. (λ. Λύγ.) — 3. Ὁ διαλύσων] ὁ φιλιώσων. (λ. Λύγ.) — Ὅρκος φοβερός] θεῖος. (λ. Λύγ.) — 4. Κρείσσους δ' ὄντες — —] ῥέποντες δὲ οἱ ἄνθρωποι τοῖς λογισμοῖς πρὸς τὸ μὴ ἐλπίζειν τινὰ πίστιν καὶ βεβαιότητα, προενοοῦντο μᾶλλον, ἵνα μὴ πάθωσιν αὐτοὶ κακῶς. πιστεῦσαι δὲ οὐκ ἐδύναντο· καὶ οἱ ἀσυνετώτεροι ὡς ἐπιπλεῖστον ἦτοι ἐσῴζοντο ἢ ἐνίκων. — 6. Οἱ φαυλότεροι γνώμην] οἱ ἀσθενεῖς. (λ. Λύγ.) — 7. Ὡς τὰ πλείω] ὡς ἐπιπολεῖστον. (λ. Λύγ.) — Τῷ γὰρ δεδιέναι — —] φοβούμενοι γὰρ, φησὶν, οἱ ἀνοητότεροι, μὴ διὰ συνέσεως πλείονος οἱ ἀντίπαλοι περιγένωνται αὐτῶν, καὶ ἐκ τοῦ πολυτρόπου τῆς γνώμης αὐτῶν νικηθέντες διαφθαρῶσι, τολμηρότερον πρὸς τὰ ἔργα ἐχώρουν, τόλμῃ μᾶλλον πεποιθότες ἢ φρονήσει καὶ μεθόδῳ διανοίας. — Τό τε αὑτῶν ἐνδεές] τὴν ἔλλειψιν τῆς γνώσεως. (λ. Λύγ.) — 9. Αὐτῶν] τῶν φρονίμων. (λ. Λύγ.)

ctum legitur, apud Bekk. comma.

Καταγελασθέν. H. *καταγελάστες.*

Ἀντιτετάχθαι. Cass. Aug. G. *ἀντιτάχθαι*, sed G. cum *τι* s. *αν.*

2. *Διαλύσων.* D. *διαλύττων*, σ s. ττ al. man.

Ἐχυρός. F. cod. Bas. D. I. *ἰσχυρός.* At vid. adnot. ad VIII, 9. et I, 5. Mox post *φοβερός* pro vulg. punctо Haack. colon. posuit, Bekk. comma.

Λογισμῷ. Gr. *λογισμοί.* Cod. Bas. ex emend. *λογισμοῦ.*

Ἐδύναντο. Litera *ν* in E. ab al. man.

3. *Καὶ οἱ φαυλότεροι.* Ante haec comma posuit Bekk.

Ὡς τὰ πλείω. Mosqu. *ὡς τὰ πολλά.* Cod. Bas. *ἐς τὰ πλείω.*

Αὐτῶν. Αὐτῶν (ante *ἐνδεές*) ex Ae. Port. coniectura male reposuerunt Bauer. et Bekk. *Αὐτῶν* significat *σφῶν αὐτῶν*, *proprium.*

Digitized by Google

ἔργα ἐχώρουν. 4. οἱ δὲ καταφρονοῦντες κἂν προαισθέσθαι, καὶ ἔργῳ οὐδὲν σφᾶς δεῖν λαμβάνειν ἃ γνώμης ἔξεστιν, ἄφρακτοι μᾶλλον διεφθείροντο.

(Ἐν τῇ Κερκύρᾳ ἀρχὴ τῶν τοιούτων.)

πδ΄. [Ἐν δ' οὖν τῇ Κερκύρᾳ τὰ πολλὰ αὐτῶν προε-
5 τολμήθη, καὶ ὁπόσα ὕβρει μὲν ἀρχόμενοι τὸ πλέον ἢ
220. σωφροσύνῃ ὑπὸ τῶν τὴν τιμωρίαν παρασχόντων οἱ ἀν-
ταμυνόμενοι δράσειεν, πενίας δὲ τῆς εἰωθυίας ἁπαλλα-

1. ** Οἱ δὲ καταφρονοῦντες — —] οἱ δὲ δοκοῦντες εἶναι συνετοὶ καὶ πάνυ θαῤῥοῦντες τῇ φρονήσει περιγενέσθαι, καὶ οὐδὲν δεῖσθαι νομίζοντες δυνάμεια τι πρᾶξαι ἃ ἔξεστιν αὐτοῖς τέχνῃ κατορθοῦν, ἀπαράσκευοι διεφθείροντο. (Ἀνγ.) — Οἱ δὲ καταφρονοῦντες — —] οἱ δὲ δοκοῦντες εἶναι συνετοὶ, καὶ νομίζοντες ἐπιβουλευόμενοι πάντως ὑπὸ διὰ τὴν σύνεσιν προαισθέσθαι, καὶ οὐδὲν νομίζοντες ἔργων δεῖν, ἄφρακτοι διεφθείροντο. — 3. Ἄφρακτοι] λείπει τὸ ὄντες. (λ. Ἀνγ.)

πδ΄. 4. Ἐν δ' οὖν — —] τὰ ὠβελισμένα οὐδενὶ τῶν ἐξηγητῶν ἔδοξε Θουκυδίδου εἶναι. (Κασσ. Ἀνγ.) ἀσαφῆ γὰρ καὶ τῷ τύπῳ τῆς ἑρμηνείας καὶ τοῖς διανοήμασι πολὺν ἐμφαίνοντα τὸν νεωτερισμόν. (Ἀνγ.) — 7. ** Ἀπαλλαξείοντες] ἐπιθυμοῦντές τινες ἀπαλλάξαι ἑαυτοὺς τῆς εἰωθυίας πενίας, τὰ τῶν ἄλλων ἥρπαζον. (Βασ.)

4. *Προαισθέσθαι.* G. *προαισθωντ*, s. v. al. man. *ίσθαι*. In quo *προαισθωντ* Gail. *προαίσθωνται* latere putat, quod frustra illustrare conatur.

Ἔργῳ. Post hoc nomen Hk inserit *λογιζόμενοι*, ex interpr. Cf. de Art. crit. ap. Thuc. p. 89., ubi pro IV, 83. leg. III, 83. Cod. Bas. ex emend. *ἔργων* habet.

Δεῖν. Gr. *δεῖ*, et statim *λαμβάνει*. Mosqu. *δεῖν* om., m. ante *σφᾶς* collocat. Mox post *ἄφρακτοι* Gottleb. incisum posuit, quod Bekk. rursus om.

Cap. LXXXIV. Totum hoc caput uncis inclusit Bekk., secutus cod. Aug., in quo ab initio huius capitis usque ad finem ad quemque versum posita sunt signa ✦ et in marg. adscriptum est Scholion, quod supra vides. Etiam Cass. Scholion habet, sed non apparet, quo pertineat, quum signa desint. Caeterum vid. de Art. crit. c. 12., sed altera ex parte Goell. ad h. l., qui gravibus argumentis hoc caput impugnavit, quae in adnot. perpendemus.

Προετολμήθη. Cod. Bas. *παρετολμ.*

Ὁπόσα. Post hoc vocab. in ed. Lips. inepte virgula conspicitur. Ita saltem post *παρασχόντων* quoque interpungendum.

Τῶν τὴν. Τὴν om. Gr. D, et s. v. ab al. man. habet E. Mox *δράσειαν ἄν* coniicias. Sed vid. adnot. Post *δράσ*, autem et *γν. γνώσ.* cum Bekk. virgulas pro punctis dimidiis posuimus, quum omnes tres optativi ad *ὁπόσα* referantur.

Ἀπαλλαξείοντες. Cass. *ἀπαλλαξίοντες.*

Digitized by Google

τὰ πλοῖα ἐμπρήσαντες; ὅπως ἀπόγνοια ᾖ τοῦ ἄλλο τι ἢ κρατεῖν τῆς γῆς, ἀναβάντες ἐς τὸ ὄρος τὴν Ἰσώνην, τεῖχος ἐνοικοδομησάμενοι, ἔφθειρον τοὺς ἐν τῇ πόλει, καὶ τῆς γῆς ἐκράτουν.

(9. Ἀθηναίων πρώτη ἐς Σικελίαν στρατιὰ Λάχητος καὶ Χαροιάδου στρατηγούντων.)

Ολ. πή. ἔτ. β΄ πρὸ Χρ. νηζ΄. Σεπτεμβρ. μην. ἢ Ὀκτωβρ. ἀρχομ.

πς΄. Τοῦ δ' αὐτοῦ θέρους τελευτῶντος Ἀθηναῖοι εἴκοσι ναῦς ἔστειλαν ἐς Σικελίαν, καὶ Λάχητα τὸν Μελανώπου στρατηγὸν αὐτῶν καὶ Χαροιάδην τὸν Εὐφιλήτου. 2. οἱ γὰρ Συρακόσιοι καὶ Λεοντῖνοι ἐς πόλεμον ἀλλήλοις καθέστασαν. ξύμμαχοι δὲ τοῖς μὲν Συρακοσίοις

1. Ὅπως ἀπόγνοια ᾖ —] ὅπως ἀπόγνωσις ᾖ τοῦ ὑποστρέψαι, καὶ ἀποπλεῦσαι, καὶ ἄλλο τι πρᾶξαι πλὴν τοῦ κρατῆσαι τῆς Κερκύρας. — ** Ἀπόγνοια] σημείωσαι ἀπόγνοια. (Λύγ.)

4. Ἐμπρήσαντες. Litera $\overline{\mu}$ in C. s. v., sed ead. man.

„Ὅπως — γῆς. Thom. Mag. et Suid. Ἀπόγνωσις fere apud Dion. Hal. et recentiores." WASS. Zonar. p. 242. Ἀπόγνοια· ἀπόγνωσις. Θουκ. ἐνέπρησαν δὲ τὰ πλοῖα, οὕτως (l. ὅπως) ἀπόγνοια ᾖ.

Ἄλλο τι. Cass. ἄλλό τι. Gr. ἀλλότι. Cf. de Art. crit. p. 150.

Ἰσωνήν. C. Ἰσηνήν. At vid. I. 2. p. 138.

Cap. LXXXVI. Ἀθηναῖοι. Gr. οἱ Ἀθην.

Καὶ Λάχητα. Καί om. I.

Μελανώπου. Vind. Ar. Chr. Ald. Flor. Bas. Μελανόπου. „Μελανώπου, quod habent plerique niss., confirmatur ex Epist. III. Demosthenis, ubi Λάχητα quendam τοῦ Μελανώπου memorat, quem ex huius posteris fuisse probabile videri potest." DUK.

Χαροιάδην. Mosqu. male Χαριοιάδην. Cf. cap. 90.

2. Συρακόσιοι. Vulgo (et Hasck.) Συρακούσιοι hic et ubique. „Cum duplici $\overline{\rho}$ passim in codd. Ar. Chr." HUDS. „In Cass. haec vox toto cap. habet duplex $\overline{\sigma}$. Gr. pro diphthongo $\overline{ου}$ vocalem $\overline{ο}$, praeterquam v. 60. [Συρακουσίοις]" DUK. Gail. semel ex F. Συρακοσίων et §. 3. ex I. Συφάκοσίων affert. Cf. ad IV., 1. Pal. It., sicut Cass., Συρακούσσιοι. „Quam scriptionem semper retinet cod. Pal. excepto l. VIII, cuius finem versus legitur Συρακόσιοι, quod non praeteribo." FROMMEL. m. Συφάκούσιοι, „et sic idem mox et, quod semel monuisse sufficiat, constanter." GOELLER. At vid. id. ad IV, 24. „Quod reposui [Συρακόσιοι], solum habent It. Laur. l. VII. et VIII, nec rarum Aug. Cass. H. Vat. plerumque Συρακόσσιοι vel Συρακούσσιοι. Urbem Συρακούσας vocant antiquissimi codd., nec tamen sibi constant." BEKK. Cf. l. l. p. 213. et de Art. crit. p. 155.

Καθέστασαν. C. καθέστησαν. I. καθίστασαν, et marg. al. man. καθέστησαν.

Digitized by Google

ἦσαν πλὴν Καμαριναίων αἱ ἄλλαι Δωρίδες πόλεις, αἵπερ καὶ πρὸς τὴν τῶν Λακεδαιμονίων τὸ πρῶτον ἀρχομένου τοῦ πολέμου ξυμμαχίαν ἐτάχθησαν, οὐ μέντοι ξυνεπολέμησάν γε· τοῖς δὲ Λεοντίνοις αἱ Χαλκιδικαὶ πόλεις καὶ Καμάρινα. τῆς δὲ Ἰταλίας Λοκροὶ μὲν Συρακοσίοις ἦσαν, Ῥηγῖνοι δὲ, κατὰ τὸ ξυγγενὲς, Λεοντίνων. 3. ἐς οὖν τὰς Ἀθήνας πέμψαντες οἱ τῶν Λεοντίνων ξύμμαχοι, κατά τε παλαιὰν ξυμμαχίαν καὶ ὅτι Ἴωνες ἦσαν, πείθουσι τοὺς Ἀθηναίους πέμψαι σφίσι ναῦς· ὑπὸ γὰρ τῶν Συρακοσίων τῆς τε γῆς εἶργοντο καὶ τῆς θαλάσσης. 4. καὶ ἔπεμψαν οἱ Ἀθηναῖοι, τῆς μὲν οἰκειότητος προφάσει, βουλόμενοι δὲ μήτε σῖτον ἐς τὴν Πελοπόννησον ἄγεσθαι αὐτόθεν, πρόπειράν τε ποιούμενοι εἰ σφίσι δυνατὰ εἴη τὰ ἐν τῇ Σικελίᾳ πράγματα ὑποχείρια γενέσθαι. 5. καταστάντες οὖν ἐς Ῥήγιον τῆς Ἰταλίας, τὸν πόλεμον ἐποιοῦντο μετὰ τῶν ξυμμάχων. καὶ τὸ θέρος ἐτελεύτα.

πς'. 10. *Τῆς τε γῆς εἶργ. κ. τ. θ.*] εἴργοντο οἱ Λεοντῖνοι, ὥστε μήτε κατὰ γῆν μητε κατὰ θάλασσαν ἐμπορεύεσθαι. (λ. Κασσ. Αὐγ.) — 11. *Καὶ ἔπεμψαν οἱ Ἀθηναῖοι*] συμμαχίαν δηλονότι. (λ. Αὐγ.) — ** *Οἰκειότητος*] διὰ τὴν συγγένειαν. (Κασσ.) — 12. ** *Βουλόμενοι δὲ*] κατὰ τὸ ἀληθές. (Κασσ.) — 13. *Αὐτόθεν*] ἥγουν ἀπὸ τῆς Σικελίας. (λ. Αθγ.) — *Πρόπειραν*] δοκιμασίαν. (λ. Αὐγ.) — 14. *Εἰ σφίσι δυνατὰ εἴη* —] εἰ δυνατὸν εἴη γενέσθαι ὑποχειρίους αὐτοῖς τοὺς Σικελιώτας. (λ. Αὐγ.) — 16. *Μετὰ τῶν ξυμμάχων*] τῶν Λεοντίνων καὶ τῶν ἄλλων. (λ. Αθγ.)

Καμαριναίων. Pal. *Καμμαριναίων.* In G. syllaba *μά* s. v. al. man.

Τῶν Λακεδαιμονίων. *Τῶν* om. Chr. Verba *τὸ πρῶτ.* — *πολέμου* Haack. commatibus a reliquis seiunxit.

Ξυνεπολέμησάν γε. C. *ξυνεπολέμησάν τε.*

Καμάρινα Pal. Bekk. Vulgo (et Haack.) hic et ubique *Καμαρίνα.* At vid Boeckh. ad Pind. Olymp. V.

Ῥηγῖνοι. Pal. *Ῥήγινοι*, sed corr. rec. man. It. *Ῥηγινοί.* Vat. *Ῥηγηνοί.*

Κατά. Dan. *μετά.*

3. *Τῆς τε.* *Τέ* om. D. I. Ar. Chr. Dan. (pro quibus Bekk. male Gr. memorat) et s. v. al. man. habet E.

Εἴργοντο. Bekk., ut solet, *εἶργ.* Cf. de Art. crit. p. 153. et Buttm. Gr. max. in Ind. verb. anom.

4. *Βουλόμενοι δέ.* Pro *δέ* Gr. E. *τέ*, neutrum adest in D.

Εἰ in marg. ponit Mosqu.

5. *Καταστάντες οὖν.* C. Chr. *κατασ. δέ.*

Digitized by Google

(Β. Χειμών. πξ. μή.)

(1. Ὁ λοιμὸς τὸ δεύτερον ἐπιπίπτει Ἀθηναίοις.)

Ὀλ. πή. ἔτ. β'. πρὸ Χρ. νπξ'. Ὀκτωβρ. μην. τελευτ. πξ'. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος ἡ νόσος τὸ δεύτερον ἐπέπεσε τοῖς Ἀθηναίοις, ἐκλιποῦσα μὲν οὐδένα χρόνον τὰ πανδήμασιν, ἐγένετο δέ τις ὅμως διακωχή. 2. παρέμεινε δὲ τὸ μὲν ὕστερον οὐκ ἔλασσον ἐνιαυτοῦ, τὸ δὲ πρότερον καὶ δύο ἔτη· ὥστε Ἀθηναίων γε μὴ εἶναι ὅ τι μᾶλλον ἐκάμωσε τὴν δύναμιν. 3. τετρακοσίων γὰρ ὁπλιτῶν καὶ τετρακισχιλίων οὐκ ἐλάσσους ἀπέθανον ἐκ τῶν τάξεων, καὶ τριακοσίων ἱππέων· τοῦ δὲ ἄλλου ὄχλου ἀνεξεύρετος ἀριθμός. 4. ἐγένοντο δὲ καὶ οἱ πολ-

πξ'. 2. *Ἐπιλιποῦσα μὲν οὐδένα χρόνον*] οὐ διαλιποῦσα τὸ παράπαν. (λ. Κασσ. Ἀνγ.) — 3. *Τὸ παντάπασιν*] τὸ σύνολον — *Διακωχή*] διάλειψις, ἀναβολή. [γράφεται καὶ διακοπή. (Βασ.)] — 4. *Παρέμεινε δὲ τὸ μὲν ὕστερον* —] ἦγουν κατὰ τὸ δεύτερον παρέμειναν εἰς ἐνιαυτόν. — 6. *Ὅ τι μᾶλλον ἐκάμωσε τὴν δύναμιν*] ἀντὶ ἔβλαψε τὰ τοῦ μηδὲν εἶναι, ὅπερ [τούτου (λ. Ἀνγ.)] μᾶλλον ἐκάμωσε τὴν πράγματα.
δύναμιν. [ἐν ἄλλῳ δὲ κεῖται, ὥστε Ἀθηναίους τε μὴ εἶναι ὅ τι μᾶλλον τούτου ἐπίεσε καὶ ἐκάμωσε τὴν δύναμιν. (λ. Κασσ. Ἀνγ.)] — 8. *Ἐκ τῶν τάξεων*] ἐκ τῶν συντάξεων, τῶν πολεμικῶν δηλονότι [τῶν λεγομένων ἀλλαγίων. (Βασ.)] (λ. Ἀνγ.)

Gar. LXXXVII. *Χειμῶνος* in marg. al. man. I.

Δέ τις. Τίς om. Reg. (G.)

Διακωχή. „Citat Thom. Mag." WASS. Cf. I. 1. p. 240. sq. Etiam *διακοπή* olim hic lectum esse adnotat. Schol. Bas.

2. *Πρότερον.* I. *πρότερόν γε.* Ar. Chr. *πρῶτόν γε.* Dan. solum *πρῶτον.*

Ἀθηναίων γε Cass. Aug. (qui in marg. vulgatam adnotat,) Cl. C. F. Pal. It Vat. H. Reg. (G.) cod. Bas. Gr. D. I. Ar. Chr. Dan. marg. Steph. Vall. Haack. Bekk. In Mosqu. *Ἀθηναίους γε.* Vulgo *Ἀθηναίους τε,* et *Ἀθηναίους* ideo quidem retinendum suspiceris, ut, quomodo in proximis *ἐπίεσε καί* inseri potuerit, clarius intelligas. Tanto tamen librorum consensui repugnare noluimus.

Μᾶλλον. Sequitur vulgo *τούτου ἐπίεσε καί,* sed *τούτου* om. Cass. Aug. Cl. C. F. Pal. It. Vat. H. Reg. (G.) Gr. D. I. Vind. Ar. Chr. Dan. marg. Steph. Schol. Aug. Haack., uncis inclusit Bekk. Pro eo *τούτους* praebet cod. Bas., marg. Aug. et Ald. Flor. atque ed. Bas., *τούτοις* E. Atque *ἐπίεσε καί,* quae Bened. defendit, om. Cass. Aug. (in quo in marg. adnotatum,) Cl. C. F. Pal. It. Vat. H. Reg. (G.) Cam. Gr. Haack. Bekk. Consentit Valla; *adeo ut nihil magis Athenienſium vires afflixerit.*

3. *Ἀριθμός.* Ar. Chr. Dan. ὁ ἀρ. Cf. Heilm. et Bredov.

4. *Καὶ οἱ πολλοὶ τότε σωφροι*

Digitized by Google

λοὶ τότε σεισμοὶ τῆς γῆς, ἔν τε Ἀθήναις, καὶ ἐν Εὐβοίᾳ, καὶ ἐν Βοιωτοῖς, καὶ μάλιστα ἐν Ὀρχομενῷ τῷ Βοιωτίῳ.

(2. Τῶν ἐν Σικελίᾳ Ἀθηναίων ἐπὶ τὰς Αἰόλου νήσους στρατεία. πή.)

πή. Καὶ οἱ μὲν ἐν Σικελίᾳ Ἀθηναῖοι καὶ Ῥηγῖνοι τοῦ αὐτοῦ χειμῶνος τριάκοντα ναυσὶ στρατεύουσιν ἐπὶ τὰς Αἰόλου νήσους καλουμένας· ἦσαν γὰρ δι' ἀνυδρίαν ἀδύνατα ἦν ἐπιστρατεύειν. 2. νέμονται δὲ Λιπαραῖοι αὐτὰς, Κνιδίων ἄποικοι ὄντες. οἰκοῦσι δ' ἐν μιᾷ τῶν νήσων οὐ μεγάλῃ, καλεῖται δὲ Λιπάρα· τὰς δὲ ἄλλας ἐκ ταύτης ὁρμώμενοι γεωργοῦσι, Διδύμην, καὶ

2. Ἐν Ὀρχομενῷ τῷ Βοιωτίῳ] δύο γὰρ Ὀρχομεναὶ, ὁ μὲν τῆς Ἀρκαδίας, ὃν Ὅμηρος καλεῖ πολύμηλον, ὁ δὲ τῆς Βοιωτίας, ὃν Ὅμηρος καλεῖ Μινύειον.

πή. 6. Δι' ἀνυδρίαν] τῶν νήσων δηλονότι. (λ. Ἀὐγ.) — 7. Ἐπιστρατεύειν] ταῖς νήσοις. (λ. Ἀὐγ.) — 8. ** Κνιδαίων.]

Κνίδαιον ἦ Κνίδη μὲν ἐσαν ἡ πόλις·
Ἐκ δ' αὖ γε Κνίδου Κνιδίους λέγειν κόει.
(Παλ.)

— 9. Λιπάρα] αὕτη τὸ παλαιὸν ἡ Λιπάρα μελιγουνὶς ἐκαλεῖτο, ὥς φησιν ὁ Καλλίμαχος.

Cass. Aug. F. Pal. It. Vat. H. Reg. (G.) Haack. Bekk. In C. Gr. B. D. I. E. Ar. Chr. Dan. Ald. Flor. Bas. Steph. 1. καὶ οἱ πολλοὶ σεισμοὶ τότε. Vulgo τότε καὶ οἱ πολλοὶ σεισμοί. Mosqu. σεισμοὶ πολλοί.

Ἐν Εὐβοίᾳ. Ἐν om. Cass. Aug. Pal. (quanquam de hoc tacet Frommel,) It. H. Reg. (G.) Quod si probare velis, praepositionem ob arctam coniunctionem, quae inter Athenas et Euboeam intercedebat, omissam puta et expunge virgulam post Ἀθήναις. Nobis tamen vulgata placet.

Καὶ ἐν Βοιωτοῖς — Βοιωτίῳ de. Chr. Dan.

Cap. LXXXVIII. Ἀθηναῖοι καὶ om D. I.

Ῥηγῖνοι. It. Ῥηγινοὶ, Vat. Ῥηγηνοί, ut iidem c. 86. Gr. Ῥήγιον. Mox in Αἰόλου B. literam a s. ι collocat ead. man.

Ἀνυδρίαν. Dan. ἀνυδρίας.

Ἀδύνατα ἦν. Ar. οὐκ ἦν, quod si maiorem auctoritatem haberet, non sperneretur.

2. Λιπαραῖοι. Dan. Λιπαρῆοι.

Κνιδίων. Pal. (et Schol. Pal.) male Κνιδαίων. I. τῶν Κνιδίων.

Ὄντες om, I. m. Ar. Chr. Dan., non male, nisi quod ita ἄποικοι proxime οἰκοῦσι collocatur.

Digitized by Google

ξίαν καὶ φιλοτιμίαν· ἐκ δ' αὐτῶν καὶ ἐς τὸ φιλονικεῖν καθίσταντο τὸ πρόθυμον. οἱ γὰρ ἐν ταῖς πόλεσι προστάντες, μετὰ ὀνόματος ἑκάτεροι εὐπρεποῦς, πλήθους τε ἰσονομίας πολιτικῆς καὶ ἀριστοκρατίας σώφρονος προτιμήσει, τὰ μὲν κοινὰ λόγῳ θεραπεύοντες, ἆθλα ἐποιοῦντο, πάντι δὲ τρόπῳ ἀγωνιζόμενοι ἀλλήλων περιγίγνεσθαι, ἐτόλμησάν τε τὰ δεινότατα, ἐπεξῆσάν τε, τὰς τιμωρίας ἔτι μείζους οὐ μέχρι τοῦ δικαίου καὶ τῇ πόλει ξυμφόρου προτιθέντες, ἐς δὲ τὸ ἑκατέροις που ἀεὶ ἡδονὴν ἔχον ὁρίζοντες· καὶ ἢ μετὰ ψήφου ἀδίκου καταγνώσεως, ἢ χειρὶ κτώμενοι τὸ κρατεῖν, ἕτοιμοι ἦσαν τὴν

1. Ἐκ δ' αὐτῶν] ἦγον δι' αὐτά. (λ. Λύγ.) — 2. Οἱ γὰρ ἐν ταῖς πόλεσι προστάντες—] οἱ γὰρ ἐν ταῖς πόλεσι προϊστάμενοι τῆς δημοκρατίας καὶ τῆς ὀλιγαρχίας, μετὰ ὀνόματος ἑκάτεροι εὐπροσώπου καὶ πιθανοῦ, οἱ μὲν λέγοντες προϊστασθαι τῆς δημοκρατίας τῆς ἐλευθέρας, οἱ δὲ τῆς ἀριστοκρατίας λέγοντες ἀντιποιεῖσθαι τῆς σώφρονος, τὰ μὲν δημόσια νικήσαντες εἶχον, καὶ οὐ μέχρι τοῦ δικαίου καὶ τοῦ συμφέροντος τῇ πόλει τὰς τιμωρίας ἐποιοῦντο. ὑπερβιβάσαι δὲ χρὴ τὸ προτιθέντες καὶ συντάξαι πρὸς τῷ ἀνωτέρω τοῦ „τιμωρίας" προτιθέντες. — 8. Ἑκάτεροι] ἑκάτερος ὅταν ὦσι δύο μόνοι· ἑκάτεροι δὲ λέγονται, ὅταν ὦσι πολλοὶ εἰς δύο μεμερισμένοι. (Βασ.) — Εὐπρεποῦς] πιθανοῦ, εὐσχήμονος. (λ. Λύγ.) — Πλήθους τε ἰσονομίας] ἦγον δημοκρατίας. (λ. Λύγ.) — 5. Ἆθλα] ἐκαθλα, ἀντὶ τοῦ ἤρδη. (λ. Λύγ.) — 7. Τὰς τιμωρίας ἔτι μείζους] ἦγον τιμωρούμενοι ἐπιτεταμένας ἐκολουν. (λ. Λύγ.) — 10. ***Ἢ μετὰ ψήφου ἀδίκου — —] ἢ καταψηφιζόμενοι, φησὶν, ἀδίκως ἀλλήλων, ἢ τῇ χειρὶ καὶ τῇ δυνάμει καὶ τοῖς ὅπλοις κρατοῦντες, ἐξεπίμπλασαν τὰς φιλονεικίας, τουτέστιν * ἐνεπίμπλαντο * καὶ ἥδοντο τιμωρούμενοι τοὺς ἐχθρούς. (Κασσ. Λύγ.)

ἀρχή, sed art. om. Cass. Aug. Cl. C. Pal. It. Vat. H. Reg. Gr. m. Ar. Chr. Dan. Bekk. In D. I. δ' ἀρχή, eorumque marg. δὴ ἀρχή.

Φιλονεικεῖν. Mosqu. φιλονικεῖν.

Μετὰ ὀνόματος Cass. C. F. Pal. H. Reg. (Gr.) Gr. D. I. E. Ar. Chr. Ald. Flor. Bas. Vulg. (Haack. Bekk.) μετ' ὀνόμ.

Πολιτικῆς. Ar. Chr. Dan. πολιτικῶν.

Περιγίγνεσθαι. I. περιγενέσθαι. Mox virgulam post ἐπεξῆσάν τε omissam post μείζους fixit Bekk. At vid adnot.

Προτιθέντες. Gr. Schol. Aug. et Dion. Hal. p. 894. προστιθέντες, quod male commendat Krüg. ad Dion. Hal. p. 161. Vid. adnot. ad c. 44. I. τιθέντες, marg. al. man. προστιθ.

Ἀεί Cass. Aug. C. F. (qui duo post ἡδονήν collocant) Reg. Mosqu. Haack. Bekk. Vulgo αἰεί. Cf. I. 1. p. 211.

Ἡδονήν. Pro hoc cod. Bas. τί.

Ἔχον. C. F., nisi fallit Gail., ἔχειν.

Ψήφου. G. φόφου, sed ῆ s. ō al. man.

Digitized by Google

αντίκα φιλονεικίαν ἐκπιμπλάναι. ὥστε εὐσεβείᾳ μὲν οὐδέτεροι ἐνόμιζον, εὐκρεπείᾳ δὲ λόγου οἷς ξυμβαίη ἐπιφθόνως τι διακράξασθαι, ἄμεινον ἤκουον. τὰ δὲ μέσα τῶν πολιτῶν ὑπ' ἀμφοτέρων, ἢ ὅτι οὐ ξυνηγωνίζοντο, ἢ φθόνῳ τοῦ περιεῖναι, διεφθείροντο.

(Τὰ ἐκ τούτων προβάντα.)

πγ'. Οὕτω πᾶσα ἰδία κατέστη κακοτροπία διὰ τὰς στάσεις τῷ Ἑλληνικῷ· καὶ τὸ εὔηθες, οὐ τὸ γενναῖον

1. Ὥστε εὐσεβείᾳ μὲν — —] ὥστε μετ' εὐσεβείας μὲν πρᾶξαί τι οὐδετέροις φροντὶς ἦν οὐδὲ σπουδή· οἷς τισι δὲ συνέβαινεν ἐξαπατήσασι διὰ λόγου τινὸς εὐκρεποῦς πρᾶξαί τι γενναῖον, οὗτοι ἐκηνοῦντο. — 2. ** Ἐνόμιζον] τὰ νόμιμα ἔπραττον. (Βασ.) — Ἐπιφθόνως τι διακράξασθαι] ἀντὶ τοῦ ἐπίφθονον καὶ μέγα. τὰ γὰρ μεγάλα καὶ φθονεῖται. — 3. Ἄμεινον ἤκουον] ἤγουν ἐκηνοῦντο. (λ. Ἀδγ.) — Τὰ δὲ μέσα τῶν πολιτῶν] [ἤγουν οἱ μέσοι πολῖται· ἤγουν οἱ μετὰ τοὺς προστάτας. (λ. Ἀδγ.)] οἱ δὲ μέσοι, φησὶ, τῶν πολιτῶν (τουτέστιν οἱ μηδετέρῳ μέρει προστιθέμενοι, μήτε τῷ τῶν δημοκρατικῶν μήτε τῷ τῶν ὀλιγαρχικῶν, ἀλλ' ἡσυχάζοντες, καὶ μὴ θέλοντες στασιάζειν) ὑπ' ἀμφοτέρων ἐφθείροντο, ἢ ὅτι οὐ συνηγωνίζοντο τοῖς στασιώταις παρακαλοῦσιν, ἢ φθονούμενοι ὑπὸ τῶν στασιαζόντων, ὅτι μόνοι * ἀπαθεῖς * ἦσαν. — 4. ** Τπ' ἀμφοτέρων] τὸ ὑπ' ἀμφοτέρων εἶπεν οὐχ ὅτι εἰς δύο μερισθέντες οἱ ἐν τῇ πόλει ἐμάχοντο ἀλλήλοις ἀμφότεροι, τοὺς δὲ ὄντας μέσους, ἤτοι τοὺς μηδετέροις ἀκολουθεῖν ἐθέλοντας, ἀμφότεροι ἀπέκτεινον· ἀλλ' ἐπειδὴ πάσας τὰς πόλεις εἰς δύο ἐμέρισεν . . . τοὺς προστάτας αὐτῶν, ὡς λέγει μικρὸν ἄνωθεν, διὰ τοῦτο εἶπε καὶ νῦν ὑπ' ἀμφοτέρων, εἰς δύο μερισθέντα [τὰ] τῶν πόλεων βουλόμενος πασῶν ἐνδείξασθαι. (Βασ.)

πγ'. 7. Τὸ εὔηθες] ** τὴν χρηστότητα λέγει ἐνταῦθα εὔηθες. (Βασ.) — Τὸ εὔηθες] τὸ ἁπλοῦν, τὸ ἀπόνηρον· σημείωσαι [ὅτι]

Ἐκπιμπλάναι Cass. Aug. F. Pal. It. Vat. Gr. D. Ald. Flor. Bas. Steph. 1. Dion. Hal. p. 894. Bekk. In E. ἐκπιπλάναι. Vulg. (et Haack.) ἐμπιμπλάναι, quod saltem ἐμπιπλάναι esse debebat, sicut Dan. et cum emendat. ead. man supersor. Reg. (G.)

Εὐσεβείᾳ. D. εὐσέβειαν, quod temere mavult Krüg. l. l. p. 161., qui Vallam, *neutri deorum religionem ullius momenti faciebant* interpretatum, eodem modo legisse coniicit. Vid. adnot. ad II, 38.

Λόγου. Cl. λόγων. Comma post hoc vocab. a Bredov. monitus primus sustulit Haack.

Τπ'. Reg. (G.) ἐπ', et a correct. int. vers. ὑπ'.

Cap. LXXXIII. Κακοτροπίας. F. D. κακοπραγίας. C. κακοπραγίαν.

„Καὶ τὸ εὔηθες — μετέχει. [Thom.] Magister: κατ' εὐφημισμόν." WASS. Εὐήθης, ὁ ἀγαθός· Θουκυδ. τρίτῳ. Bekk. Anecdd. p. 91. Cf. not. Ante haec verba autem vulgo pun-

Digitized by Google

πλεῖστον μετέχει, καταγελασθὲν ἠφανίσθη· τὸ δὲ ἀντιτετάχθαι ἀλλήλοις τῇ γνώμῃ ἀπίστως, ἐπιπολὺ διήνεγκεν. 2. οὐ γὰρ ἦν ὁ διαλύσων, οὔτε λόγος ἐχυρὸς, οὔτε ὅρκος φοβερός· κρείσσους δὲ ὄντες ἅπαντες λογισμῷ ἐς τὸ ἀνέλπιστον τοῦ βεβαίου, μὴ παθεῖν μᾶλλον προεσκόπουν, ἢ πιστεῦσαι ἐδύναντο. 3. καὶ οἱ φαυλότεροι γνώμην ὡς τὰ πλεῖω περιεγίγνοντο· τῷ γὰρ δεδιέναι τό τε αὑτῶν ἐνδὲς καὶ τὸ τῶν ἐναντίων ξυνετὸν, μὴ λόγοις τε ἧσσους ὦσι, καὶ ἐκ τοῦ πολυτρόπου αὐτῶν τῆς γνώμης φθάσωσι προεπιβουλεύομενοι, τολμηρῶς πρὸς τὰ

τὸ εὔηθες ἐπὶ κακοῦ. §. καὶ οἱ ἁπλοῖ τῶν ἀνθρώπων καὶ ἀκύνηροι (οὗτοι δὲ εἰσὶν οἱ μεγαλοψυχίας μάλιστα καὶ εὐγενείας μετέχοντες) καταγελώμενοι ὑπὸ τῶν στασιαζόντων ἀπώλλυντο· οἱ δὲ ἀπιστοῦντες ἀλλήλοις, καὶ παρατεταγμένοι δεινῶς κατ' ἀλλήλων, ὡς ἐπιπολὺ πλεῖστον οὗτοι διεσώζοντο διὰ τῆς ἀπιστίας καὶ τῆς παρασκευῆς. — 1. Τὸ δὲ ἀντιτετάχθαι ἀλλήλοις τ. γν. ἀ.] τὸ ἀπιστεῖν ἀλλήλοις, (λ. Ἀὐγ.) τὸ ἐντεῦθεν ἀντιτάσσεσθαι. (λ. Κασσ. Λύγ.) — 2. Ἐπιπολὺ διήνεγκε] κρεῖττον ἐγένετο. (λ. Λύγ.) — 3. Ὁ διαλύσων] ὁ φιλιώσων. (λ. Λύγ.) — Ὅρκος φοβερός] θεῖος. (λ. Λύγ.) — 4. Κρείσσους δ' ὄντες — —] ῥέποντες δὲ οἱ ἄνθρωποι τοῖς λογισμοῖς πρὸς τὸ μὴ ἐλπίζειν τινὰ πίστιν καὶ βεβαιότητα, προενοοῦντο μᾶλλον, ἵνα μὴ πάθωσιν αὐτοὶ κακῶς. πιστεῦσαι δὲ οὐκ ἐδύναντο· καὶ οἱ ἀσυνετώτεροι ὡς ἐπιπλεῖστον ἦτοι ἐσώζοντο ἢ ἐνίκων. — 6. Οἱ φαυλότεροι γνώμην] οἱ ἀσθενεῖς. (λ. Λύγ.) — 7. Ὡς τὰ πλείω] ὡς ἐπιπλεῖστον. (λ. Λύγ.) — Τῷ γὰρ δεδιέναι — —] φοβούμενοι γὰρ, φησὶν, οἱ ἀνοητότεροι, μὴ διὰ συνέσεως πλείονος οἱ ἀντίπαλοι περιγένωνται αὐτῶν, καὶ ἐκ τοῦ πολυτρόπου τῆς γνώμης αὐτῶν νικηθέντες διαφθαρῶσι, τολμηρότερον πρὸς τὰ ἔργα ἐχώρουν, τόλμῃ μᾶλλον πεποιθότες ἢ φρονήσει καὶ μεθόδῳ διανοίας. — Τό τε αὐτῶν ἐνδεὲς] τὴν ἔλλειψιν τῆς γνώσεως. (λ. Λύγ.) — 9. Λὐτῶν] τῶν φρονίμων. (λ. Λύγ.)

ctum legitur, apud Bekk. comma.

Καταγελασθέν. H. *καταγελάστως.*

Ἀντιτετάχθαι. Cass. Aug. G. *ἀντετάχθαι*, sed G. cum *τι* s. *αν.*

2. *Διαλύσων.* D. *διαλύττων*, σ s. ττ al. man.

Ἐχυρός. F. cod. Bas. D. I. *ἰσχυρός.* At vid. adnot. ad VIII, 9. et I, 5. Mox post *φοβερός* pro vulg. puncto Haack. colon. posuit, Bekk. comma.

Λογισμῷ. Gr. *λογισμοί.* Cod. Bas. ex emend. *λογισμοῦ.*

Ἐδύναντο. Litera *ν* in E. ab al. man.

3. *Καὶ οἱ φαυλότεροι.* Ante haec comma posuit Bekk.

Ὡς τὰ πλείω. Mosqu. *ὡς τὰ πολλά.* Cod. Bas. *ἐς τὰ πλείω.*

Αὐτῶν. Αὐτῶν (ante *ἐνδεές*) ex Ae. Port. coniectura male reposuerunt Bauer et Bekk. *Αὐτῶν* significat *σφῶν αὐτῶν*, *proprium.*

Digitized by Google

ἔργα ἐχώρουν. 4. οἱ δὲ καταφρονοῦντες κἂν προαισθέσθαι, καὶ ἔργῳ οὐδὲν σφᾶς δεῖν λαμβάνειν ἃ γνώμῃ ἔξεστιν, ἄφρακτοι μᾶλλον διεφθείροντο.

(Ἐν τῇ Κερκύρᾳ ἀρχὴ τῶν τοιούτων.)

πδ΄. [Ἐν δ' οὖν τῇ Κερκύρᾳ τὰ πολλὰ αὐτῶν προς-
5 τολμήθη, καὶ ὁπόσα ὕβρει μὲν ἀρχόμενοι τὸ πλέον ἢ
220. σωφροσύνῃ ὑπὸ τῶν τὴν τιμωρίαν παρασχόντων οἱ ἀν-
ταμυνόμενοι δράσειαν, πενίας δὲ τῆς εἰωθυίας ἁπαλλα-

1. ** Οἱ δὲ καταφρονοῦντες — —] οἱ δὲ δοκοῦντες εἶναι συνετοὶ καὶ πάνυ θαῤῥοῦντες τῇ φρονήσει περιγενέσθαι, καὶ οὐδὲν δεῖσθαι νομίζοντες δυνάμει τι πρᾶξαι ἃ ἔξεστιν αὐτοῖς τέχνῃ κατορθοῦν, ἀπαράσκευοι διεφθείροντο. (Ἀνγ.) — Οἱ δὲ καταφρονοῦντες — —] οἱ δὲ δοκοῦντες εἶναι συνετοὶ, καὶ νομίζοντες ἐπιβουλευόμενοι πάντως ἂν διὰ τὴν σύνεσιν προαισθέσθαι, καὶ οὐδὲν νομίζοντες ἔργων δεῖν, ἄφρακτοι διεφθείροντο. — 3. Ἄφρακτοι] λείπει τὸ ὄντες. (λ. Ἀνγ.)

πδ΄. 4. Ἐν δ' οὖν — —] τὰ ὠβελισμένα οὐδενὶ τῶν ἐξηγητῶν ἔδοξε Θουκυδίδου εἶναι. (Κασσ. Ἀνγ.) ἀσαφῆ γὰρ καὶ τῷ τύπῳ τῆς ἑρμηνείας καὶ τοῖς διανοήμασι πολὺν ἐμφαίνοντα τὸν νεωτερισμόν. (Ἀνγ.) — 7. ** Ἀπαλλαξείοντες] ἐπιθυμοῦντές τινες ἀπαλλάξαι ἑαυτοὺς τῆς εἰωθυίας πενίας, τὰ τῶν ἄλλων ἥρπαζον. (Βασ.)

4. Προαισθέσθαι. G. προαισθωντ, s. v. al. man. ἐσθαι. In quo προαισθωντ Gail. προαίσθωνται latere putat, quod frustra illustrare conatur.

Ἔργῳ. Post hoc nomen H. inserit λογιζόμενοι, ex interpr. Cf. de Art. crit. ap. Thuc. p. 89., ubi pro IV, 83. leg. III, 83. Cod. Bas. ex emend. ἔργων habet.

Δεῖν. Gr. δεῖ, et statim λαμβάνει. Mosqu. δεῖν om., m. ante σφᾶς collocat. Mox post ἄφρακτοι Gottleb. incisum posuit, quod Bekk. rursus om.

Cap. LXXXIV. Totum hoc caput uncis inclusit Bekk., secutus cod. Aug., in quo ab initio huius capitis usque ad finem ad quemque versum posita sunt signa ✦ et in marg. adscriptum est Scholion, quod supra vides. Etiam Cass. Scholion habet, sed non apparet, quo pertineat, quum signa desint. Caeterum vid. de Art. crit. c. 12., sed altera ex parte Goell. ad h. l., qui gravibus argumentis hoc caput impugnavit, quae in adnot. perpendemus.

Προετολμήθη. Cod. Bas. παρετολμ.

Ὁπόσα. Post hoc vocab. in ed. Lips. inepte virgula conspicitur. Ita saltem post παρασχόντων quoque interpungendum.

Τῶν τήν. Τήν om. Gr. D, et s. v. ab al. man. habet E. Mox δράσειαν ἄν coniicias. Sed vid. adnot. Post δράσ, autem et γιγνώσκ. cum Bekk. virgulas pro punctis dimidiis posuimus, quum omnes tres optativi ad ὁπόσα referantur.

Ἀπαλλαξείοντες. Cass. ἀπαλλαξίοντες.

Digitized by Google

ξείοντές τινες, μάλιστα δ' ἂν διὰ πάθους ἐπιθυμοῦντες τὰ τῶν πέλας ἔχειν, παρὰ δίκην γιγνώσκοιεν, οἵ τε μὴ ἐπὶ πλεονεξίᾳ, ἀπὸ [τοῦ] ἴσου δὲ μάλιστα ἐπιόντες, ἀπαιδευσίᾳ ὀργῆς πλεῖστον ἐκφερόμενοι, ὠμῶς καὶ ἀπαραιτήτως ἐπέλθοιεν. 2. ξυνταραχθέντος τε τοῦ βίου ἐς τὸν παρὸν τοῦτον τῇ πόλει, * καὶ * τῶν νόμων κρατήσασα ἡ ἀνθρωπεία φύσις, εἰωθυῖα καὶ παρὰ τοὺς νόμους ἀδικεῖν, ἀσμένη ἐδήλωσεν ἀκρατὴς μὲν ὀργῆς οὖσα, κρείσσων δὲ τοῦ δικαίου, πολεμία δὲ τοῦ προὔχοντος· οὐ γὰρ ἂν τοῦ τε ὁσίου τὸ τιμωρεῖσθαι προὐτίθεσαν, τοῦ τε μὴ ἀδικεῖν τὸ κερδαίνειν, *ἐν ᾧ* μὴ βλάπτουσαν ἰσχὺν εἶχε τὸ φθονεῖν. 3. ἀξιοῦσί τε τοὺς κοινοὺς περὶ τῶν τοιούτων οἱ ἄνθρωποι νόμους, ἐφ' ᾧν ἅπασιν ἐλπὶς ὑπόκειται σφαλεῖσι κἂν αὐτοὺς διασώζεσθαι, ἐν ἄλλων

8. Ἀσμένη] μεθ' ἡδονῆς. (λ. Ἀνγ.) — 10. Προὐτίθεσαν] τιμιώτερόν ἑκρινον. (λ. Ἀνγ.) — Τοῦ τε μὴ ἀδικεῖν] ἦγουν τοῦ δικαίου. (λ. Ἀνγ.)

Τινές. Cass. Aug. Pal. It. Vat. Reg. cod. Bas. Gr. B. E. Ar. Chr. Dan. Ald. Flor. ed. Bas. τινάς, in Cass. tamen Aug. et Bas. rec. man. s, nec recte script. νες.

Μάλιστα δ' ἄν. Vat. Mosqu. μάλιστ' ἄν. C. verba δ' ἂν — μάλιστα ob repetitum μάλ. omi., sed marg. suppl. ead. man., ubi legitur γιγνώσκειεν, cum οἶ s. εἶ.

Δίκην. Dan. δίκης.

Ἀπὸ [τοῦ] ἴσου. Τοῦ inecrunt Cass. D. Ar. Chr. Dan. et s. v. al. man. E. Sic ἀπὸ τοῦ ἴσου legitur I, 77. 99. 136. 140. 143. III, 11. 42. et sexcenties. Vid. Ind. verb. Et sic ἀπὸ τοῦ πρόσθεν τοῦς (vid. in script. discr. ad III, 82, 7.), ἀπὸ τοῦ ἀδοκήτου VI. 47., ἀπὸ τῶν εἰκότων VI, 23. Quanquam ἐξ ἴσου non minus bene dicitur quam ἐκ τοῦ ἴσου. Vid. Ind. in ἴσος.

2. Ξυνταραχθέντος τε. Τέ de. Ar. Chr. Dan.

Καὶ τῶν. Καί desse malis. Cf. adnot.

Εἰωθυῖα. D. εἴωθε. I. εἴωθεν.

Ἀσμένη. I. s. v. al. man. praefigit καί. Non ante ἀσμ., sed post id virgulam poni iubet Reisk. Cod. Bas. ἀσμένως praebet.

Ὀργῆς οὖσα. G. οὖσα ὀργῆς.

Τοῦ προὔχοντος. In I. additum signum, quod ad marg. delegat, ubi καί ead. man. script.

Τὸ τιμωρεῖσθαι. Τό de. Dan., sed relictum pro eo spatium vacuum.

Ἐν ᾧ. In his, de quibus vid. Heilm., cui nos I. 1. p. 246. locum VI, 55. fin. suppeditavimus, iure haereas. Vid. adnot.

Ἰσχύν. G. ἴσχειν, sed ῡ s. εἶ al. man.

3. Κἂν. E. καί, s. v. al. man. γρ. κἄν.

Διασώζεσθαι. Pal. διασῴζ. Cf. de Art. crit. p. 150.

Ἄλλων. Mosqu. Dan. ἄλλῳ.

Digitized by Google

τιμωρίαις προκαταλύειν, καὶ μὴ ὑπολείκεσθαι, εἴ ποτε ἄρα τις κινδυνεύσας τινὸς δεήσεται αὐτῶν.]

(κ'. Οἱ φεύγοντες τῶν Κερκυραίων ληστεύουσι τὴν γῆν καὶ Ἰστώνην καταλαμβάνουσιν.)

πέ. Οἱ μὲν οὖν κατὰ τὴν πόλιν Κερκυραῖοι τοιαύταις ὀργαῖς ταῖς πρώταις ἐς ἀλλήλους ἐχρήσαντο· καὶ ὁ Εὐρυμέδων καὶ οἱ Ἀθηναῖοι ἀπέπλευσαν ταῖς ναυσίν. 2. ὕστερον δὲ οἱ φεύγοντες τῶν Κερκυραίων, (διεσώθησαν γὰρ αὐτῶν ἐς πεντακοσίους,) τείχη τε λαβόντες ἃ ἦν ἐν τῇ ἠπείρῳ, ἐκράτουν τῆς πέραν οἰκείας γῆς, καὶ ἐξ αὐτῆς ὁρμώμενοι, ἀλήζοντες ἐν τῇ νήσῳ, καὶ πολλὰ ἔβλαπτον· καὶ λιμὸς ἰσχυρὸς ἐγένετο ἐν τῇ πόλει. 3. ἐπρεσβεύοντο δὲ καὶ ἐς τὴν Λακεδαίμονα καὶ Κόρινθον περὶ καθόδου· καὶ ὡς οὐδὲν αὐτοῖς ἐπράσσετο, ὕστερον χρόνῳ πλοῖα καὶ ἐπικούρους παρασκευασάμενοι, διέβησαν ἐς τὴν νῆσον ἑξακόσιοι μάλιστα οἱ πάντες. 4. καὶ

πέ. 4. Ἐς ἀλλήλους] ἤγουν κατ' ἀλλήλων. (λ. Ἀνγ.) — 8. ** Τῆς πέραν οἰκείας γῆς] μὴ μόνον τῆς νήσου ἐγκρατεῖς ὄντες οἱ Κερκυραῖοι, ἀλλὰ καὶ τῆς ἠπείρου. μερισθέντες οὖν οἱ νησιῶται πρὸς τοὺς ἠπειρώτας ἐπεφέροντο, ἐκ τῆς στάσεως εἰς τοῦτο καθεστάμενοι. (Βασ.) — 10. ** Λιμὸς ἰσχυρός] σημείωσαι ὁ λιμός. (Ἀνγ.) — 14. Ἐς τὴν νῆσον] τὴν Κέρκυραν.

Προκαταλύειν. Mosqu. προκαταλύσειν.

Εἴ ποτε. Vind. ἐσίκατε.

Ἄρα. Pal. ὥρα.

Cap. LXXXV. *Τὴν πόλιν. Τήν* in Cass. man. vet. int. vers. script., Reg. (G.) om. Nec prorsus necessarium esse ex adnot. ad I, 10. apparebit, quamquam κατὰ πόλιν plerumque aliam vim habent.

Ἐς ἀλλήλους. Mosqu. πρὸς ἀλλ. Sed ὀργὴ ἐς solet dicere Thucyd. Vid. Ind. verb. Statim post ἐχρήσαντο. vulgo punctum collocatur, apud Bekk. comma. Sic rursus §. 3. fin. post πάντες.

2. *Φεύγοντες.* Ar. φυγόντες. At vid. Ind. verb. in φεύγειν.

Τῶν Κερκυραίων. Τῶν om. Chr.

Διεσώθησαν. Pal. rursus cum ī subscr. ut 84, 3.

Γῆς om. Vind.

Ἐλήζοντες Cass. Cl. Pal. H. Reg. (G.), idemque in m. supra script. Vulg. (Hasck. Bekk.) ἐληίζοντο. Vid. adnot. Mosqu. ἐλεΐζοντο.

Καὶ πολλὰ — πόλει in Mosqu. ab al. man. adscripta videntur.

3. *Ἐπρεσβεύοντο.* Reg. (G.) ἐπρεσβεύετο, et supra rec. man. οντο.

Κόρινθον. Mosqu. ἐς τὴν Κόρ.

Digitized by Google

τὰ πλοῖα ἐμπρήσαντες; ὅπως ἀπόγνοια ᾖ τοῦ ἄλλο τι ἢ κρατεῖν τῆς γῆς, ἀναβάντες ἐς τὸ ὄρος τὴν Ἰσώνην, τεῖχος ἐγοικοδομησάμενοι, ἔφθειρον τοὺς ἐν τῇ πόλει, καὶ τῆς γῆς ἐκράτουν.

(9. Ἀθηναίων πρώτη ἐς Σικελίαν στρατιὰ Λάχητος καὶ Χαροιάδου στρατηγούντων.)

Ολ. πή. ἔτ. β. πρὸ Χρ. νηζ'. Σεπτεμβρ. μην. ἢ Οκτωβρ. ἀρχομ.

πδ'. Τοῦ δ' αὐτοῦ θέρους τελευτῶντος Ἀθηναῖοι εἴκοσι ναῦς ἔστειλαν ἐς Σικελίαν, καὶ Λάχητα τὸν Μελανώπου στρατηγὸν αὐτῶν καὶ Χαροιάδην τὸν Εὐφιλήτου. 2. οἱ γὰρ Συρακόσιοι καὶ Λεοντῖνοι ἐς πόλεμον ἀλλήλοις καθέστασαν. ξύμμαχοι δὲ τοῖς μὲν Συρακοσίοις 5 221

1. Ὅπως ἀπόγνοια ἢ —] ὅπως ἀπόγνωσις ἢ ταῦ ὑποστρέψαι, καὶ ἀποπλεῦσαι, καὶ ἄλλο τι πρᾶξαι πλὴν τοῦ κρατῆσαι τῆς Κερκύρας. — ** Ἀπόγνοια] σημείωσαι ἀπόγνοια. (Λύγ.)

4. Ἐμπρήσαντες. Litera $\overline{\mu}$ in C. s. v., sed ead. man.

„Ὅπως — γῆς. Thom. Mag. et Suid. Ἀπόγνωσις fero apud Dion. Hal. et recentiores.“ WASS. Zonar. p. 242. Ἀπόγνοια· ἀπόγνωσις. Θουκ. ἐνέπρησαν δὲ τὰ πλοῖα, οὕτως (l. ὅπως) ἀπόγνοια ᾖ.

Ἄλλο τι. Cass. ἄλλό τι. Gr. ἀλλότι. Cf. de Art. crit. p. 150.

Ἰστώνην. C. Ἰστήνην. At vid. I. 2. p. 138.

Cap. LXXXVI. Ἀθηναῖοι. Gr. οἱ Ἀθην.

Καὶ Λάχητα. Καί om. I.

Μελανώπου. Vind. Ar. Chr. Ald. Flor. Bas. Μελανόπου. „Μελανώπου, quod habent plerique mss., confirmatur ex Epist. III. Demosthenis, ubi Λάχητα quendam τοῦ Μελανόπου memorat, quem ex huius posteris fuisse probabile videri potest.“ DUK.

Χαροιάδην. Mosqu. male Χαριοιάδην. Cf. cap. 90.

2. Συρακόσιοι. Vulgo (et Hasck.) Συρακούσιοι hic et ubique. „Cum duplici $\overline{\rho}$ passim in codd. Ar. Chr.“ HUDS. „In Cass. haec vox toto cap. habet duplex $\overline{\sigma}$. Gr. pro diphthongo $\overline{ου}$ vocalem $\overline{ο}$, praeterquam v. 60. [Συρακουσίοις]“ DUK. Gail. semel ex F. Συρακοσίων et §. 3. ex I. Συρρακοσίων affert. Cf. ad IV., 1. Pal. It., sicut Cass., Συρακούσιοι. „Quam scriptionem semper retinet cod. Pal. excepto l. VIII, cuius finem versus legitur Συρακόσιοι, quod non praeteribo.“ FROMMEL. m. Συρρακούσιοι, „et sic idem mox et, quod semel monuisse sufficiat, constanter.“ GOELLER. At vid. id. ad IV, 24. „Quod reposui [Συρακόσιοι], solum habent It. Laur. I. VII. et VIII, nec rarum Aug. Cass. H. Vat. plerumque Συρακόσσιοι vel Συρακούσσιοι. Urbem Συρακούσας vocant antiquissimi codd., nec tamen sibi constant.“ BEKK. Cf. l. 1. p. 213. et de Art. crit. p. 155.

Καθέσταεαν. C. καθέστησαν. I. καθίσταεαν, et marg. al. man. καθέστησαν.

Digitized by Google

ἦσαν πλὴν Καμαριναίων αἱ ἄλλαι Δωρίδες πόλεις, αἵπερ καὶ πρὸς τὴν τῶν Λακεδαιμονίων τὸ πρῶτον ἀρχομένου τοῦ πολέμου ξυμμαχίαν ἐτάχθησαν, οὐ μέντοι ξυνεπολέμησάν γε· τοῖς δὲ Λεοντίνοις αἱ Χαλκιδικαὶ πόλεις καὶ Καμάρινα. τῆς δὲ Ἰταλίας Λοκροὶ μὲν Συρακοσίων ἦσαν, Ῥηγῖνοι δὲ, κατὰ τὸ ξυγγενὲς, Λεοντίνων. 3. ἐς οὖν τὰς Ἀθήνας πέμψαντες οἱ τῶν Λεοντίνων ξύμμαχοι, κατά τε παλαιὰν ξυμμαχίαν καὶ ὅτι Ἴωνες ἦσαν, πείθουσι τοὺς Ἀθηναίους πέμψαι σφίσι ναῦς· ὑπὸ γὰρ τῶν Συρακοσίων τῆς τε γῆς εἶργοντο καὶ τῆς θαλάσσης. 4. καὶ ἔπεμψαν οἱ Ἀθηναῖοι, τῆς μὲν οἰκειότητος προφάσει, βουλόμενοι δὲ μήτε σῖτον ἐς τὴν Πελοπόννησον ἄγεσθαι αὐτόθεν, πρόπειράν τε ποιούμενοι εἰ σφίσι δυνατὰ εἴη τὰ ἐν τῇ Σικελίᾳ πράγματα ὑποχείρια γενέσθαι. 5. καταστάντες οὖν ἐς Ῥήγιον τῆς Ἰταλίας, τὸν πόλεμον ἐποιοῦντο μετὰ τῶν ξυμμάχων. καὶ τὸ θέρος ἐτελεύτα.

πς'. 10. *Τῆς τε γῆς εἶργ. κ. τ. θ.*] εἴργοντο οἱ Λεοντῖνοι, ὥστε μήτε κατὰ γῆν μητε κατὰ θάλασσαν ἐμπορεύεσθαι. (λ. Κασσ. Αὐγ.) — 11. *Καὶ ἔπεμψαν οἱ Ἀθηναῖοι*] συμμαχίαν δηλονότι. (λ. Αὐγ.) — ** *Οἰκειότητος*] διὰ τὴν συγγένειαν. (Κασσ.) — 12. ** *Βουλόμενοι δέ*] κατὰ τὸ ἀληθές. (Κασσ.) — 13. *Αὐτόθεν*] ἤγουν ἀπὸ τῆς Σικελίας. (λ. Ἀβρ.) — *Πρόπειραν*] δοκιμασίαν. (λ. Αὐγ.) — 14. *Εἰ σφίσι δυνατὰ εἴη —*] εἰ δυνατὸν εἴη γενέσθαι ὑποχειρίους αὐτοῖς τοὺς Σικελιώτας. (λ. Αὐγ.) — 16. *Μετὰ τῶν ξυμμάχων*] τῶν Λεοντίνων καὶ τῶν ἄλλων. (λ. Αὐγ.)

Καμαριναίων. Pal. *Καμμαριναίων.* In G. syllaba *μά* s. v. al. man.

Τῶν Λακεδαιμονίων. *Τῶν* om. Chr. Verba *τὸ πρῶτ. — πολέμου* Haack. commatibus a reliquis seiunxit.

Ξυνεπολέμησάν γε. C. *ξυνεπολέμησάν τε.*

Καμάρινα Pal. Bekk. Vulgo (et Haack.) hic et ubique *Καμαρίνα.* At vid Boeckh. ad Pind. Olymp. V.

Ῥηγῖνοι. Pal. *Ῥήγινοι*, sed corr. rec. man. It. *Ῥηγινοί.* Vat. *Ῥηγηνοί.*

Κατά. Dan. *μετά.*

3. *Τῆς τε.* *Τε* om. D. I. Ar. Chr. Dan. (pro quibus Bekk. male Gr. memorat) et s. v. al. man. habet E.

Εἴργοντο. Bekk., ut solet, εἶργ. Cf. de Art. crit. p. 152. et Buttm. Gr. max. in Ind. verb. anom.

4. *Βουλόμενοι δέ.* Pro *δέ* Gr. E. *τέ*, neutrum adest in D.

Εἰ in marg. ponit Mosqu.

5. *Καταστάντες οὖν.* C. Chr. *κατασ. δέ.*

Digitized by Google

(Β. Χειμών. πζ'. πη'.)

(1. Ὁ λοιμὸς τὸ δεύτερον ἐπιπίπτει Ἀθηναίοις.)

Ὀλ. πή. ἔτ. β'. πρὸ Χρ. υκζ'. Ὀκτωβρ. μην. τελευτ.

πζ'. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος ἡ νόσος τὸ δεύτερον ἐπέπεσε τοῖς Ἀθηναίοις, ἐκλιποῦσα μὲν οὐδένα χρόνον τὸ παντάπασιν, ἐγένετο δέ τις ὅμως διακωχή. 2. παρέμεινε δὲ τὸ μὲν ὕστερον οὐκ ἔλασσον ἐνιαυτοῦ, τὸ δὲ πρότερον καὶ δύο ἔτη· ὥστε Ἀθηναίων γε μὴ εἶναι ὅ τι μᾶλλον ἐκάκωσε τὴν δύναμιν. 3. τετρακοσίων γὰρ ὁπλιτῶν καὶ τετρακισχιλίων οὐκ ἐλάσσους ἀπέθανον ἐκ τῶν τάξεων, καὶ τριακοσίων ἱππέων· τοῦ δὲ ἄλλου ὄχλου ἀνεξεύρετος ἀριθμός. 4. ἐγένοντο δὲ καὶ οἱ πολ-

πζ'. 2. Ἐκλιποῦσα μὲν οὐδένα χρόνον] οὐ διαλιποῦσα τὸ παράπαν. (λ. Κασσ. Αὐγ.) — 3. Τὸ παντάπασιν] τὸ σύνολον — Διακωχή] διάλειψις, ἀναβολή. [γράφεται καὶ διακοπή. (Βασ.)] — 4. Παρέμεινε δὲ τὸ μὲν ὕστερον —] ἤγουν κατὰ τὸ δεύτερον παρέμεινεν εἰς ἐνιαυτόν. — 6. Ὅ τι μᾶλλον ἐκάκωσε τὴν δύναμιν] ἀντὶ ἔβλαψε τὰ τοῦ μηδὲν εἶναι, ὅπερ [τούτου (λ. Αὐγ.)] μᾶλλον ἐκάκωσε τὴν πράγματα.
δύναμιν. [ἐν ἄλλῳ δὲ κεῖται, ὥστε Ἀθηναίους τε μὴ εἶναι ὅ τι μᾶλλον τούτου ἐπίεσε καὶ ἐκάκωσε τὴν δύναμιν. (λ. Κασσ. Αὐγ.)] — 8. Ἐκ τῶν τάξεων] ἐκ τῶν συντάξεων, τῶν πολεμικῶν δηλονότι [τῶν λεγομένων ἀλλαγίων. (Βασ.)] (λ. Αὐγ.)

Cap. LXXXVII. Χειμῶνος in marg. al. man. I.

Δέ τις. Τίς om. Reg. (G.)

Διακωχή. „Citat Thom. Mag." WASS. Cf. I. 1. p. 240. sq. Etiam διακοπή olim hic lectum esse adnotat. Schol. Bas.

2. Πρότερον. I. πρότερόν γε. Ar. Chr. πρῶτόν γε. Dan. solum πρῶτον.

Ἀθηναίων γε Cass. Aug. (qui in marg. vulgatam adnotat,) Cl. C. F. Pal. It Vat. H. Reg. (G.) cod. Bas. Gr. D. I. Ar. Chr. Dan. marg. Steph. Vall. Haack. Bekk. In Mosqu. Ἀθηναίους γε. Vulgo Ἀθηναίους τε, et Ἀθηναίους ideo quidem retinendum suspiceris, ut, quomodo in proximis ἐπίεσε καί inseri potuerit, clarius intelligas. Tanto tamen librorum consensui repugnare noluimus.

Μᾶλλον. Sequitur vulgo τούτου ἐπίεσε καί, sed τούτου om. Cass. Aug. Cl. C. F. Pal. It. Vat. H. Reg. (G.) Gr. D. I. Vind. Ar. Chr. Dan. marg. Steph. Schol. Aug. Haack., uncis inclusit Bekk. Pro eo τούτους praebet cod. Bas., marg. Aug. et Ald. Flor. atque ed. Bas., τούτοις E. Atque ἐπίεσε καί, quae Bened. defendit, om. Cass. Aug. (in quo in marg. adnotatum,) Cl. C. F. Pal. It. Vat. H. Reg. (G.) Cam. Gr. Haack. Bekk. Consentit Valla; *adeo ut nihil magis Atheniensium vires afflixerit.*

3. Ἀριθμός. Ar. Chr. Dan. ὁ ἀρ. Cf. Heilm. et Bredov.

4. Καὶ οἱ πολλοὶ τότε σεισμοί

Digitized by Google

λοὶ τότε σεισμοὶ τῆς γῆς, ἔν τε Ἀθήναις, καὶ * ἐν * Εὐβοίᾳ, καὶ ἐν Βοιωτοῖς, καὶ μάλιστα ἐν Ὀρχομενῷ τῷ Βοιωτίῳ.

(2. Τῶν ἐν Σικελίᾳ Ἀθηναίων ἐπὶ τὰς Αἰόλου νήσους στρατεία. κη'.)

κη'. Καὶ οἱ μὲν ἐν Σικελίᾳ Ἀθηναῖοι καὶ Ῥηγῖνοι τοῦ αὐτοῦ χειμῶνος τριάκοντα ναυσὶ στρατεύουσιν ἐπὶ τὰς Αἰόλου νήσους καλουμένας· θέρους γὰρ δι' ἀνυδρίαν ἀδύνατα ἦν ἐπιστρατεύειν. 2. νέμονται δὲ Λιπαραῖοι αὐτὰς, Κνιδίων ἄποικοι ὄντες. οἰκοῦσι δ' ἐν μιᾷ τῶν νήσων οὐ μεγάλῃ, καλεῖται δὲ Λιπάρα· τὰς δὲ ἄλλας ἐκ ταύτης ὁρμώμενοι γεωργοῦσι, Διδύμην, καὶ

2. Ἐν Ὀρχομενῷ τῷ Βοιωτίῳ] δύο γὰρ Ὀρχομεναὶ, ὁ μὲν τῆς Ἀρκαδίας, ὃν Ὅμηρος καλεῖ πολύμηλον, ὁ δὲ τῆς Βοιωτίας, ὃν Ὅμηρος καλεῖ Μινύειον.

κη'. 6. Δι' ἀνυδρίαν] τῶν νήσων δηλονότι. (λ. Ἀὐγ.) — 7. Ἐπιστρατεύειν] ταῖς νήσοις. (λ. Ἀὐγ.) — 8. ** Κνιδαίων.]

Κνίδαιον ἦ Κνίδη μέν ἐσιν ἡ πόλις·
Ἐκ δ' αὖ γε Κνίδου Κνιδίους λέγειν πόει.
(Παλ.)

— 9. Λιπάρα] αὕτη τὸ παλαιὸν ἡ Λιπάρα μελιγουνὶς ἐκαλεῖτο, ὥς φησιν ὁ Καλλίμαχος.

Cass. Aug, F, Pal. It. Vat, H. Reg. (G.) Haack. Bekk. In C. Gr. B. D. I. E. Ar. Chr. Dan. Ald. Flor. Bas. Steph. 1. καὶ οἱ πολλοὶ σεισμοὶ τότε. Vulgo τότε καὶ οἱ πολλοὶ σεισμοί. Mosqu. σεισμοὶ πολλοί.

Ἐν Εὐβοίᾳ. Ἐν om. Cass. Aug. Pal. (quanquam de hoc tacet Frommel,) It. H. Reg. (G.) Quod si probare velis, praepositionem ob arctam coniunctionem, quae inter Athenas et Euboeam intercedebat, omissam puta et expunge virgulam post Ἀθήναις. Nobis tamen vulgata placet.

Καὶ ἐν Βοιωτοῖς — Βοιωτίῳ de. Chr. Dan.

Cap. LXXXVIII. Ἀθηναῖοι καὶ om D. I.

Ῥηγῖνοι. It. Ῥηγινοὶ, Vat. Ῥηγηνοὶ, ut iidem c. 86. Gr. Ῥήγιον. Mox in Αἰόλου B. literam o s. ι collocat ead. man.

Ἀνυδρίαν. Dan. ἀνυδρίας.

Ἀδύνατα ἦν. Ar. οὐκ ἦν, quod si maiorem auctoritatem haberet, non sperneretur.

2. Λιπαραῖοι. Dan. Λιπαρῆοι.

Κνιδίων. Pal. (et Schol. Pal.) male Κνιδαίων. I. τῶν Κνιδίων.

Ὄντες om, I. m. Ar. Chr. Dan., non male, nisi quod ita ἄποικοι proxime οἰκοῦσι collocatur.

Digitized by Google

Στρογγύλην, καὶ Ἱεράν. 3. νομίζουσι δὲ οἱ ἐκείνῃ ἄνθρωποι, ἐν τῇ Ἱερᾷ ὡς ὁ Ἥφαιστος χαλκεύει, ὅτι τὴν νύκτα φαίνεται πῦρ ἀναδιδοῦσα πολὺ, καὶ τὴν ἡμέραν καπνόν. κεῖνται δὲ αἱ νῆσοι αὗται κατὰ τὴν Σικελῶν καὶ Μεσσηνίων γῆν· ξύμμαχοι δ' ἦσαν Συρακοσίων. 4. τεμόντες δ' οἱ Ἀθηναῖοι τὴν γῆν, ὡς οὐ προσεχώρουν, ἀπέπλευσαν ἐς τὸ Ῥήγιον. καὶ ὁ χειμὼν ἐτελεύτα, καὶ πέμπτον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε, ὃν Θουκυδίδης ξυνέγραψε.

5. Ξύμμαχοι δ' ἦσαν Συρ.] ἡ αἰτία τῆς ἐπιστρατείας τῶν Ἀθηναίων κατὰ τῶν Λιπαραίων. (λ. Κασσ.) — 6. Τὴν γῆν] ἐκείνων τῶν νησιωτῶν δηλονότι. (λ. Λύγ.) — 7. Ἀπέπλευσαν] ἀποπλεύσαντες ἐπανῆλθον. (λ. Λύγ.)

Ἱεράν. „Ἱέραν Steph. 2. et Aem. Port. contra reliquorum codd. et optimorum geographorum auctoritatem." HUDS. Cf. I. 2. p. 458., ubi in contextu verborum accentus corrigendus.

3. Νομίζουσι δέ. Haec et quae sequuntur Thucydide minus digna male iudicabat Valcken. ad Herodot. VII. p. 599., perperam huc referens Scholion. c. 84. Valckenarii dubitationes refutabunt quae I. 1. p. 44—46. disputavimus.

Ἐκείνῃ. Gr. ἐν ἐκείνῃ. At vid. Ind. verb. D. I. ἐκεῖνοι.

Ἐν τῇ. E. οἱ ἐν τῇ. In Ar. Chr. Dan. de. τῇ, sicut ὁ ante Ἥφαιστος.

Πολύ om. D. I. Ar. Chr. Dan.

Νῆσοι. D. νῆσαι.

Μεσσηνίων. D. E. Ar. Chr. Dan. Μεσηνίων, et Ar. Chr. Dan. sic ubique. Cf. I. 2. p. 530. et Bekk. ad I, 101.

Συρακοσίων F. Gr. Bekk. Vulg. (et Haack.) Συρακοσσίων. Cass. Pal. Συρακουσσίων, et ita passim Cass. gemino σ, Gr. per σ̄. D. I. Συρρακοσίων. Vid script. discr. ad cap. 86.

4. Τεμόντες. D. I. E. τέμνοντες.

Ὡς om. Gr.

Ὁ χειμών. E. ὁ μὲν χειμ.

Τῷ πολέμῳ ἐτελεύτα Casa. Aug. C. F. Pal. It. Vat. H. Reg. (G.) cod. Bas. D. I. (in hoc tamen ab al. manu.) E. m. Ar. Chr. Dan. Haack. Vulgo (et Bekk.) ἐτελεύτα τῷ πολέμῳ. At. vid. script. discr. III, 25. fin.

Ξυνέγραψε. Bekk. in minorr. exempll. fortasse recte ξυνέγραψεν. Cf. Herm. de emend. rat. Gr. Gr. p. 23.

Digitized by Google

(VI. Ἕκτον ἔτος τοῦ πολέμου. πθ'. — ρις'.)

(A. Θέρος. πθ'. — ρβ'.)

(1. Σεισμοὶ πυλαχοῦ τῆς Ἑλλάδος.)

πθ'. ΤΟΥ Δ' ΕΠΙΓΙΓΝΟΜΕΝΟΥ ΘΕΡΟΥΣ Πε- Ὀλ. πή. λοποννήσιοι καὶ οἱ ξύμμαχοι μέχρι μὲν τοῦ Ἰσθμοῦ ἦλ- ἔτ. β'. θον, ὡς ἐς τὴν Ἀττικὴν ἐσβαλοῦντες, Ἄγιδος τοῦ Ἀρχι- γ'. δάμου ἡγουμένου, Λακεδαιμονίων βασιλέως· σεισμῶν δὲ πρὸ Χρ. γενομένων πολλῶν, ἀπετράποντο πάλιν, καὶ οὐκ ἐγένετο νκς'. ἐσβολή. 2. καὶ περὶ τούτους τοὺς χρόνους τῶν σεισμῶν ἀπὸ μ'. κατεχόντων, τῆς Εὐβοίας ἐν Ὀροβίαις ἡ θάλασσα † ἐπελ- Ἀπριλ. θοῦσα † ἀπὸ τῆς τότε οὔσης γῆς, καὶ κυματωθεῖσα, ἐπῆλ- θε τῆς πόλεως μέρος τι, καὶ τὸ μὲν κατέκλυσε, τὸ δ'

πθ'. 6. Ἐσβολή] ἔφοδος. (λ. Λύγ.) — 7. ** Ὀροβίαις] Ὡρωπίαν ἠκουσα τῆς Βοιωτίας. (Παλ.)

7. ** Ἡ θάλασσα]
ἡ νῦν θάλασσα, πρὶν δὲ λόγου γῆς μέρη.
† τὰ τοῦ βιβλογράφου δὲ πλῆσις ὀσπρίων. †
(Παλ.)

— Ἡ θάλασσα ἐπελθοῦσα —] ἐπανελθοῦσα ἡ θάλασσα μέρος ἀπὸ τῆς τότε οὔσης γῆς ἐπῆλθε καὶ κατέλαβε. καλῶς δὲ εἶπε, τῆς τότε οὔσης γῆς, ὡς νῦν θαλάσσης οὔσης, δηλονότι διὰ τὸν σεισμόν. Ἄλλοι δὲ οὕτως· ἡ θάλασσα εἰς ἑαυτὴν ἀναχωρήσασα, καὶ ὑποστρέψασα ἀπὸ τοῦ λιμένος καὶ τῆς γῆς ἐπὶ τὰ κυματώδη, (τότε γὰρ μάλιστα κυματοῦται, ὅταν εἰς ἑαυτὴν ἀναχωρήσῃ,) αὖθις δ' ἐλθοῦσα ἐπὶ τὴν γῆν, κατέλαβε μέρος τι ἕτερον τῆς γῆς, ὅπερ πρότερον οὐ κατεῖχε. — 9. Καὶ τὸ μὲν — —] καὶ τὸ μὲν νῦμα, φησί, κατέκλυσε τὴν γῆν, τὸ δὲ μέρος τῆς γῆς ἐκεῖνο ὑπενόστησε καὶ

Cap. LXXXIX. *Πελοποννήσιοι.* Gr. *Πελοπ. μέν.*

Μέχρι μέν. Μέν om. C.

Τὴν Ἀττικήν. Τήν om. C.

Ἐσβαλοῦντες. Chr. *ἐμβαλοῦντες*, contra consuetudinem sermonis Thuc. m. *ἐσβαλόντες.*

Λακεδαιμονίων. Ar. Chr. Dan. male. *Λακεδαιμονίου.*

2. *Τῶν σεισμῶν. Τῶν* de. Ar. Chr. Dan.

Κατεχόντων. Distinctionem mutavimus; vulgo enim (et apud Haack.) virgula non hic est, sed post *Ὀροβίαις.* (Neutro in loco distinxit Bekk.) Vid. Heilm. et adnot.

Ἐπελθοῦσα. E. *ἐπεξελθ.*, „Scholiastam colligas legisse *ἐπῃρελθ.* Sic etiam paulo inferius de eadem re dicitur *ἐπαναχώρησις.* Itaque *ἐπανελθοῦσα* verum videtur.“ HAACK. Cf. adnot. Valla negligenter: *Mare ab ea quae tunc erat tellus cum aestu supergressum partem quandam urbis restagnavit, eamque alibi deseruit, alibi diluit.*

Τότε. In Schol. vulgo *ποτέ*, sed *τότε* cod. Aug.

Κατέκλυσε. Vind. *κατέλυσε.*

Digitized by Google

ὑπενόστησε, καὶ θάλασσα νῦν ἐστὶ πρότερον οὖσα γῆ· καὶ ἀνθρώπους διέφθειρεν, ὅσοι μὴ ἐδύναντο φθῆναι πρὸς τὰ μετέωρα ἀναδραμόντες. 3. καὶ περὶ Ἀταλάντην τὴν ἐπὶ Λοκροῖς τοῖς Ὀπουντίοις νῆσον παραπλησία γίγνεται ἐπίκλυσις, καὶ τοῦ τε φρουρίου τῶν Ἀθηναίων παρεῖλε, καὶ δύο νεῶν ἀνειλκυσμένων τὴν ἑτέραν κατέαξεν. 4. ἐγένετο δὲ καὶ ἐν Πεπαρήθῳ κύματος ἐπαναχώρησίς τις, οὐ μέντοι ἐπέκλυσέ γε· καὶ σεισμὸς τοῦ τείχους τι κατέβαλε, καὶ τὸ πρυτανεῖον, καὶ ἄλλας οἰκίας ὀλίγας. 5. αἴτιον δ' ἔγωγε νομίζω τοῦ τοιούτου, ἢ ἰσχυρότατος ὁ σεισμὸς ἐγένετο, κατὰ τοῦτο ἀποστέλλειν τε τὴν θάλασσαν, καὶ ἐξαπίνης πάλιν ἐπισπωμένην, βιαιότερον τὴν ἐπίκλυσιν ποιεῖν· ἄνευ δὲ σεισμοῦ οὐκ ἄν μοι δοκεῖ τὸ τοιοῦτο ξυμβῆναι γενέσθαι.

τεύονται ἐπὶ Ἄργος τὸ Ἀμφιλοχικὸν τρισχιλίοις ὁπλίταις· καὶ ἐσβαλόντες ἐς τὴν Ἀργείαν, καταλαμβάνουσιν Ὄλπας, τεῖχος ἐπὶ λόφου ἰσχυρὸν πρὸς τῇ θαλάσσῃ, ὃ ποτε Ἀκαρνᾶνες τειχισάμενοι, κοινῷ δικαστηρίῳ ἐχρῶντο· ἀπέχει δὲ ἀπὸ τῆς Ἀργείων πόλεως, ἐπιθαλασσίας οὔσης, πέντε καὶ εἴκοσι σταδίους μάλιστα. 2. οἱ δὲ Ἀκαρνᾶνες οἱ μὲν ἐς Ἄργος ξυνεβοήθουν, οἱ δὲ τῆς Ἀμφιλοχίας ἐν τούτῳ τῷ χωρίῳ, ὃ Κρῆναι καλεῖται, φυλάσσοντες τοὺς μετὰ Εὐρυλόχου Πελοποννησίους, μὴ λάθωσι πρὸς τοὺς Ἀμπρακιώτας διελθόντες, ἐστρατοπεδεύσαντο. 3. πέμπουσι δὲ καὶ ἐπὶ Δημοσθένην τὸν ἐς
232. τὴν Αἰτωλίαν Ἀθηναίων στρατηγήσαντα, ὅπως σφίσιν ἡγεμὼν γίγνηται, καὶ ἐπὶ τὰς εἴκοσι ναῦς Ἀθηναίων, αἳ ἔτυχον περὶ Πελοπόννησον οὖσαι, ὧν ἦρχεν Ἀριστοτέλης τε ὁ Τιμοκράτους καὶ Ἱεροφῶν ὁ Ἀντιμνήστου. 4. ἀπέστειλαν δὲ καὶ ἄγγελον οἱ περὶ τὰς Ὄλπας Ἀμπρακιῶται ἐς τὴν πόλιν, κελεύοντες σφίσι βοηθεῖν παν-δημεί, δεδιότες μὴ οἱ μετ' Εὐρυλόχου οὐ δύνωνται δι-

17. Ἐς τὴν πόλιν] τὴν ἑαυτῶν δηλονότι. — 18. Μὴ οἱ —] μήποτε ἄρα οἱ ἐν τῇ πόλει τῇ Ἀμπρακίᾳ Ἀμπρακιῶται οὐ δυνηθῶσι διελθεῖν τοὺς ἐν ταῖς Κρήναις Ἀκαρνᾶνας φυλάττοντας καὶ τοὺς μετ' Εὐρυλόχου Πελοποννησίους.

Ἄργος. It. Vat. Ar. τὸ Ἄργ. At vid. II, 68.

Ἐσβαλόντες. C. ἐσβάλλοντες. Dan. ἐκβαλόντες.

Ὄλπας. Gr. ubique Ὄλπαι, Ὀλπαῖς, Ὀλπάς, et Ὄλπης. In Ὀλπάς consentit Mosqu. Ὄλπας Pal. Vulgatam confirmat Steph.

Κοινῷ δικαστηρίῳ. „Describit ex h. l. Steph. v. Ὄλπαι." DUK. Antea Pal. Mosqu. ὁπότε pro ὃ ποτε. Praeterea Mosqu. Ἀκαρνάνες hic et postea exarat.

Ἀπέχει. Pal. ἐπέχει.

2. Διελθόντες D. s. v. al. man.

Ἐστρατοπεδεύσαντο. D. aut alius Par. ἐστρατοπεδεύοντο.

3. Ἐπὶ Δημοσθένην. Ἐπί D. in marg. al. man.

Ἀθηναίων (ante στρατηγ.) s. v. G., om. D. In Dan. Ἀθηναῖοι.

Ναῦς Ἀθηναίων. D. Mosqu. Ar. Chr. Dan. ναῦς τῶν Ἀθ., quod noli ob regulas a Thiersch. Gr. §. 310. 11. a. propositas probare. Nam ita ὁ πόλεμος Κορινθίων I, 32., οἱ ξύμμαχοι Ἀρκάδων V, 67.

Ἀντιμνήστου. Pal. Ἀντιμνήστου, ut in praec. cap. ἐπεμνήσθη.

4. Ἐς τήν. D. καὶ ἐς τ. Pro πόλιν B. πόλην.

Μὴ οἱ om. Dan.

Οὐ δύνωνται. Ar. Chr. Dan. μὴ δύν. In D. verba μὴ δυν. — μετ' Εὐρ. initio prox. cap. ob repetita μετ' Εὐρ. exciderunt, sed

Digitized by Google

ελθεῖν τοὺς Ἀκαρνᾶνας, καὶ σφίσιν ἢ μονωθεῖσιν μάχῃ γένηται, ἢ ἀναχωρεῖν βουλομένοις οὐκ ἦ ἀσφαλές.

(Εὐρύλοχος τὴν Ἀκαρνανίαν διελθὼν πρεσβύτατος τοῖς ἐν Ὀλπαις Ἀμπρακιώταις.)

ρϛ'. Οἱ μὲν οὖν μετ' Εὐρυλόχου Πελοποννήσιοι ὡς ἤσθοντο τοὺς ἐν Ὀλπαις Ἀμπρακιώτας ἥκοντας, ἅραντες ἐκ τοῦ Προσχίου, ἐβοήθουν κατὰ τάχος. καὶ διαβάντες τὸν Ἀχελῷον, ἐχώρουν δι' Ἀκαρνανίας, οὔσης ἐρήμου διὰ τὴν ἐς Ἄργος βοήθειαν, ἐν δεξιᾷ μὲν ἔχοντες τὴν Στρατίων πόλιν καὶ τὴν φρουρὰν αὐτῶν, ἐν ἀριστερᾷ δὲ τὴν ἄλλην Ἀκαρνανίαν. 2. καὶ διελθόντες τὴν Στρατίων γῆν, ἐχώρουν διὰ τῆς Φυτίας καὶ αὖθις Μεδεῶνος παρ' ἔσχατα, ἔπειτα διὰ Λιμναίας· καὶ ἐπέβησαν τῆς Ἀγραίων, οὐκέτι Ἀκαρνανίας, φιλίας δὲ σφίσι. 3. λαβόμενοι δὲ τοῦ Θυάμου ὄρους, ὅ ἐστιν ἀγροϊκον, ἐχώρουν δι' αὐτοῦ, καὶ κατέβησαν ἐς τὴν Ἀργείαν νυκτὸς ἤδη· καὶ διεξελθόντες μεταξὺ τῆς τε Ἀργείων

ρϛ'. 15. *Καὶ διεξελθόντες μεταξὺ* —] οἱ μετὰ Εὐρυλόχου, φοβούμενοι παρά τε θάλατταν ὁδοιπορεῖν, διὰ τοὺς Ἀργείους, οἰκοῦντας ἐπὶ θαλάσσῃ, καὶ διὰ μεσογείου, διὰ τὴν ἐν Κρήναις κωλύουσαν φυλακήν, μέσον τῆς τε τῶν Ἀργείων πόλεως καὶ τῆς φυλακῆς ἐχώρουν.

in marg. al. man. suppleta, ubi *μὴ δυν.* legitur. Vat. *δυνῶνται.* *Ἡ μάχη.* „ Codd. mss. *ἤν* pro *ἡ* habent." HUDS. Videntur esse Ar. Chr., et ita Mosqu.

Ἤι. Vind. *ἤν.*

Cap. CVI. *Ἐν Ὀλπαις.* C. *ἐν ταῖς Ὀλπ.* Antea pro *οἱ μέν* B. *ἡ μέν.* Mox post *τάχος* Bekk. comma posuit, quod si fit, etiam post *Ἀκαρνανίαν* et alibi in hoc cap. minima distinctio ponenda.

Ἄργος. Chr. *Ἀργείους.*

2. *Μεδεῶνος.* Ita quidem cum reliquis I., sed *τά* erasum et proximum *παρ' ἔσχ.* s. v.

Οὐκέτι. Pal. *οὐδέτι.*

3. *Ἀγροῖκον* Cass. Aug. Pal. Vat. Reg. Mosqu. Bekk. Vulgo (et Haack.) *ἄγροικον.* (Accentus Parr. ignotus.) Ammonius: *ἀγροῖκος καὶ ἄγροικος διαφέρει· προπερισπωμένως μὲν ὁ ἐν ἀγρῷ κατοικῶν, προπαραξοτόνως δὲ ὁ σκαιὸς τοὺς τρόπους,* cuius maior fides est quam Thomae Mag. *ἀγροῖκος* scribentis *ὁ ἐν τῷ ἀγρῷ οἰκῶν παρὰ τοῖς Ἕλλησιν ἁπλῶς, ἄγροικος δὲ ὁ ἰδιώτης καὶ ἀπαίδευτος· οἱ Ἀττικοὶ δὲ ἐπὶ τοῦ ἐν ἀγρῷ οἰκοῦντος καὶ ἐπὶ τοῦ ἰδιώτου — προπαροξυτόνως ἄγροικος λέγουσιν.* (Cf. Phav.)

Digitized by Google

πόλεως καὶ τῆς ἐπὶ Κρήνας Ἀκαρνάνων φυλακῆς ἔλαθον, καὶ προσέμιξαν τοῖς ἐν Ὄλπαις Ἀμπρακιώταις.

(Ἀθηναίων Ἀκαρνᾶσι βοηθησάντων καὶ Δημοσθένους τῶν πάντων ἡγεμόνος αἱρεθέντος γίγνεται μάχη. Τάξις ἑκατέρων.)

ρζ'. Γενόμενοι δὲ ἀθρόοι, ἅμα τῇ ἡμέρᾳ καθίζουσιν ἐπὶ τὴν Μητρόπολιν καλουμένην, καὶ στρατόπεδον ἐποιήσαντο. Ἀθηναῖοι δὲ ταῖς εἴκοσι ναυσὶν οὐ πολλῷ ὕστερον παραγίγνονται ἐς τὸν Ἀμπρακικόν, βοηθοῦντες τοῖς Ἀργείοις, καὶ Δημοσθένης, Μεσσηνίων μὲν ἔχων διακοσίους ὁπλίτας, ἑξήκοντα δὲ τοξότας Ἀθηναίων. 2. καὶ αἱ μὲν νῆες περὶ τὰς Ὄλπας τὸν λόφον ἐκ θαλάσσης ἐφώρμουν· οἱ δὲ Ἀκαρνᾶνες καὶ Ἀμφιλόχων ὀλίγοι, (οἱ γὰρ πλείους ὑπὸ Ἀμπρακιωτῶν βίᾳ κατείχοντο,) ἐς τὸ Ἄργος ἤδη ξυνεληλυθότες, παρεσκευάζοντο ὡς μαχούμενοι τοῖς ἐναντίοις· καὶ ἡγεμόνα

ρζ'. 3. *Καθίζουσιν ἐπὶ τὴν Μητρόπολιν*] ἱδρύονται ἐν τῇ Μητροπόλει. — 9. *Καὶ αἱ μὲν νῆες* —] ὑπερβατόν. ἡ γὰρ σύνταξις οὕτω· καὶ αἱ μὲν νῆες ἐκ θαλάσσης ἐφώρμουν περὶ τὸν λόφον τὰς Ὄλπας. ὁ γὰρ λόφος Ὄλπαι ἐκαλεῖτο. — 12. *Βίᾳ κατείχοντο*] ἀντὶ τοῦ ἐκωλύοντο. —

Τοῖς ἐν. B. *ταῖς ἐν.*

Cap. CVII. *Καὶ στρατόπεδον. Καί* om. Mosqu. Antea I. *Μητρόπολιν.*

Ἀμπρακικόν. Quod vulgo (et apud Bekk.) sequitur *κόλπον*, cum Cass. Aug. (quanquam hic a man. 2. habet,) Cl. Pal. Vat. H. Reg. (G.) delevimus. Uncis inclusit Haack. Deesse posse VI, 34. demonstrabimus. Vid. interea Lamb. Bos. p. 229. In malae notae libris deerat II, 83. Pro *Ἀμπρακικόν* autem C. Mosqu. *Ἀμπρακιωτικόν*, Mosqu. supra scr. *κόν.* I. *Ἀμπρακιατικόν.* At vid. I, 29. 55.

Μεσσηνίων. D. E. Mosqu. Ar. Chr. Dan. *Μεσηνίων.* At vid. I. 2. p. 531. et Bekk. ad I, 101. Praeterea E. post *ἔχων* collocat. *Διακοσίους ὁπλίτας.* Ar. Chr. Dan. *ὁπλίτας διακοσ.*

2. *Περί.* Ar. *παρά*, uti vulgo Schol., sed invitis Cass. et Aug.

Τὸν λόφον. D. I. E. Vind. Chr. (pro quo Bekk. male Mosqu. memorat) *τῶν λόφων.*

Ἐφώρμουν. Vulgo *ἐφόρμουν*, sed „hoc neque ullus liber scriptus habet, nisi fortasse Dan., ex quo hic nihil adnotatum erat, neque editus ante Steph., in cuius edd. et ex his in ed. Port. id errore operarum irrepsisse suspicor.“ DUK. Errorem propagarunt ed. Lips. et Gail., sustulerunt Haack. et Bekk.

Τκό. Mosqu. *ἀκό.*

Μαχούμενοι. Dan. *μαχόμ.* Mox post *ἐναντίοις* punctum in

Digitized by Google

τοῦ παντὸς ξυμμαχικοῦ αἱροῦνται Δημοσθένη μετὰ τῶν
αφετέρων στρατηγῶν. 3. ὁ δὲ, προσαμαγὼν ἐγγὺς τῆς
Ὀλπης, ἐστρατοπεδεύσατο· χαράδρα δ' αὐτοὺς μεγάλη
διεῖργε. καὶ ἡμέρας μὲν πέντε ἡσύχαζον, τῇ δὲ ἕκτῃ
ἐτάσσοντο ἀμφότεροι ὡς ἐς μάχην. καὶ — μεῖζον γὰρ
ἐγένετο, καὶ περιέσχε τὸ τῶν Πελοποννησίων στρατόπε-
δον — ὁ [δὲ] Δημοσθένης, δείσας μὴ κυκλωθῇ, λοχίζει
ἐς ὁδόν τινα κοίλην καὶ λοχμώδη ὁπλίτας καὶ ψιλοὺς,
ξυνεμφοτέρους ἐς τετρακοσίους, ὅπως κατὰ τὸ ὑπερέ-
χον τῶν ἐναντίων ἐν τῇ ξυνόδῳ αὐτῇ ἐξαναστάντες οὖ-

3. *Αὐτούς*] τοὺς ἐντεταξαμένους. (λ. *Αὐγ.*) — 4. *Ἡσύχαζον*] ἔκαστοι ἦσαν. (λ. *Αὐγ.*) — 5. *Καὶ μεῖζον γὰρ ἐγένετο* ——] καὶ φοβηθεὶς ὁ *Δημοσθένης*, μήποτε κυκλωθῇ τὸ δεξιὸν μέρος τῶν Ἀθηναίων ὑπὸ τοῦ εὐωνύμου τῶν Πηλοποννησίων, (καὶ γὰρ μεῖζον ἐγένετο τῶν Πελοποννησίων τὸ εὐώνυμον καὶ ὑπερέτεινε,) λοχίζει ἐνέδραν. — 6. *Περιέσχε*] περισσὸς ἦν. (λ. *Αὐγ.*) — 7. *Λοχίζει*] ἐνέδραν καθίζει. (λ. *Αὐγ.*) — 8. *Λοχμώδη*] δασύν. (λ. *Αὐγ.*) — *Ψιλούς*] τοξοφόρους. (λ. *Αὐγ.*) —

comma mutavit Bekk., nos in colon.

Δημοσθένη Cass. Aug. F. It. Vat. H. I. Bekk. Vulgo (et Haack.) *Δημοσθένην*, sicut cap. 94. 105. et saepissime. At vid. adnot.

3. *Ἐγγὺς τῆς Ὀλπης.* H. *τῆς Ὀλπης ἐγγύς.* Cod. Bas. *ἐγγὺς τοῖς ὅπλοις.* Ne *Ὀλπης* in singulari dicatur, barbarum *Ὀλπίης* hic et 111. ac 113. excogitavit Bened. Cf. script. discr. ad *Ἰδομένεις* c. 113.

Ἐστρατοπεδεύσατο. D. *ἐστρατοπεδεύατο.* Vind. *ἐστρατοπεδεύσαντο.*

Δὲ ἕκτῃ plene Cass. Aug. C. F. Pal. H. Reg. (G.) et haud dubie plures pro vulg. (Haack. Bekk.) *δ' ἕκτῃ.* Cf. I. 1. p. 217.

Μεῖζον γὰρ — στρατόπεδον. Haec parenthesis notis Bauerus circumscripsit, eiecta cum Cass. Aug. Reg. Gr. Ar. Chr. Dan. particula *δέ*, quae ante *Δημ.* vulgo additur, quam ne Pal. Itt. et Parr. quidem praeter B. agnoscere silentium collatorum Bauerum secutorum verisimile reddit, et perperam intrusam esse iam Abresch. suspicatus erat. Excusatur tamen similibus locis I. 1. p. 307. allatis, unde a nobis uncis inclusa et ante *μεῖζον* et post *στρατόπ.* lineolae, interruptae orationis signa, positae sunt.

Κυκλωθῇ. Cod. Bas. *περικυκλωθῇ.* Mosqu. Ar. Chr. *κυλωθῇ.*

Ἐς τετρακοσίους. *Ἐς* om. D., pro eo *ὡς* habet E. Apud Polyaen. VIII, 1, 2. ante Coreyum *τριακοσίους* legebatur.

Ἐξαναστάντες. C. F. *ἀναστ.* Nostrum confirmat Polyaen. VIII, 1, 2.

Digitized by Google

τοι κατὰ νώτου γίγνονται. 4. ἐπεὶ δὲ παρεσκεύαστο ἀμφοτέροις, ἦσαν ἐς χεῖρας, Δημοσθένης μὲν τὸ δεξιὸν κέρας ἔχων μετὰ Μεσσηνίων καὶ Ἀθηναίων ὀλίγων· τὸ δὲ ἄλλο Ἀκαρνᾶνες ὡς ἕκαστοι τεταγμένοι ἐπεῖχον, καὶ Ἀμφιλόχων οἱ παρόντες ἀπουτισταί· Πελοποννήσιοι δὲ καὶ Ἀμπρακιῶται ἀναμὶξ τεταγμένοι, πλὴν Μαντινέων· οὗτοι δὲ ἐν τῷ εὐωνύμῳ μᾶλλον, καὶ οὐ τὸ κέρας ἄκρον ἔχοντες, ἀθρόοι ἦσαν· ἀλλ' Εὐρύλοχος ἔσχατον εἶχε τὸ εὐώνυμον καὶ οἱ μετ' αὐτοῦ κατὰ Μεσσηνίους καὶ Δημοσθένην.

(Τὸ Εὐρυλόχου στράτευμα νικᾶται, καὶ ἐς Ὄλπας καταφεύγει.)

ρή. Ὡς δ' ἐν χερσὶν ἤδη ὄντες περιέσχον τῷ κέρᾳ οἱ Πελοποννήσιοι, καὶ ἐκυκλοῦντο τὸ δεξιὸν τῶν ἐναν-

1. Ἐπεὶ δὲ παρεσκεύαστο] ἕτοιμα ἦν τὰ τοῦ πολέμου. (λ. Αὐγ.) — 2. Ἦισαν ἐς χεῖρας] συνεπλάκησαν. (λ. Αὐγ.) — 4. Ἐπεῖχον] ἐκράτουν. (λ. Αὐγ.) — 7. Οὗτοι δὲ ἐν τῷ εὐωνύμῳ μᾶλλον] οἱ Μαντινεῖς. (λ. Αὐγ.) — 9. Κατὰ Μεσσηνίους] ἦγουν κατὰ τὸ πρόσωπον τῶν Μεσσηνίων. (λ. Αὐγ.)

ρή. 11. Ἐν χερσὶν ἤδη ὄντες] συνεπλάκησαν πολεμοῦντες. (λ. Αὐγ.) — 11. Περιέσχον τῷ κέρᾳ] ὑπερέσχον [τῷ εὐωνύμῳ κέρατι, περιεγένοντο. (λ. Κασσ.)] —

Νώτου. Cass. Aug. (sed ille cum emend. rec. man. *νώτου*, hic *νότου*,) Pal. It. Vat. H. Dan. (de quo et de Cass. falsa tradit Bekk.) *νῶτον*. Reg. *νώτων*. „Κατὰ νώτου cap. sequ. et IV, 88." DUK. Item I, 62. IV, 32. et saepius. Vid. Ind. in *νῶτ*.

4. Ἐπεί. Mosqu. ἐπειδή.

Ἔχων om. E.

Μεσσηνίων. Mosqu. *τῶν Μεσ.* In Gr. D. I. E. Ar. Chr. rursus *Μεσηνίων* et in iisdem aut saltem eorum plerisque paulo post *Μεσηνίους*. Cf. §. 1.

Πελοποννήσιοι. Mosqu. *Πελοποννίσιοι*, et uno *ν* semper (cf. script. discr. I, 1.). *ι* pro *η* autem rursus 111, 3.

Μαντινέων. E. *Μαντιναίων*.

Εἶχε l. om., sed erasum videmus *εἶ*, et in marg. al. man. scriptum *εἶχε*.

Cap. CVIII. *Περιέσχον τῷ κέρᾳ*. „Thom. Mag. in *κεραία*, *περιέσχον τὸ κέρας*. Et in *κυκλέω*, ubi male editur *ἐν τῇ τετάρτῃ*: *περιέσχον τὸ κέρας — ἐναντίων*. Si non vitiosa est scriptura, [nam Leid. pr. aliique codd. utrobique *τῷ κέρᾳ* habent, quod iure nunc receptum,] videtur *περιέσχον* et *ἐκυκλοῦντο* quasi *ἐκ παραλλήλου* posita accepisse. *Περιέχειν* pro *circumdare*, *cingere* est supra cap. 22. *τὴν τάφρον διέβησαν, ἣ περιεῖχεν αὐτούς*. Sed recte Schol. ut cap. 107. et alibi. Vid. Ind." DUK.

Digitized by Google

σίαν, οἱ ἐκ τῆς ἐνέδρας Ἀκαρνᾶνες, ἐπιγενόμενοι αὐτοῖς κατὰ νώτου, προσπίπτουσί τε, καὶ τρέπουσιν, ὥστε μήτε ἐς ἀλκὴν ὑπομεῖναι, φοβηθέντας τε ἐς φυγὴν καὶ τὸ πλέον τοῦ στρατεύματος καταστῆσαι· ἐπειδὴ γὰρ εἶδον τὸ κατ' Εὐρύλοχον, καὶ ὃ κράτιστον ἦν, διαφθειρόμενον, πολλῷ μᾶλλον ἐφοβοῦντο. καὶ οἱ Μεσσήνιοι, ὄντες ταύτῃ μετὰ τοῦ Δημοσθένους, τὸ πολὺ τοῦ ἔργου ἐξῆλθον. 2. οἱ δὲ Ἀμπρακιῶται καὶ οἱ κατὰ τὸ δεξιὸν κέρας ἐνίκων τὸ καθ' ἑαυτούς, καὶ πρὸς τὸ Ἄργος ἀπεδίωξαν· καὶ γὰρ μαχιμώτατοι τῶν περὶ ἐκεῖνα τὰ χωρία τυγχάνουσιν ὄντες. 3. ἐπαναχωροῦντες δὲ, ὡς ἑώρων τὸ πλέον νενικημένον, καὶ οἱ ἄλλοι Ἀκαρνᾶνες σφίσι προσέκειντο, χαλεπῶς διεσώζοντο ἐς τὰς Ὄλπας, καὶ πολλοὶ ἀπέθανον αὐτῶν, ἀτάκτως καὶ οὐδενὶ κόσμῳ προσπίπτοντες, πλὴν Μαντινέων· οὗτοι δὲ μάλιστα ξυν-

2. *Προσπίπτουσι*] τοῖς Πελοποννησίοις. (λ. *Αὐγ.*) — 5. *Τὸ κατ' Εὐρύλοχον*] οὗ ἦρχεν ὁ Εὐρύλοχος. (λ. *Αὐγ.*) — 6. *Ἐφοβοῦντο*] εἰς φυγὴν ἐτράπησαν. (λ. *Αὐγ.*) — 6. *Καὶ οἱ Μεσσήνιοι ὄντες* ——] καὶ οἱ Μεσσήνιοι, ὄντες κατὰ τοῦτο τὸ μέρος, τὸ πολὺ τοῦ ἔργου διεπράξαντο, ἢ ἐπικολὺ τοῖς ἐναντίοις ἠκολούθησαν. — 8. *Ἐπεξῆλθον*] ἐπεξελθόντες ἔπραξαν. (λ. *Κασσ. Αὐγ.*) — 9. *Τὸ καθ' ἑαυτούς*] ἦγουν τὸ πρὸς αὐτοὺς ὁρῶν στράτευμα. (λ. *Αὐγ.*) — 11. *Ἐπαναχωροῦντες*] οἱ Ἀμπρακιῶται. (λ. *Αὐγ.*) — 12. *Τὸ πλέον*] τοῦ στρατεύματος αὐτῶν. (λ. *Αὐγ.*) — 13. *Προσέκειντο*] ἀντὶ τοῦ ἐπέκειντο. (λ. *Κασσ. Αὐγ.*) — 14. *Αὐτῶν*] τῶν Ἀμπρακιωτῶν. (λ. *Αὐγ.*) — 15. *Προσπίπτοντες*] τοῖς ἐναντίοις δηλονότι. (λ. *Αὐγ.*) —

Ἐπιγενόμενοι. Ar. Chr. Dan. ἐπιγινόμ.

Τρέπουσι. C. τέρπουσι.

Μήτε. Ar. Chr. Dan. μή.

Ἐς ἀλκήν. „Praepositionem necessariam om. Gr." (non, ut Bekk. scribit., Dan.) WASS.

Φοβηθέντας. Cass. Aug. Pal. It. Vat. H. Reg. (G.) D. I. B. Ald. Flor. Bas. marg. Steph. male φοβηθέντες.

Στρατεύματος. It. H. στρατοῦ, qui error in Xenoph. codd. frequentissimus. Vid. Born. de gem. Cyrop. rec. p. 43.

Μεσσήνιοι. D. E. et haud dubie alii, qui cap. 107., Μεσήν.

Τοῦ Δημοσθένους. Τοῦ om. Gr., syllabam Δη B.

Ἐξῆλθον Cass. Aug. Cl. It. Vat. H. Reg. Bekk. Cf. script. discr. I, 70. Vulgo (et Haack.) ἐπεξῆλθ., quod sane longe usitatius. Vid. Ind.

2. Ἑαυτούς. Ar. Chr. Dan. αὑτ.

3. Διεσώζοντο. Pal. διεσφζ. et cap. sequ. διασωθήσεται. Cf. de Art. crit. p. 150. Mox post Ὄλπας comma puncto substituit Haack.

Ἀτάκτως. It. Vat. H. (in quo s. v. al. man. γρ. ἀτάκτως) et marg. Cl. ἀφυλάκτως. „Ἀτά-

Digitized by Google

τεταγμένοι παντὸς τοῦ στρατοῦ ἀνεχώρησαν. καὶ ἡ μὲν μάχη ἐτελεύτα * ἐς * ὀφέ.

(*Δημοσθένης Μαντινεῦσι καὶ τοῖς ἀξιολογωτάτοις τῶν ἄλλων Πελοποννησίων σπένδεται ἀποχώρησιν ἄνευ τῶν Ἀμπρακιωτῶν.*)

ρθ'. *Μενεδαῖος* δὲ τῇ ὑστεραίᾳ, *Εὐρυλόχου* τεθνεῶτος καὶ *Μακαρίου*, αὐτὸς παρειληφὼς τὴν ἀρχὴν καὶ ἀπορῶν, μεγάλης ἧσσης γεγενημένης, ὅτῳ τρόπῳ ἢ μένων πολιορκήσεται, ἐκ τε γῆς καὶ ἐκ θαλάσσης ταῖς Ἀτ-
84. τικαῖς ναυσὶν ἀποκεκλημένος, ἢ καὶ ἀναχωρῶν διασωθήσεται, προσφέρει λόγον περὶ σπουδῶν καὶ ἀναχωρήσεως *Δημοσθένει* καὶ τοῖς Ἀχαρνάνων στρατηγοῖς, καὶ περὶ

2. Ἐς ὀφέ] ἦγουν ἐσπέρας. σημείωσαι ἐπὶ τῆς ἑσπέρας νῦν μόνον τὸ ὀφέ.

ρθ'. 4. *Παρειληφώς*] δεξάμενος. (λ. *Ἀνγ.*) — 7. Ἢ καὶ ἀναχωρῶν διασωθήσεται] ἀπὸ κοινοῦ τὸ ἀπορῶν. — 8. *Λόγον*] ἦγουν ἱκετικόν. (λ. *Ἀνγ.*) —

κτως et οὐδενὶ κόσμῳ recte coniunguntur, ut contra κόσμῳ καὶ τάξει IV, 126. et τὸ κόσμιον καὶ εὔτακτον apud Herodi. II, 4." DUK.

Ἐς ὀφέ Cass. C. F. (Reg. teste Duk., at secus G.,) cod. Bas. Gr. D. I. (E. ?) Ar. Chr. Dan. marg. Steph. Schol. Haack. Vulgo, Bekk. et apud Thom. Mag. et Phav. (in ὀφέ) ἕως ὀφέ. Aug. G. Mosqu. m. ἕως ἐς (m. εἰς) ὀφέ. Vid. not.

Cap. CIX. *Μενεδαῖος*. „Cl. *Μενέδατος*. vid. pag. 205. [c. 100.] Etiam vers. 7. [pag. sq.] *Μενεδάτῳ* Cl. Historici vett. nihil hic iuvant." WASS.

Μακαρίου. Vind. *Μακαρίνου*. At vid. cap. 100.

Ἧσσης. Mosqu. οὔσης.

Γεγενημένης de. Mosqu., ubi tamen erasum videtur.

Καὶ ἐκ. Ἐκ om. F. D. I. m. Dan. et s. v. habet G. Sic ἐκ τε γῆς καὶ θαλάσσης VIII, 56. Sed nostrum legitur IV, 11. et alibi, ac frequens praepositionis repetitio in κατά (τε) γῆν καὶ κατὰ θάλασσαν. Vid. Ind.

Ταῖς. Ar. Chr. Dan. καὶ ταῖς.

Ἀποκεκλημένος Cass. Aug. G. (nisi quod huic et caeteris Parr. Gail. iota subscr. non appinxit,) Pal. Vat. Reg. (sed hic cum emend. ει superscr., quod de G. etiam Gail. adnotat,) Gr. B. m. Ar. Chr. Ald. Flor. Bekk. In It. quid exstet, non liquet. God. et ed. Bas. ἀποκεκλεισμένος. Vulgo (et Haack.) ἀποκεκλεισμένος. Cf. I. 1. p. 212. sq. et Buttm. Gr. max. Ind. verb.

Λόγον. Cl. *λόγους*. „Mendose." WASS. „Hoc numero librorum dari potest, ut hic praeferatur *λόγον*. Alioqui non minus recte dicitur *λόγους προσφέρειν τινί* quam *λόγον*. Thuc. II, 70. οὕτω δὴ λόγους προσφέρουσι περὶ ξυμβάσεως τοῖς στρατηγοῖς τῶν Ἀθηναίων. Sic εἰς λόγον ἐλθεῖν Aristoph. Equit. 803. et εἰς λόγους Vesp. 470.,

Digitized by Google

νεκρῶν ἅμα ἀναιρέσεως. 2. οἱ δὲ νεκροὺς μὲν ἀπέδοσαν, καὶ τροπαῖον αὐτοὶ ἔστησαν, καὶ τοὺς ἑαυτῶν τριακοσίους μάλιστα ἀποθανόντας ἀνείλοντο· ἀναχώρησιν δὲ ἐκ μὲν τοῦ προφανοῦς οὐκ ἐσπείσαντο ἅπασι, κρύφα δὲ Δημοσθένης μετὰ τῶν ξυστρατήγων Ἀκαρνάνων σπένδονται Μαντινεῦσι, καὶ * Μενεδαίῳ *, καὶ τοῖς ἄλλοις ἄρχουσι τῶν Πελοποννησίων, καὶ ὅσοι αὐτῶν ἦσαν ἀξιολογώτατοι, ἀποχωρεῖν κατὰ τάχος, βουλόμενος ψιλῶσαι τοὺς Ἀμπρακιώτας τε καὶ τὸν μισθοφόρον ὄχλον τὸν ξενικόν, μάλιστα δὲ Λακεδαιμονίους καὶ Πελοποννησίους διαβαλεῖν ἐς τοὺς ἐκείνῃ χρῆξων Ἕλληνας, ὡς, καταπροδόντες, τὸ ἑαυτῶν προὐργιαίτερον ἐποιήσαντο. 3. καὶ οἱ μὲν τούς τε νεκροὺς ἀνείλοντο, καὶ διὰ τάχους ἔθαπτον, ὥσπερ ὑπῆρχε· καὶ τὴν ἀποχώρησιν κρύφα, οἷς ἐδέδοτο, ἐπεβούλευον.

4. *Οὐκ ἐσπείσαντο*] οὐκ ἔδοσαν ἄδειαν μετὰ σπονδῶν. (λ. Αὐγ.) — 8. *Ψιλῶσαι*] μονῶσαι, ψιλοὺς τῶν συμμάχων ποιῆσαι. — 10. *Λακεδ. καὶ Πελοποννησίους* —] ἐβούλετο διαβαλεῖν τοὺς Λακεδαιμονίους καὶ Πελοποννησίους τοῖς Ἀμπρακιώταις ὡς προδότας καὶ τὸ ἑαυτῶν συμφέρον προτιμήσαντας. — 11. *Ἐς τοὺς ἐκείνῃ*] ἦγουν ἐν ἐκείνῃ τῇ γῇ. (λ. Αὐγ.) — 12. *Καταπροδόντες*] τοὺς Ἕλληνας δηλονότι. (λ. Αὐγ.) — 11. *Προὐργιαίτερον*] προτιμότερον (λ. Αὐγ.) — 14. *Ὥσπερ ὑπῆρχεν*] [ὡς ἦν αὐτοῖς δυνατόν. (λ. Αὐγ.)] ὡς ἐκ τῶν παρόντων δυνατὸν ἦν. — 14. *Καὶ τὴν ἀποχώρησιν κρύ-*

vid. Kuster. ad Equit. *Διδόναι λόγον* idem Lucian. Abdicat. 714. et *λόγους* Revivisc. 894." DUK.

Ἀναιρέσεως. Mosqu. *ἀναιρήσεως.* Antea pro *περί* I. *πρίν*, sed marg. al. man. *περί.*

2. *Τροπαῖον.* Pal. Gr. *τρόπαιον.* Cf. I. 1. p. 214. Idem statim *μέν* pro *αὐτοί.*

Ἀναχώρησιν. Pal. *ἀναχωρήσειν.*

Ξυστρατηγῶν. Aug. *ξυνστρατήγων*, et accentus in penultima ut ponatur, compositionis regulae postulant (cf. Buttm. Gr. §. 106. 9.), quas quum II, 58. in omnibus libris servatas videamus, hic quoque secuti sumus, quanquam cum vulg. Xenophontis libri accentum in ultima tuentur.

Σπένδονται. E. *σπένδεται.* At vid. I. 1. p. 96. Cf. Matth. Gr. §. 301. fin. Zumpt. Gr. Lat. §. 69. adnōt. 3. Wagner. Gr. Angl. §. 783.

Ἀξιολογώτατοι. D. *οἱ ἀξιολ.*

Ἀποχωρεῖν. Mosqu. Ar. *ἀναχ.*

Βουλόμενος. D. *βουλόμενος δέ.*

Μισθοφόρον Gass. Aug. F. Pal. It. Vat. H. Reg. (G.) Gr. m. Ar. Chr. Ald. Flor. Bas. Haack. Bekk. Vulgo *μισθοφόρων.* Aut hoc vocabulum aut verba *τὸν ξενικόν* cui suspecta sint, is adeat Xenoph. Hist. Gr. VI, 1, 4. ibique intt.

Διαβαλεῖν. B. *διαλαβεῖν.*

Ἑαυτῶν. Gr. *ἑαυτόν.*

3. *Τάχους.* I. *τάχος.*

Ἐπεβούλευον. D. *ἐπεβούλευον.*

Digitized by Google

(Ἀγγέλλονται ὅτι οἱ Ἀμπρακιῶται οἱ ἐκ τῆς πόλεως ἐπιβοηθοῦσι Δημοσθένης ἀντιπαρασκευάζεται.)

ρί. Τῷ δὲ Δημοσθένει καὶ τοῖς Ἀκαρνᾶσιν ἀγγέλλεται τοὺς Ἀμπρακιώτας τοὺς ἐκ τῆς πόλεως πανδημεὶ κατὰ τὴν πρώτην ἐκ τῶν Ὀλπῶν ἀγγελίαν ἐπιβοηθεῖν διὰ τῶν Ἀμφιλόχων, βουλομένους τοῖς ἐν Ὄλπαις ξυμμίξαι, εἰδότας οὐδὲν τῶν γεγενημένων. 2. καὶ πέμπει εὐθὺς τοῦ στρατοῦ μέρος τι τὰς ὁδοὺς προλοχιοῦντας, καὶ τὰ καρτερὰ προκαταληψομένους· καὶ τῇ ἄλλῃ στρατιᾷ ἅμα παρεσκευάζετο βοηθεῖν ἐπ' αὐτούς.

(Μαντινῆς καὶ οἷς ἔσπειστο ἀποχωροῦσιν. Οἱ δ' Ἀμπρακιῶται, ἐπόμενοι αὐτοῖς, οἱ μὲν κτείνονται, οἱ δ' ἐς τὴν Ἀγραΐδα διαφεύγουσιν.)

ριά. Ἐν τούτῳ δ' οἱ Μαντινῆς καὶ οἷς ἔσπειστο, πρόφασιν ἐπὶ λαχανισμὸν καὶ φρυγάνων ξυλλογὴν ἐξελθόντες, ὑπανῆσαν κατ' ὀλίγους, ἅμα ξυλλέγοντες ἐφ' ἃ ἐξῆλθον δῆθεν· προκεχωρηκότες δὲ ἤδη ἄπωθεν τῆς

φα, οἷς ἐδέδοτο, ἐπεβούλευον] καὶ οἷς σπεισάμενος Δημοσθένης Μαντινεῦσι καὶ Μενεδαίῳ συνεχώρησεν ἀναχωρῆσαι, οὗτοι κρύφα ἐβουλεύοντο ἀναχωρεῖν, ἵνα μήτε οἱ Ἀκαρνᾶνες κωλύσωσιν αὐτούς, (οὐ γὰρ ἐσπείσαντο,) μήτε οἱ Ἀμπρακιῶται μένειν ἀναγκάσωσι.

ρί. 6. Προλοχιοῦντας] πρὸ τοῦ καταλαβεῖν ἐκείνους. (λ. Ἀὐγ.)

ριά. 10. Ἐπὶ λαχανισμόν] λαχάνων συνάθροισιν. (λ. Κασσ. Ἀὐγ.) — 12. Δῆθεν] ἰστέον ὅτι τὸ δῆθεν ἐνταῦθα ὡς ἐν προσποιήσει κεῖται· ἀντὶ τοῦ ἐφ' ἃ προσεποιοῦντο ἐξελθεῖν καὶ ἅμα ἀπιέναι. — 12. Προκεχωρηκότες] πόρρω γεγονότες. (λ. Ἀὐγ.) —

Cap. CX. Ἀγγέλλεται. Vat. ἀγάλλεται. Mosqu. ἀγγέλεται.

Πανδημεί om. D.

Ὀλπῶν Cass. Aug. Reg. Gr. et haud dubie plures cum Haack. et Bekk. Vulgo Ὄλπων.

Διὰ τῶν. Cl. Reg. (G.) καὶ διὰ τῶν.

Τοῖς ἐν. Aug. Pal. It. Vat. H. G. D. τοὺς ἐν, sed in Aug. et D. (in hoc al. man.) recte τοῖς superscr.

Εἰδότας. I. εἰδοντας, marg. al. man. εἰδότας.

2. Προκαταληψομένους. D. προληψ. E. καταληψ.

Παρεσκευάζετο. Cl. παρεσκεύαστο. D. Vind. Dan. παρεσκευάζοντο.

Cap. CXI. Μαντινῆς Cass. Aug. Pal. Bekk. In C. Μαντιτῆς. Vulgo (et Haack.) Μαντιεῖς. (Vind. Μαντιεῖς.) Cf. I. 1. p. 221.

Ἔσπειστο. H. ἔσπειτο. E. ἐπίπειστο.

Ἄπωθεν. It. Vat. Bekk. ἄποθεν, quod sequere, si libet. Cf.

Digitized by Google

Ὅλης, θᾶσσον ἀπεχώρουν. 2. οἱ δ' Ἀμπρακιῶται καὶ οἱ ἄλλοι, ὅσοι μὲν ἐτύγχανον οὕτως ἀθρόοι ξυνελθόντες, ὡς ἔγνωσαν ἀπιόντας, ὥρμησαν καὶ αὐτοί, καὶ ἔθεον δρόμῳ, ἐπικαταλαβεῖν βουλόμενοι. 3. οἱ δὲ Ἀκαρνᾶνες τὸ μὲν πρῶτον καὶ πάντας ἐνόμισαν ἀπιέναι ἀσπόνδους ὁμοίως, καὶ τοὺς Πελοποννησίους ἐπεδίωκον, καί τινας αὐτῶν τῶν στρατηγῶν κωλύοντας, καὶ φάσκοντας ἐσπεῖσθαι αὐτοῖς, ἠκόντισέ τις, νομίσας κατα- 235.
προδίδοσθαι σφᾶς· ἔπειτα μέντοι τοὺς μὲν Μαντινέας καὶ τοὺς Πελοποννησίους ἀφίεσαν, τοὺς δ' Ἀμπρακιώτας ἔκτεινον. 4. καὶ ἦν πολλὴ ἔρις καὶ ἄγνοια, εἴτε Ἀμπρακιώτης τίς ἐστιν εἴτε Πελοποννήσιος. καὶ ἐς δια-

1. *Θᾶσσον ἀπεχώρουν*] ταχυτέρῳ δρόμῳ ἐχρῶντο. (λ. *Κασσ. Ἀϋγ.*) — 3. *Ὥρμησαν καὶ αὐτοί*] ἀναχωρεῖν δηλονότι. — 4. *Καταλαβεῖν*] φθάσαι. — 6. ** *Καὶ τοὺς Πελ. ἐπεδ.*] τούς [τε] *Πελοποννησίους ἐπεδίωκον ὥςπερ καὶ τοὺς Ἀμπρακιώτας* (*Ἀϋγ.*) — 7. *Καί τινας αὐτῶν*] ζητεῖται, πῶς εἰς πολλοὺς στρατηγοὺς ἠκόντισε. τινὲς μὲν οὖν μετέστρεψαν οὕτω, καί τινος αὐτῶν τῶν στρατηγῶν κωλύοντος, καὶ φάσκοντος ἐσπεῖσθαι αὐτοῖς, ἠκόντισέ τις· τῇ γενικῇ πτώσει τοῦ ἠκόντισε συνταττομένου οἰκείως, ὡς καὶ παρ' Ὁμήρῳ· *Τοῦ μὲν ἔπειτ' ἀπιόντος ἀκόντισεν.* ἴσως δὲ οὐκ ἀδύνατόν ἐστιν, ἕνα, πλείω ἀκόντια ἔχοντα, πλείους ἀκοντίσαι τῶν στρατηγῶν. δυνατὸν δὲ τὸ ἠκόντισέ τις καὶ ἐπὶ πλήθους λαμβάνεσθαι, οἷον, καὶ ἄλλος καὶ ἄλλος ἠκόντισεν. — 7. *Καί τινας* — —] *καί τινας τῶν ἰδίων στρατηγῶν κατηκόντισαν οἱ Ἀκαρνᾶνες, κωλύοντας καὶ φάσκοντας γεγενῆσθαι αὐτοῖς σπονδὰς, καὶ ἄδειαν δοθῆναι τῆς ἀναχωρήσεως αὐτοῖς ὑπὸ Δημοσθένους. οὐκ εἶπε δὲ τινὲς, ἀλλὰ τὶς, μιμούμενος τὸν Ὅμηρον· κἀκεῖνος γὰρ πολλοὺς ἀκοντίσαντας σημαίνων, πρὸς ἐνικὴν πτῶσιν συνέταξεν, [*ἀκόντισεν εἰπών*. (*Ἀϋγ.*)] — 8. *Αὐτοῖς*] τοῖς *Πελοποννησίοις.* ((λ. *Ἀϋγ.*) — 11. *Ἔρις*] ἀμφισβήτησις.

adnot. ad II, 81. et Lob. ad Phryn. p. 9.

2. *Ξυνελθόντες.* C. Mosqu. *ξυνεξελθόντες* (nisi quod ille σ pro ξ). Omnia verba *οὕτως —ξυν.* aliquantum obscura. Vid. adnot.

Δρόμῳ. Hinc ad *ἀπιέναι* in H. lacuna suppleta al. man. in marg.

Ἐπικαταλαβεῖν. Schol. in cap. et inde marg. Steph. *καταλ.*

3. *Ἐπεδίωκον.* C. F. D. I. Dan. *ἀπεδίωκον*, quod hic non aptum. Vid. Ind. Gr. *καὶ ἐπεδ.*

Αὐτῶν. Gr. *τῶν αὐτῶν.* In G. proximum *τῶν s. v.*

Ἠκόντισε. C. F. Mosqu. *ἠκόντησε.* Antea C. *στρατιγῶν.*

Τοὺς μέν. Μέν om. Ar. Chr. Dan.

Ἀμπρακιώτας. Pal. *Ἀμπρακιῶτας*, et circumflexo hic liber etiam c. 109. utitur.

4. *Εἴτε Πελοποννήσιος.* Pro

Digitized by Google

κοσίους μὲν τινας αὐτῶν ἀπέκτειναν· οἱ δ' ἄλλοι διέφυγον ἐς τὴν Ἀγραΐδα, ὅμορον οὖσαν· καὶ Σαλύνθιος αὐτοὺς ὁ βασιλεὺς τῶν Ἀγραίων, φίλος ὤν, ὑπεδέξατο.

(Τοῖς ἐκ τῆς πόλεως Ἀμπρακιώταις, ἐπ' Ἰδομένῃ ἀφικομένοις, Δημοσθένης ἐπιπίπτει, καὶ τοὺς πολλοὺς αὐτῶν διαφθείρει.

ριβ'. Οἱ δ' ἐκ τῆς πόλεως Ἀμπρακιῶται ἀφικνοῦνται ἐπ' Ἰδομένην. ἐστὸν δὲ δύο λόφω ἡ Ἰδομένη ὑψηλώ· τούτοιν τὸν μὲν μείζω, νυκτὸς ἐπιγενομένης, οἱ προαποσταλέντες ὑπὸ τοῦ Δημοσθένους ἀπὸ τοῦ στρατοπέδου ἔλαθόν τε καὶ ἔφθασαν προκαταλαβόντες· τὸν δὲ ἐλάσσω ἔσυχον. οἱ Ἀμπρακιῶται προαναβάντες, καὶ ηὐλίσαντο. 2. ὁ δὲ Δημοσθένης δειπνήσας ἐχώρει, καὶ τὸ ἄλλο στράτευμα ἀπὸ ἑσπέρας εὐθύς, αὐτὸς μὲν τὸ ἥμισυ ἔχων ἐπὶ τῆς ἐσβολῆς, τὸ δ' ἄλλο διὰ τῶν Ἀμφιλοχικῶν ὀρῶν. 3. καὶ ἅμα ὄρθρῳ ἐπιπίπτει τοῖς Ἀμπρακιώταις ἔτι ἐν ταῖς εὐναῖς, καὶ οὐ προσδοκήσασι τὰ γεγενημένα, ἀλλὰ πολὺ μᾶλλον νομίσασι τοὺς ἑαυ-

ριβ'. 12. Ἐπὶ τῆς ἐσβολῆς] ἐπὶ τῆς ἐφόδου τῆς κατὰ τῶν ἐναντίων. (λ. Αὐγ.) —

εἴτε C. F. ἤ, ne id quidem falso, Gr. εἴγε, Mosqu. ἤγε.

Τινάς s. v. al. man. E. At vid. adnot. ad VIII, 21.

Αὐτῶν ἀπέκτειναν. Mosqu. ἀπέκτ. αὐτ.

Διέφυγον. G. D. Chr. ἔφυγον (apud Gail. ἐφυγον), minus bene.

Ἀγραΐδα. D. Ar. Chr. Dan. Γραΐδα. „Pessime. vid. 146. [II, 102.] 209. [III, 106.]" WASS. Add. I. 2. p. 148.

Ὅμορον. E. ὁμ. αὐτῶν, ex interpr.

Αὐτούς in marg. ab ead. man. habet I.

Cap. CXII. Ἀφικνοῦνται om. B.

Δύο s. v. al. man. E.

Ἡ Ἰδομένη ὑψηλώ ad marg. reiicit G.

Τὸν δέ plene Cass. C. Pal. Reg. et haud dubie plures pro vulg. τὸν δ'. Cf. I. 1. p. 217. et Farr. discr. script.

2. Καὶ τὸ ἄλλο. B. καὶ καὶ ἄλλο.

Στράτευμα. D. στρατόπεδον, sed in marg. ead. man. στράτευμα. Cf. Born. de gem. Cyr. rec. p. 48.

Ἐπί om. Gr.

3. Ἐπιπίπτει. Pal. Mosqu. ἐκπίπτει. Cod. Bas. ex emend. cum D. et (ex quibus Bekk. ἐκπίπτει male affert) Ar. Chr. Dan. ἐμπίπτει. Sed nostrum rem subito factam bene significat. Cf. §. 5.

Καὶ οὐ. Οὐ s. v. G.

Προσδοκήσασι. D. I. προσδομένοις, hic cum αι̃ s. ῃ̃.

Γεγενημένα. C. προγεγ.

Digitized by Google

τῶν εἶναι. 4. καὶ γὰρ τοὺς Μεσσηνίους πρώτους ἐπίτηδες ὁ Δημοσθένης προὔταξε, καὶ προσαγορεύειν ἐκέλευε, Δωρίδα τε γλῶσσαν ἱέντας, καὶ τοῖς πρόφυλαξι πίστιν παρεχομένους, ἅμα δὲ καὶ οὐ καθορωμένους τῇ ὄψει, νυκτὸς ἔτι οὔσης. 5. ὡς οὖν ἐπέπεσε τῷ στρατεύματι αὐτῶν, τρέπουσι· καὶ τοὺς μὲν πολλοὺς αὐτοῦ διέφθειραν, οἱ δὲ λοιποὶ κατὰ τὰ ὄρη ἐς φυγὴν ὥρμησαν. 6. προκατειλημμένων δὲ τῶν ὁδῶν, καὶ ἅμα τῶν μὲν Ἀμφιλόχων ἐμπείρων ὄντων τῆς ἑαυτῶν γῆς καὶ ψιλῶν πρὸς ὁπλίτας, τῶν δὲ ἀπείρων καὶ ἀνεπιστημόνων ὅπῃ τράπωνται, ἐκπίπτοντες ἔς τε χαράδρας καὶ τὰς προλελοχισμένας ἐνέδρας, διεφθείροντο. 7. καὶ ἐς πᾶσαν ἰδέαν χωρήσαντες τῆς φυγῆς, ἐτράποντό τινες καὶ ἐς τὴν θάλασσαν, οὐ πολὺ ἀπέχουσαν· καὶ ὡς εἶδον τὰς Ἀττικὰς ναῦς παραπλεούσας ἅμα τοῦ ἔργου τῇ ξυντυχίᾳ, προὐθύμησαν, ἡγησάμενοι ἐν τῷ αὐτίκα φόβῳ κρεῖσ-

1. Ἐπίτηδες] ἐσκεμένως. (λ. Λύγ.) — 2. Προὔταξε] προπορεύεσθαι δηλονότι. (λ. Λύγ.) — 13. Ἐτράποντό τινες] φεύγειν δηλονότι. (λ. Λύγ.) — 15. Ἅμα τοῦ ἔργου τῇ ξυντυχίᾳ] τῷ ξυμβεβηκότι τῆς δυσχερείας. (λ. Λύγ.) κατὰ τύχην τηνικαῦτα ἡνίκα ἠττῶντο. — 16. Προὐθύμησαν] προὐθύμησαν (? προὐθύμησαν?) (λ. Κασσ. Λύγ.) —

4. *Μεσσηνίους.* D. I, E. Ar. Chr. rursus *Μεσηνίους*. Vid. script. discr. c. 107, 1. Omnis autem haec paragr. quodammodo parenthesin efficit.

Πρώτους om. I. At vid. I. 1. p. 197.

Προσαγορεύειν. Ar. *προαγ.*

Ἐκέλευε. Vat. D. I. *ἐκέλευσε.* At vid. ad Xen. Anab. IV, 3, 13. et adnot. ad I, 119.

Δωρίδα. I. m. male *Δωριάδα.*

Καὶ οὐ. Gr. Ar. Chr. om. *καί*, et Ar. Chr. pro *οὐ* habent *οὐδέ.*

5. *Ἐπέπεσε.* Cod. Bas. ex emend. *ἐπέπεσον.* At vid. I. 1. p. 97.

Διέφθειραν. Quod sequebatur punctum, in comma mutavit Haack.

6. *Προκατειλημμένων.* Ar. Chr. *καὶ προκατ.* (fortasse sine *δέ*, quod sequitur.) In B. I. *προκατειλημένων*, sed I. μ s. μ al. man.

Ἀπείρων. Mosqu. *ἀπείρων τε.*

Ὅπῃ Cass. Aug. Cl. C. F. Pal. (hic et fortasse alii quoque cum ῑ subscr., cf. de Art. crit. p. 149.) It. Vat. H. Reg. (G.) Gr. D. I. E. Vind. Mosqu. m. Haack. Bekk. Vulgo ὅποι. „Ὅπῃ passim Plat. in Euthyd. et Apol. Socr. Noster ὅποι et alibi ὅπῃ. vid. Ind.“ WASS. IV, 13. *ἀποροῦντες ὅπῃ καθορμίσωνται.*

Ἐς τε. Cl. *ἐς τάς.* Neo *τέ* nec *τάς* habet Gr.

Τὰς προλελοχισμένας. D. *τὰ προλελοχιμένας.*

7. *Παραπλεούσας.* In Reg. rec.

Digitized by Google

σον εἶναι σφίσιν ὑπὸ τῶν ἐν ταῖς ναυσὶν, εἰ δεῖ, διαφθαρῆναι, ἢ ὑπὸ τῶν βαρβάρων καὶ ἐχθίστων Ἀμφιλόχων. 8. οἱ μὲν οὖν Ἀμπρακιῶται, τοιούτῳ τρόπῳ πακωθέντες, ὀλίγοι ἀπὸ πολλῶν ἐσώθησαν ἐς τὴν πόλιν. Ἀκαρνᾶνες δὲ, σκυλεύσαντες τοὺς νεκροὺς, καὶ τροπαῖα στήσαντες, ἀπεχώρησαν ἐς Ἄργος.

(*Κήρυκος τῶν Ἀμπρακιωτῶν καὶ Ἀκαρνᾶνος περὶ τοῦ πλήθους τῶν τεθνηκότων διάλογος. Ἀμπρακίας πάθος μέγιστον.*)

ριγ'. Καὶ αὐτοῖς τῇ ὑστεραίᾳ ἦλθε κήρυξ ἀπὸ τῶν
236. ἐς Ἀγραίους καταφυγόντων ἐκ τῆς Ὀλπης Ἀμπρακιωτῶν, ἀναίρεσιν αἰτήσων τῶν νεκρῶν, οὓς ἀπέκτειναν
10 ὕστερον τῆς πρώτης μάχης, ὅτε μετὰ τῶν Μαντινέων

6. Ἐς Ἄργος] τὸ Ἀμφιλοχικόν. (λ. Ἀγ.)

ριγ'. 7. Καὶ αὐτοῖς ἦλθε κήρυξ — —] ἐσχημάτισε τὸ αἰτήσοντες πρὸς τὸ ἦλθε κήρυξ. δυνάμει δὲ τοιοῦτόν ἐστιν· οἱ εἰς Ἀγραίους καταφυγόντες κήρυκα ἔπεμψαν, αἰτήσοντες ἀναίρεσιν νεκρῶν, οὓς ἀπέκτειναν Ἀκαρνᾶνες ὕστερον τῆς πρώτης μάχης. πρώτη μὲν γὰρ μάχη ἐγένετο πρὸς τὸν Εὐρύλοχον καὶ τοὺς Πελοποννησίους, δευτέρα δὲ ἡ ἐν τῇ φυγῇ πρὸς τοὺς Ἀμπρακιώτας, τρίτη δὲ ἡ πρὸς τοὺς ἐν Ἰδομένῃ. ὁ οὖν κήρυξ τὴν ἀναίρεσιν ᾐτεῖτο τῶν δευτέρᾳ μάχῃ τεθνηκότων, οὐκ εἰδὼς ὅτι τρίτη γέγονε μάχη, ἐν ᾗ πολλοὶ ἀπώλοντο. —

man. adnotata est scriptura προσπλεούσας.

Εἰ δεῖ Cass. Aug. Cl. C. Pal. It. Vat. Reg. (G.) cod. Bas. (Cam.) Gr. D. E. Vind. (in quo coniunctim *εἰδεῖ* exstare dicunt,) Mosqu. m. (in quo tamen *δεῖ* ex correct.) Ar. Chr. Dan. Vall. Haack. Bekk., quam scripturam iam Abresch. aliique praeferebant vulg. *ἤδη*. In F. *εἰ δή*.

Διαφθαρῆναι. G. *διαφθεῖραι, αρῆναι* s. v.

Ἀμφιλόχων. Mosqu. *Ἀμφιλοχιτῶν.*

8. *Ἐσώθησαν.* Pal. rursus *ἐσώθησαν.* Cf. de Art. crit. p. 150.

Νεκρούς. Ar. Chr. Dan. *ἐχθρούς.*

Τροπαῖα. C. Mosqu. *τὰ τροπ.* D. *τροπαῖον.* Nomen proparoxytonon est in Pal. cf. I. J. p. 214.

Ἀπεχώρησαν. Mosqu. *ἀνεχώρ.*

Cap. CXIII. *Κήρυξ.* Pal. (Bekk. in minn. exempll.) hic et §. 4. *κῆρυξ.* Cf. de Art. crit. p. 151.

Καταφυγόντων. Ar. Dan. *καταφευγ.*

Ἐκ τῆς Cass. Aug. C. F. Pal. It. Vat. H. Reg. (G.) cod. Bas. D. I. Ar. Chr. Dan. Haack. Bekk. Vulgo *ἀπὸ τῆς.*

Ὀλπης. Aug. *Ὀλπῆς.* Cf. script. discr. c. 105. Mox Scholiastem *αἰτήσοντες* scriptum invenisse suspicere.

Digitized by Google

καὶ τῶν ὑποσπόνδων ξυνεξήεσαν ἄσπονδοι. 2. ἰδὼν δ' ὁ κήρυξ τὰ ὅπλα τῶν ἀπὸ τῆς πόλεως Ἀμπρακιωτῶν, ἐθαύμαζε τὸ πλῆθος· οὐ γὰρ ᾤδει τὸ πάθος, ἀλλ' ᾤετο τῶν μετὰ σφῶν εἶναι. 3. καί τις αὐτὸν ἤρετο ὅ τι θαυμάζοι, καὶ ὁπόσοι αὐτῶν τεθνᾶσιν, οἰόμενος αὖ ὁ ἐρωτῶν εἶναι τὸν κήρυκα ἀπὸ τῶν ἐν Ἰδομένῃς. ὁ δ' ἔφη διακοσίους μάλιστα. 4. ὑπολαβὼν δ' ὁ ἐρωτῶν εἶπεν, οὔκουν τὰ ὅπλα ταυτὶ φαίνεται, ἀλλὰ πλέον ἢ χιλίων. αὖθις δὲ εἶπεν ἐκεῖνος, οὐκ ἄρα τῶν μεθ' ἡμῶν μαχομένων ἐστίν. ὁ δ' ἀπεκρίνατο, εἶπερ γε ὑμεῖς ἐν Ἰδομένῃ ᾖθε ἐμάχεσθε. ἀλλ' ἡμεῖς γε οὐδενὶ ἐμαχόμεθα ᾖθες, ἀλλὰ πρώην ἐν τῇ ἀποχωρήσει. καὶ μὲν δὴ τούτοις γε ἡμεῖς ᾖθες ἀπὸ τῆς πόλεως βοηθήσασε

3. Ἀλλ' ᾤετο τῶν μετὰ σφῶν εἶναι] ἀλλ' ᾤετο τῶν μετὰ σφῶν ἐν τῇ δευτέρᾳ μάχῃ πεπτωκότων εἶναι τὰ ὅπλα. — 4. Καί τις αὐτὸν ἤρετο —] δύο ἐρωτᾷ, ἓν μὲν, τοῦ χάριν θαυμάζοι, ἕτερον δὲ, πόσους οἴεται τῶν ἰδίων τεθνηκέναι. ὥσπερ δὲ ὁ κήρυξ οὐκ ᾔδει περὶ τῆς τρίτης μάχης, οὕτως ὁ ἐρωτῶν οὐκ ἠπίστατο περὶ τῶν ἐν ποίᾳ μάχῃ πεπτωκότων ὁ κήρυξ ἦκεν, ἀλλ' ἐνόμιζε περὶ τῶν ἐν τῇ τρίτῃ μάχῃ τεθνηκότων ἐληλυθέναι. — 8. Οὔκουν τὰ ὅπλα ταυτὶ φαίνεται] λείπει [τὸ] † τριακοσίων † [εἶναι] μόνων. — 10. Ὁ δ' ἀπεκρίνατο] τὰ ὅπλα εἰσὶν ὑμέτερα δηλονότι. (λ. Λύγ.) — 11. Ἀλλ' ἡμεῖς γε οὐδενὶ ἐμαχόμεθα ᾖθες] ὁ κήρυξ εἶπεν ἀπὸ κοινοῦ. — 12. Καὶ μὲν δὴ τούτοις γε ἡμεῖς] ἀπὸ κοινοῦ, ὁ ἐρωτῶν εἶπε.

Ξυνεξήεσαν. It. ξυνῆιεσαν (ξυνῆισαν).

3. Αὐτόν. E. Vind. B. Ald. Flor. Bas. (ed., non cod. Bas.) Steph. 1. αὐτῶν.

Ἤρετο. Mosqu. εἴρετο, quod vitium Lucian. D. D. XX, 4. et alibi aliquando etiam typis exscripta exempla occupavit.

Θαυμάζοι. Reg. D. θαυμάζει, quo non opus, quanquam τεθνᾶσιν sequitur. Cf. Thiersch. Gr. §. 353. 5. I. ταυμάζει. In Schol. vulgatum θαυμάζει ex Aug. mutavimus.

Αὖ. C. H. Gr. οὖν. D. I. Ar. Chr. Dan. ἄν.

Τὸν κήρυκα. Dan. τὸ κήρυγμα.

Ἰδομέναις. Ar. Ἰδομένῃ. „Forsan et ita rescribendum; nam alibi [paulo post et cap. 112.] Thucydidi singulariter dicitur." HUDS. Consentit Kistem. ac Bened. et Valla *apud Idomenen* dixit. Ita tamen Ὄλπαι et Ὄλπη, Πλάταια et Πλαταιαί, et apud alios scriptores Ταρσός et Ταρσοί, Ἰσσός et Ἰσσοί etc. Non pertinet huc Εἰδομένη II, 100. quam cum Voss. ad Catull. p. 210. comparat Wasse.

Διακοσίους. Schol. corrupte τριακοσ. Vid. cap. 111. fin.

4. Οὔκουν. Pal. οὐκοῦν. Gr. οὐκ οὖν. Mox Pal. πλέον ᾗ.

Εἶπερ γε. Vat. εἴπερ τε.

Ἐμαχόμεθα ᾖθες. B. om. ᾖθες.

Digitized by Google

τῆς Ἀμπρακιωτῶν ἐμαχόμεθα. 5. ὁ δὲ κήρυξ ὡς ἤκουσε, καὶ ἔγνω ὅτι ἡ ἀπὸ τῆς πόλεως βοήθεια διέφθαρται, ἀνοιμώξας, καὶ ἐκπλαγεὶς τῷ μεγέθει τῶν παρόντων κακῶν, ἀπῆλθεν εὐθὺς ἄπρακτος, καὶ οὐκέτι ἀπῆτει τοὺς νεκρούς. 6. πάθος γὰρ τοῦτο μιᾷ πόλει Ἑλληνίδι ἐν ἴσαις ἡμέραις μέγιστον δὴ τῶν κατὰ τὸν πόλεμον τόνδε ἐγένετο. καὶ ἀριθμὸν οὐκ ἔγραψα τῶν ἀποθανόντων, διότι ἄπιστον τὸ πλῆθος λέγεται ἀπολέσθαι, ὡς πρὸς τὸ μέγεθος τῆς πόλεως. Ἀμπρακίαν μέντοι οἶδα ὅτι, εἰ ἐβουλήθησαν Ἀκαρνᾶνες καὶ Ἀμφίλοχοι, Ἀθηναίοις καὶ Δημοσθένει πειθόμενοι, ἐξελεῖν, αὐτοβοεὶ ἂν εἷλον· νῦν δ' ἔδεισαν μὴ οἱ Ἀθηναῖοι, ἔχοντες αὐτήν, χαλεπώτεροι σφίσι πάροικοι ὦσι.

(*Διανομὴ τῶν σκύλων. Οἱ Ἀθηναῖοι καὶ Πελοποννήσιοι ἀπέρχονται. Ἀμπρακιώταις Ἀκαρνᾶνες καὶ Ἀμφίλοχοι ἑκατὸν ἔτη σπένδονται. Κορίνθιοι φρουρὰν ἐς τὴν Ἀμπρακίαν ἀποστέλλουσι.*)

ριδ'. *Μετὰ δὲ ταῦτα, τρίτον μέρος νείμαντες τῶν σκύλων τοῖς Ἀθηναίοις, τὰ ἄλλα κατὰ τὰς πόλεις διείλοντο. καὶ τὰ μὲν τῶν Ἀθηναίων πλέοντα ἐάλω,*

Τῆς Ἀμπρακιωτῶν. Cr. *τοῖς* pro *τῆς*.

5. *Κακῶν* om. Ar. Dan.

6. *Πόλει* om. Ar. Chr. Dan. *Μέγιστον δή. Δή* om. D. *Ἀμπρακίαν.* „Haec vox etiam scripta reperitur per $\overline{\beta}$ pro $\overline{\pi}$. Sic in nummo Goltzii *ΑΜΒΡΑΚΙΩΤΑΝ.*“ HUDS. „Thucydides semper cum $\overline{\pi}$ *Ἀμπρακία* et *Ἀμπρακιῶται.*“ WASS. „Diversitatem scripturae etiam Stephanus adnotavit in *Ἀμβρακία*. Eustathius ad Dionys. Perieg v. 493. *ἀρχαϊκώτερον* per $\overline{\pi}$, usitatius per $\overline{\beta}$ scribi dicit. Palmer. II. Graec. ant. 7. scribens Thucydidem nomen urbis non exprimere, sed tantum gentile nomen *Ἀμπρακιώτης* habere, non meminerat huius loci. Sed et rursus *Ἀμπρακίαν* cap. seq. in fine exprimit Thucydides.“ DUK. Add. I. 2. p. 140.

Ἀκαρνᾶνες. Vat. Gr. οἱ *Ἀκαρν.*, utî s. v. al. man. G.

Ἐξελεῖν. H. *ἐξελθεῖν.* Pal. *ἐπελθεῖν.* (Ita *διελεῖν* et *διελθεῖν* confusa Xen. Anab. II, 4, 22.)

Οἱ Ἀθηναῖοι. C. *ει Ἀθην.*

Σφίσι πάροικοι. G. *πάροικοι σφίσιν.*

Cap. CXIV. *Τρίτον μέρος νείμαντες* om. Gr.

Κατά. Dan. *καί.*

Πλέοντα. „*Πλέονα* legisse videtur Valla [*quae Atheniensibus cesserunt, pleraque fuerunt intercepta*].“ HUDS. Recte recentiores: *in navigatione capta sunt.*

Digitized by Google

τὰ δὲ νῦν ἀνακείμενα ἐν τοῖς Ἀττικοῖς ἱεροῖς Δημοσθένει ἐξηρέθησαν τριακόσιαι πανοπλίαι, καὶ ἄγων αὐτὰς κατέπλευσε. καὶ ἐγένετο ἅμα αὐτῷ μετὰ τὴν τῆς Αἰτωλίας ξυμφορὰν ἀπὸ ταύτης τῆς πράξεως ἀθεσπεσιωτέρα ἡ πάροδος. 2. ἀπῆλθον δὲ καὶ οἱ ἐν ταῖς εἴκοσι ναυσὶν Ἀθηναῖοι ἐς Ναύπακτον. Ἀκαρνᾶνες δὲ καὶ Ἀμφίλοχοι, ἀπελθόντων Ἀθηναίων καὶ Δημοσθένους, τοῖς ὡς Σαλύνθιον καὶ Ἀγραίους καταφυγοῦσιν Ἀμπρακιώταις καὶ Πελοποννησίοις ἀναχώρησιν ἐσπείσαντο ἐξ Οἰνιαδῶν, † οἵπερ καὶ μετανέστησαν παρὰ Σαλύνθιον †. 3. καὶ ἐς τὸν ἔπειτα χρόνον σπονδὰς καὶ ξυμμαχίαν ἐποιήσαντο ἑκατὸν ἔτη. Ἀκαρνᾶνες καὶ Ἀμφίλοχοι πρὸς Ἀμπρακιώ-

Τὰ δὲ νῦν — ἱεροῖς. „Citat Thomas in *ἀνακείμενος*.“ DUK.

Ἐξηρέθησαν. „Thomas Mag. in ἐξεῖλε: ἐξεῖλε τῷ δεῖνι γέρας καὶ ἐξῆρε. [ἐξήρει? ἐξηρέθη?] Θουκυδίδης· Δημοσθένει—παροπλίαι. Obvius est hic usus verbi ἐξαιρεῖν pro δοῦναί τι ὡς ἐξαίρετον. Scholiastes parvus Homeri in Iliad α'. 369. Ἐκ δ' ἕλον Ἀτρείδη Χρυσηΐδα· ὡς ἐξαίρετον, inquit, ἔλαβον καὶ ἔδωκαν. Add. ibi Eustath. p. 119. et in Iliad. μ'. p. 907.“ DUK. De plurali vid. I. 1. p. 99.

Αὐτάς. Gr. αὐτός.

Ἅμα om. Cl.

Αὐτῷ. Dan. αὐτῶν.

Τῆς Αἰτωλίας Cass. Aug. Cl. It. Vat. H. Reg. (G.) cod. Bas. Haack. Bekk., in Cass. tamen, H. et Reg. (G.) recens manus int. vers. scripserat ἐκ, ut esset ἐκ τῆς Αἰτωλίας, quod habent Pal. C. F. Gr. Vind. (de quo falsa scribit Bekk.) Vúlgo ἐν Αἰτωλίᾳ. (D. ἐν τῷ Αἰτωλίῳ.) „Videlicet librarii simplicem genitivum concoquere non poterant.“ HAACK. Ἐκ similiter positum III, 102. in μετὰ τὰ ἐκ τῆς Αἰτωλ. ubi vid adnot.

2. *Σαλύνθιον.* Cass. Aug. Pal. It. Vat. Reg. (G.) Ἀλύνθιον. At vide paulo post et c. 111. fin.

Καὶ Ἀγραίους om. Chr., nisi haec adnotatio potius ad eadem verba post *Σαλύνθιον* vulgo repetita spectat (ut in Vind., de quo errat Bekk.)

Ἐξ. Hemsterh. ad Lucian. t. I. p. 324. conicit ἔξω. At vid. adnot.

Οἰνιαδῶν. Cass. Cl. Gr. Ar. Chr. Dan. Ald. Flor. Bas. Steph. 1. *Οἰνιάδων.* At vid. I. 2. p. 257. D. I. deterius *Οἰνιδων.* „*Οἰνιάδαι* sunt Stephano et alibi *Οἰνιάδαι*. Sic etiam Paus. Sophocl. et Dion. Hal.“ WASS.

Οἵπερ — Σαλύνθιον. Haec depravata et οἵπερ in οἵπερ corrigendum, παρὰ Σαλύνθιον vero aut tanquam ex interpretatione praecedd. ὡς Σαλύνθιον orta delenda, aut in παρὰ Σαλυνθίον cum Hermanno mutanda videntur. Vid. adnot. B. παρὶ Σαλύνθιον habet et ita a pr. man. etiam H. Mire Valla: *Acarnanes et Amphilochi publica fide interposita veniam dedere Ambraciis atque Peloponnensibus, qui ad Salynthium et Agraeos confugerant, ex Oeniadis abeundi. Auditoque Salynthio cum Ambraciis in posterum ad*

τας ἐπὶ τοῖσδε, ὥστε μήτε Ἀμπρακιώτας μετὰ Ἀκαρνάνων στρατεύειν ἐπὶ Πελοποννησίους, μήτε Ἀκαρνᾶνας μετὰ Ἀμπρακιωτῶν ἐπ' Ἀθηναίους, βοηθεῖν δὲ τῇ ἀλλήλων, καὶ ἀποδοῦναι Ἀμπρακιώτας ὁπόσα ἢ χωρία ἢ † ὁμήρους † Ἀμφιλόχων ἔχουσι, καὶ ἐπὶ Ἀνακτόριον μὴ βοηθεῖν, πολέμιον ὂν Ἀκαρνᾶσι. 4. ταῦτα ξυνθέμενοι, διέλυσαν τὸν πόλεμον. μετὰ δὲ ταῦτα Κορίνθιοι φυλακὴν ἑαυτῶν ἐς τὴν Ἀμπρακίαν ἀπέστειλαν, ἐς τριακοσίους ὁπλίτας, καὶ Ξενοκλείδαν τὸν Εὐθυκλέους ἄρχοντα· οἳ νομιζόμενοι χαλεπῶς διὰ τῆς ἠπείρου ἀφίκοντο. τὰ μὲν κατ' Ἀμπρακίαν οὕτως ἐγένετο.

(4. Τὰ περὶ Σικελίαν. ριε'. ριζ'. ά) Ἀθηναίων ἐς τὴν Ἱμεραίαν καὶ τὰς Αἰόλου νήσους στρατεῖαι. Πυθόδωρος παραδέχεται τὴν αὐτῶν ἀρχὴν καὶ ἐπὶ Λοκροὺς πλεῖ.)

ριε'. Οἱ δ' ἐν τῇ Σικελίᾳ Ἀθηναῖοι τοῦ αὐτοῦ χειμῶνος ἔς τε τὴν Ἱμεραίαν ἀπόβασιν ἐποιήσαντο ἐκ τῶν νεῶν μετὰ τῶν Σικελιωτῶν ἄνωθεν ἐσβεβληκότων ἐς τὰ ἔσχατα τῆς Ἱμεραίας, καὶ ἐπὶ τὰς Αἰόλου νήσους ἔπλευσαν. 2. ἀναχωρήσαντες δὲ ἐς Ῥήγιον, Πυθόδωρον τὸν Ἰσολόχου, Ἀθηναίων στρατηγόν, καταλαμβάνουσιν ἐπὶ

Ὀλ. πή. ἔτ. γ'. πρὸ Χρ. νέ. μετὰ Ἰανουάρ. μην.

centum annos fide data societatem coierunt. Addunturautem post *Σαλύνθιον* vulgo *καὶ Ἀγραίους*, quae om. Cass. Aug. Cl. F. Pal. It. Vat. H. Reg. (G.) Gr. D. I. Vind. m. Dan. Vall. Haack. Bekk. et aperte ex praecedd. originem duxerunt.

3. *Ἐπὶ — Ἀμπρακ.* in marg. sed ead. man. G. *Μήτε* om. B. *Βοηθεῖν δέ.* Gr. *βοηθεῖν τε δέ* (non *δέ τε*, ut Bekk. affirmat.)

Ἀμπρακιώτας. G. *Ἀμπρακιώτας.*

Ὁμήρους. Hanc nostram coniecturam in Obss. critt. p. 231. propositam tacite recepit Bekk. Libri cum vulg. et Haack. *ὁμόρους.* Vid. adnot.

Ἀμφιλόχων s. v. al. man. habet C., om. F. In B. *Ἀμφιλόχου.*

Οὓς de. Chr. Dan.

4. *Ταῦτα.* Cl. *ταῦτα δέ.*

Ξενοκλείδαν. Reg. (G.) *Ξενοκλείδην.*

Τὸν Εὐθυκλέους. Mosqu. *τοῦ Εὐθ.*

Ἀφίκοντο. B. *ἀφίκετο.* Antea de minuscula litera, qua *ἠπείρου* cum Haack. exaravimus, vid. not. ad c. 94.

CAP. CXV. *Τῇ Σικελίᾳ. Τῇ* de. Reg. (G.)

Ἱμεραίας. Mosqu. *Ἡμεραίας.*

Αἰόλου. Pal. *Αἰόλους.*

Digitized by Google

τὰς ναῦς διέβησαν ὧν ὁ Λάχης ἦρχεν. 3. οἱ γὰρ ἐν Σικελίᾳ ξύμμαχοι πλεύσαντες ἔπεισαν τοὺς Ἀθηναίους βοηθεῖν σφίσι πλείοσι νανσί. τῆς μὲν γὰρ γῆς αὐτῶν οἱ Συρακόσιοι ἐκράτουν, τῆς δὲ θαλάσσης ὀλίγας ναυσὶν εἰργόμενοι, παρεσκευάζοντο, ναυτικὸν ξυναγείροντες, εἰς οὐ περιοφόμενοι. 4. καὶ ἐπλήρουν ναῦς τεσσαράκοντα οἱ Ἀθηναῖοι, ὡς ἀποστελοῦντες αὐτοῖς, ἅμα μὲν ἡγούμενοι θᾶσσον τὸν ἐπὶ πόλαμου καταλυθήσεσθαι, ἅμα δὲ βουλόμενοι μελέτην τοῦ ναυτικοῦ ποιεῖσθαι. 4. τὸν μὲν οὖν ἕνα τῶν στρατηγῶν ἀπέστειλαν Πυθόδωρον ὀλίγαις ναυσί· Σοφοκλέα δὲ τὸν Σωστρατίδου καὶ Εὐρυμέδοντα τὸν Θουκλέους ἐπὶ τῶν πλειόνων νεῶν ἀποπέμψειν ἔμελλον. 5. ὁ δὲ Πυθόδωρος, ἤδη ἔχων τὴν τοῦ Λάχητος τῶν νεῶν ἀρχήν, ἔπλευσε τελευτῶντος τοῦ χειμῶνος ἐπὶ τὸ Λοκρῶν φρούριον, ὃ πρότερον Λάχης εἶλε· καὶ νικηθεὶς μάχῃ ὑπὸ τῶν Λοκρῶν ἀνεχώρησεν.

Marc. mgn. idd. sch.

... ριε. 4. Τῆς δὲ θαλάσσης ὀλίγαις ναυσὶν εἰργόμενοι] οἱ Συρακούσιοι τῆς θαλάσσης ὑπὸ ὀλίγων νεῶν εἰργόμενοι, τῶν Ἀττικῶν δηλονότι. — 3. Μελέτην —] ἐν τῷ μελετᾶν καὶ ἀσκεῖσθαι τὸ ναυτικὸν διατρίβειν.

2. Ἐν Σικελίᾳ. Ar. Chr. ἐν τῇ Σικ.

Σφίσι om. H., quocum et Gr., deinde Bekk. in nonn. exemplk. ναυσίν. Cf. Farr. discr. script.

Μὲν γάρ. Γὰρ de. Mosqu.

Συρακόσιοι Bekk. Cf. I. 1. p. 213. et script. discr. ad c. 86. Vulgo (et Haack.) Συράκούσιοι. D. Συράκουσιοι.

Εἰργόμενοι. Pal. Bekk. εἱργόμενοι. Vid. de Art. crit. p. 152. et Buttm. Gr. max. Ind. verb.

Παρεσκευάζοντο ναυτικόν Aug. It. Vat. cod. Bas. m. Dan. Bekk. In Cass. C. F. Pal. Reg. (G.) E. παρεσκεύαζον τὸ νάυτ., sed in Cass. corrector accentu in penult. scripto significavit legendum παρεσκευάζοντο. Vulgo (et Haack.) παρεσκευάζοντο, τό. Sed Syracusani non solum suas, sed etiam sociorum naves collegerunt (vid. IV, 25.), igitur eine Flotte, non die Flotte.

Ξυναγείροντες, D. Vind. Dan. ξυναγείροντες.

3. Μελέτην τοῦ ναυτικοῦ ποιεῖσθαι. Gr. τοῦ ναυτ. ποιεῖσθαι μελ. Reliqui vulgatem ordinem servant, sed D. τοῦ om., B. ποιῆσθαι exarat.

4. Μὲν οὖν. Οὖν de. Gr.

Θουκλέους. Cod. Bas. Πυθοκλέους. At vid. VII, 16. al.

Ἀποπέμψειν. E. πέμψων, ἀπὸ s. v. al. man.

5. Ἔπλευσε. Mosqu. ἔπεμψεν.

Λοκρῶν. Pal., ut solet, bis Ἀπωκῶν.

Εἶλε. F. B. εἷχε. At vid. c. 99.

Τῶν Λοκρῶν. Τῶν de. Ar. Dan.

Ἀνεχώρησεν. Aug. C. F. Reg.

Digitized by Google

ρις'. Ἐῤῥύη δὲ περὶ αὐτὸ τὸ ἔαρ τοῦτο ὁ ῥύαξ τοῦ πυρὸς ἐκ τῆς Αἴτνης, ὥςπερ καὶ τὸ πρότερον· καὶ γῆν τινὰ ἔφθειρε τῶν Καταναίων, οἳ ἐπὶ τῇ Αἴτνῃ τῷ ὄρει οἰκοῦσιν, ὅπερ μέγιστόν ἐστιν ὄρος ἐν τῇ Σικελίᾳ. 2. λέγεται δὲ πεντηκοστῷ ἔτει ῥυῆναι τοῦτο μετὰ τὸ πρότερον ῥεῦμα, τὸ δὲ ξύμπαν τρὶς γεγενῆσθαι τὸ ῥεῦμα, ἀφ' οὗ Σικελία ὑπὸ Ἑλλήνων οἰκεῖται. 3. ταῦτα μὲν κατὰ τὸν χειμῶνα τοῦτον ἐγένετο· καὶ ἕκτον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε, ὃν Θουκυδίδης ξυνέγραψεν.

Ὀλ. ος'. ἔτ. α' β' πρὸ χρ. τοε'.

ρις'. 9. ** Ξυνέγραψε] τῶν εἰς ιγ' τέλος τῆς ε' καὶ ἀρχὴ τῆς ς'.

(G.) cod. Bas. E. Ar. Chr. Dan. et in marg. etiam Cl. ἀπεχώρησεν.

Cap. CXVI. Τὸ πρότερον. Τὸ om. C. F. cod. Bas. Gr. D. E. Ar. Chr. Dan.

Καταναίων. Mosqu. B. Κατανέων.

Ἐπί Cass. Aug. Pal. It. Vat. Reg. (G.) Mosqu. Bekk. Vulgo (et Haack.) non multo pejus ὑπό, sicut G. s. v.

Τῇ Αἴτνῃ τῷ ὄρει. m. τῷ ὄρει τῇ Αἴτνῃ.

Ἐστὶν ὄρος. Gr. ὄρος ἐστίν.

Ἐν τῇ Σικελίᾳ. E. τῆς Σικελίας. Mosqu. Ar. Chr. τῇ (non, ut Bekk. scribit ἐν Σικ.) om.

2. Τρίς. I. τρεις.

Γεγενῆσθαι. D. I. γεννᾶσθαι.

Τὸ ῥεῦμα om. D.

3. Μέν. Gr. μὲν οὖν.

Ἕκτον ἔτος. Ar. ἔτος ἕκτον.

Τῷ πολέμῳ ἐτελεύτα. Cod. Bas. ἐτελεύτα τῷ πολέμῳ. At vid. discr. script. III, 28, 88.

Ξυνέγραψεν C. H. G. I. Bekk. Vulgo (et Haack.) ξυνέγραψε. Cf. script. discr. ad II, 103.

Digitized by Google

Tausch-Anerbieten

für

Gelehrte und Bücherfreunde.

Ein Verzeichniss von Büchern meines Verlags aus allen Wissenschaften, welche ich gegen andere Bücher, sie seien roh oder gebunden, in Tausch gebe, ist bei mir unentgeldlich zu haben. Diejenigen, welche davon Gebrauch machen wollen, ersuche ich um Anzeige dessen, was sie mir ablassen können; woraus ich das für mich brauchbare wählen und meinen Catalog zur Auswahl der gleichen Summe übermachen werde. Für beide Theile gilt der bestehende Ladenpreis, so wie jeder für das was er erhält das Porto tragen, und das zu Liefernde in gutem Zustand sich befinden muss.

Gerhard Fleischer.
Buchhändler in Leipzig.

Sumptibus Gerh. Fleischeri bibliopolae Lipsiensis hi quoque libri prodierunt:

Ciceronis, M. T., Oratio pro T. A. Milone redintegrata et ad optimorum codicum fidem emendata. Cum integro commentario G. Garatonii selectisque Fernatii Peyronii et aliorum adnotationibus, quibus suas addidit, J. C. Orellius. 8. maj. 1826. 2 thlr.

Hermann, G., über Herrn Professor Böckh's Behandlung der griechischen Inschriften. gr. 8. 1826. 1 thlr. 8 gr.

Weisse, C. H., über das Studium des Homer und seine Bedeutung für unser Zeitalter. Nebst einem Anhange mythologischen Inhalts und einer Rede über das Verhältniss des Studiums der Geschichte zu der allgemeinen Nationalbildung. gr. 8. 1826. 2 thlr.

Thiersch, Fr., griechische Grammatik vorzüglich des homerischen Dialects, 3te sehr vermehrte und verbesserte Aufl. gr. 8. 1826. 2 thlr.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

THE NEW YORK PUBLIC LIBRARY
REFERENCE DEPARTMENT

This book is under no circumstances to be taken from the Building

Form 410

Digitized by Google

Digitized by Google